Scholia on Aelius Aristides: In Defence of the Four by Scholia on Aelius Aristides

ΥΠΕΡ ΤΩΝ ΤΕΤΤΑΡΩΝ.

1 *Ὑπόθεσις.*

Πλάτων ὁ Ἀρίστωνος, ἐπισημότατος ἐν φιλοσοφίᾳ γενόμενος, τὴν ἑαυτοῦ τέχνην εἰς μέγεθος ἆραι βουλόμενος τοὺς νέους προτρέπεται, τῇ ῥητορικῇ λοιδορούμενος· ἐπειδὴ γὰρ ὁ τῶν ῥητόρων βίος, ὥσπερ εἰκὸς, ὡς δυνατὸς ἐθαυμάζετο, ξυνέγραψέ τινα διάλογον, Γοργίαν οὕτω καλούμενον, ἐν ᾧ διαβάλλει τῶν ῥητόρων καὶ τῶν τυράννων τὸν βίον ὡς φαῦλον ὄντα καὶ ἄδικον· καὶ πρῶτον μὲν αὐτὴν τὴν τέχνην, φημὶ δὴ τὴν ῥητορικὴν, ἔπειτα δὲ αὐτοὺς διαβάλλει τοὺς ῥήτορας, ἐν παραδείγματος μέρει τὴν κατηγορίαν ποιούμενος, καὶ τοὺς ἐπισήμους ἐν αὐτῇ δοκοῦντας εἶναι τῇ τέχνῃ, τούτους ἐκκρίνας κωμῳδεῖ μᾶλλον ἢ τῆς ἀληθείας ἀντέχεται, φημὶ δὴ Θεμιστοκλέα τὸν ῥήτορα καὶ Μιλτιάδην καὶ Περικλέα τὸν πάνυ καὶ Κίμωνα· καὶ μέρει τινὶ τὴν κατὰ πάντων ἐκφέρεται ψῆφον, ἐκ τῶν ἐπιφανῶν τὴν κρίσιν ποιούμενος, εὖ εἰδὼς ὡς ἡ πρὸς τούτους οὖσα φαυλότης καὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς ῥητορικῆς καθάπτεται. πρὸς ταύτην τοίνυν τὴν λοιδορίαν — οὐ γὰρ κατηγορίαν ὀνομάσαι σεμνόν — Ἀριστείδης ὁ θεῖα γενόμενος, βοηθῶν ἅμα κινδυνευούσῃ τῇ τέχνῃ καὶ περὶ πλείστου τὴν τῶν ῥητόρων σημασίαν ποιούμενος, ἀντίσταται τοῖς λόγοις ὡς ὅπ—ρησάμενος, οὐ τῇ ῥητορείᾳ μᾶλλον, ὅσον τῷ βίῳ, συμμαχῆσαι βουλόμενος· καὶ δύο μὲν λόγοις τὴν περὶ τῆς τέχνης ἀπολογίαν πεποίηται, ἐν οἷς οὐ τέχνην μόνον, ἀλλὰ καὶ κρεῖττον ἢ τέχνην οὖσαν αὐτὴν ἀποδείκνυσιν. περιουσίᾳ δὲ λόγων ἐπὶ τὸ τῶν ῥητόρων ἐνταῦθα μεταβαίνει κεφάλαιον, καὶ τούτοις ὥσπερ χρέος τὴν γενομένην ἀπονέμει βοήθειαν· καὶ ἡ μὲν ὑπόθεσις αὕτη· τὸ δὲ εἶδος τοῦ λόγου πολλὴν ἔχει τὴν ζήτησιν, ποίου γε ἄρα τῆς ῥητορικῆς καθέστηκεν εἴδους. ὅτι μὲν οὖν οὐδεμίαν ἔχει τῇ συμβουλῇ κοινωνίαν ὁ λόγος δεδήλωται. λείπεται τοίνυν ἑνὸς τῶν ἑτέρων εἶναι εἰδῶν. ὡς εἴ γε ἄρα κεχωρίσθαι τούτων ἑτέρων συμβήσεται, κινδυνεύειν ἀνάγκη τῆς ῥητορικῆς τῶν λόγων ἠλλοτριῶσθαι. τινὲς μὲν οὖν ἐπὶ τὸ πανηγυρικὸν εἶδος ἀνάγουσι, τῇ τῶν ἐγκωμίων ἀπατηθέντες μελέτῃ· ἀλλ᾽ οὐκ ἂν εἴη

τούτου τοῦ εἴδους ὁ λόγος· οὐ γὰρ ἔνθα τοῖς ἐγκωμίοις χρησόμεθα τὸν λόγον ἀνάγκη τοῦ εἴδους τούτου προσαγορεύειν· μή πού γε καὶ τὸν περὶ στεφάνου λόγον πανηγυρικοῦ λέγειν ἐπιχειρήσωμεν εἴδους· ἄλλως τε τὸ κατασκευαζόμενον ἀεὶ προδήλως, οὐ τὸ κατασκευάζον χαρακτηρίζει τὸν λόγον. καί τοι εἴ γε σκοπήσομεν, τί τῶν ἐγκωμίων ὑπάρχει τὸ ἴδιον, εὑρήσομεν ἥκιστα τὸν λόγον τῷ εἴδει τούτῳ συμβαίνοντα. ἔστι τοίνυν ἐγκώμιον ὁμολογουμένων αὔξησις ἀγαθῶν· ὅπερ ἐνταῦθα ἀπᾴδει τῆς προκειμένης παντελῶς ὑποθέσεως· οὐ γὰρ ὡς ἤδη φανερῶν ὄντων ποιεῖται τὴν αὔξησιν, ἀλλὰ πρὸς λύσιν ἐπάγει τῶν ἐκ Πλάτωνος εἶναι δοξάντων ἐγκλημάτων τὴν τῶν ἐγκωμίων ἡμῖν ἐργασίαν ὁ ῥήτωρ· διὸ καὶ τὸν λόγον οὐκ ἐγκώμιον εἶναι φαίημεν ἄν· οὐ γὰρ αὐθαιρέτως τοῦτο προθέμενος ἐπάγει τὸν ἔπαινον, ἀλλ᾽ ὥσπερ ἀνάγκῃ τινὶ καὶ τῇ παρούσῃ τῆς παραβολῆς χρείᾳ τοῦτο πεποίηκε· τότε γὰρ εἶναι φαίης ἐγκώμιον, ὅτε προηγουμένως, ἀλλ᾽ οὐκ ἀνάγκῃ τινὶ ποιεῖταί τις τὸν ἔπαινον. οὐ μὴν οὐδὲ τῷ δικανικῷ κοινωνίαν ἔχει ὁ λόγος· οὐδὲ γὰρ τούτου φυλάττει τὸ ἴδιον. ἴδιον γὰρ τούτου πᾶν τὸ ἐν κατηγορίᾳ καὶ ἀπολογίᾳ· ἐνταῦθα δὲ τοῖς ἀνδράσιν ὁ Πλάτων οὐκ ἐγκλήματα μόνον ἐπήνεγκε· κολακεία δὲ ἄρα μισεῖται μὲν, ἀλλ᾽ οὐκ ἤδη κολάζεται· ἄλλως τε καὶ τρισὶ τούτοις ὁ δικανικὸς χαρακτηρίζεται λόγος, ἐκ τόπου, ἐκ προσώπου, ἐκ τέλους. εἰ μὴ τόπος τοίνυν αὐτῷ τὸ δικαστήριον, μηδὲ πρόσωπον τὸ δικάζον ὑπόκειται, τέλος δ᾽ οὐκ ἔχει τοὐπιτίμιον, ὅπερ εἰκὸς, οὐδὲ τούτου εἴη τοῦ εἴδους ἂν ὁ λόγος· λείπεται τοίνυν τὸ εἶδος εἶναι ἀντίρρησιν, ὥς φησι Θέων ὁ τεχνογράφος· ὃ τῶν μὲν προγυμνασμάτων κεχώρισται, μερικὸν δὲ ῥητορικῆς εἶδος τετύχηκεν· καὶ τῶν μὲν γενικωτάτων εἰδῶν οὐκ ἔστι, τέλειόν γε μὴν εἶδος καθέστηκεν, εἰ καὶ μέρος ὑπάρχει γενόμενον. διαφέρειν δέ φασι τὴν ἀντίρρησιν τῆς ἀντιγραφῆς τῷ τὴν μὲν ἀντίρρησιν ἐπὶ ζώντων ποιεῖσθαι τοὺς λόγους, τὴν δὲ ἀντιγραφὴν ἐπὶ μόνων τῶν οὐ μετεχόντων τοῦ βίου. πάλιν δὲ λέγουσιν ἕτεροι τὸ αὐτὸ τυγχάνειν ἐν διαφόροις ὀνόμασι. φασὶ δὲ τὸν λόγον μικτὸν εἶναι ἐκ πανηγυρικοῦ καὶ δικανικοῦ συγκείμενον εἴδους· καὶ πανηγυρικοῦ μὲν, τῷ διεξιέναι τὰ κατορθώματα, δικανικοῦ δὲ τῷ τὴν ἀντιθέσεων ἀφαιρεῖσθαι βλάβην ταῖς λύσεσιν.

2 Πλάτων ὁ Ἀρίστωνος ἐπισημότατος ἐν φιλοσοφίᾳ γενόμενος ἐζήτησε τὸν φιλόσοφον βίον δεῖξαι πάντων καλλίονα, πάντας ἐπὶ φιλοσοφίᾳ προτρεπόμενος. καὶ ἐπειδὴ ὁ τῶν τυράννων βίος καὶ ὁ τῶν ῥητόρων ἐν ταῖς πόλεσιν ὡς δυνατὸς ἐθαυμάζετο, συνέγραψέ τινα διάλογον, Γοργίαν ἐπικαλούμενον· τοῦτο γὰρ ὄνομα τῷ διαλόγῳ· ἐν ᾧ διαβάλλει τὸν τῶν ῥητόρων καὶ τῶν τυράννων βίον, ὡς φαῦλον καὶ ἄδικον· καὶ πρῶτον μὲν διαβάλλει τὴν ῥητορικήν, τουτέστι τὴν τέχνην· εἶθ' οὕτως αὐτοὺς τοὺς ῥήτορας ἐν παραδείγματος μέρει· οὐ γὰρ προηγουμένως οὐδὲ ἐξ ἀρχῆς τοῦτο προθέμενος· καὶ τοὺς δοκοῦντας εὐδοκιμεῖν ἐν τῇ τέχνῃ, τούτους ὁ Πλάτων ἐξελέξατο, Θεμιστοκλέα, Μιλτιάδην, Κίμωνα, Περικλέα, βουλόμενος διὰ τῆς τούτων διαβολῆς πάντας διαβαλεῖν τοὺς ῥήτορας· ὅταν γὰρ οἱ δοκοῦντες εὐδόκιμοι φαῦλοι φανῶσι, πῶς οὐκ ἀνάγκη πάντας συνδιαβάλλεσθαι; πρὸς ταύτην τὴν κατηγορίαν, ἤτοι διαβολὴν, ὁ Ἀριστείδης ἐνίσταται· καὶ ἤδη μὲν δύο λόγους ὑπὲρ ῥητορικῆς συνέγραψε, βουλόμενος δεῖξαι αὐτὴν πρῶτον μὲν κρείττονα τέχνης καὶ ὑπὲρ τέχνην· καὶ εἶτα ὡς ἐν παρέργῳ, καὶ τέχνην ἀπέδειξεν· ἅτε δὴ οὖν συμπληρώσας τὴν ὑπὲρ τῆς τέχνης ἀπολογίαν καὶ ἐπὶ τὴν τῶν ῥητόρων μέτεισιν ἀπολογίαν· καὶ ἔστι τὸ σχῆμα τοῦ λόγου καθάπερ ἐν δευτερολογίᾳ, ὅπερ εὐθὺς ἐν τῷ προοιμίῳ ἐπισημαίνεται· ἀπὸ γὰρ τῆς ἐκεῖθεν κατασκευῆς οὕτω τὴν διάνοιαν εἴληφε, λέγων· παραιτεῖσθαι μὲν οὐκ οἶδα ὅτι δεῖ πολλάκις· ὡς ἤδη δῆλον ὅτι ἐν τῷ ὑπὲρ ῥητορικῆς λόγῳ ἱκανὴν τὴν παραίτησιν ποιησάμενος· διὸ καὶ σύντομον ἐποιήσατο τὸ προοίμιον, ὥσπερ ἔχομεν καὶ παρὰ τῷ ῥήτορι ἐν ταῖς δευτερολογίαις, ἔν τε τῷ κατὰ Ἀνδροτίωνος καὶ τῷ πρὸς Λεπτίνην. ἐκεῖθεν γὰρ δίκαιον ἀκολουθοῦντα ποιήσασθαι τὴν διαίρεσιν. καὶ αὕτη μὲν τοῦ λόγου ἡ ὑπόθεσις. τὸ δ' εἶδος τοῦ λόγου πολλὴν ἔχει τὴν ζήτησιν, ποίου ἄρα καὶ εἴδους τῆς ῥητορικῆς καθέστηκεν. ὅτι μὲν οὖν οὐ τοῦ συμβουλευτικοῦ πρόδηλον. λείπεται τοίνυν ἑνὸς τῶν ἑτέρων εἶναι τὸν λόγον· οἱ μὲν οὖν τοῦ ἐγκωμιαστικοῦ φασιν εἶναι τὸν λόγον, εἰς τὰ τῶν ἀνδρῶν ἀποβλέποντες ἐγκώμια. ἀλλ' οὐ διὰ τοῦτο καὶ ἐγκωμιαστικὸς ὁ λόγος· οὐ γὰρ ἔνθα καὶ ἐγκώμια ἔχομεν, ἤδη καὶ τὸ εἶδος ἐγκωμιαστικόν. εἰ δὲ μὴ, οὐδὲν ἐκώλυε τὸν περὶ τοῦ στεφάνου λόγον ἢ τὸν πρὸς Λεπτίνην τοῦ ἐγκωμιαστικοῦ τυγχάνειν· πανταχοῦ γὰρ δι' ἐγκωμίων προάγεται

ἀμφοτέρων τῶν λόγων ἡ διαίρεσις· οὐ γὰρ τὸ κατασκευάζον, ἀλλὰ τὸ κατασκευαζόμενον χαρακτηρίζει τὸ εἶδος. σκοπήσομεν τοίνυν τί τὸ ἴδιον τοῦ ἐγκωμίου καθέστηκεν. ἔστι τοίνυν ὁμολογουμένων ἀγαθῶν λόγος αὐξητικός. ὅπερ οὐκ ἔστιν ἐνταῦθα· οὐδὲ γὰρ ὡς ὁμολογουμένων ἀγαθῶν ποιεῖται τὴν αὔξησιν, ἀλλὰ πρὸς λύσιν τῶν δοκούντων ἐγκλημάτων ὧν αὐτοῖς ὁ Πλάτων ἀπέδωκεν, ὁ Ἀριστείδης εἴληφε τὰ ἐγκώμια· ὅπερ, ὡς ἔφαμεν, καὶ ὁ ῥήτωρ ἐν τῷ περὶ στεφάνου πεποίηκε· κἀκεῖ μὲν γὰρ ὁ Δημοσθένης πολλάκις ἑαυτὸν ἐγκωμίασεν· οὐ μὴν διὰ τοῦτο ὁ λόγος ἐγκώμιον, ἀλλὰ δηλονότι πρὸς τὴν κατηγορίαν Αἰσχίνου, καὶ ὧν κατηγόρησε, τοὺς ἐπαίνους προσείληφεν· ὅταν μὲν γὰρ αὐθαίρετον καὶ προηγούμενον ἔχωμεν τὸν ἔπαινον, ἀλλ᾽ οὐκ ἐξ ἀνάγκης τινὸς γιγνόμενον, ἐγκωμιαστικὴν ποιεῖται τὴν ὑπόθεσιν. νῦν δὲ ἐξ ἀνάγκης πρὸς τὴν φιλοσόφου κατηγορίαν ἐνιστάμενος πρὸς λύσιν εἴληφε τῶν ἀνδρῶν τὰ ἐγκώμια. οὐ μὴν τοῦ δικανικοῦ εἴδους δύναται εἶναι ὁ λόγος· οὐδὲ γὰρ τούτου πάλιν φυλάττει τὸ ἴδιον· ἴδιον γὰρ τοῦ δικανικοῦ τὸ ἔχειν ἐγκλήματα καὶ τούτων ἀπολογίαν. ἐνταῦθα δὲ οὐ φύσει ὁ Πλάτων τοῖς ἀνδράσιν ἐπήνεγκεν ἐγκλήματα, ἀλλὰ κολακείαν αὐτὴν κατηγόρηκε, καὶ ἅπερ ἐν τῷ Περικλεῖ διαβέβληκε· λάλους γὰρ, φησὶ, καὶ δειλοὺς καὶ φιλαργύρους εἰργάσατο· ἅπερ δῆλον ὅτι οὐδ᾽ αὐτὰ ἐγκλήματα φύσει καθέστηκε· κολακεία γὰρ μισεῖται μὲν, ἀλλ᾽ οὐκ ἤδη καὶ κολάζεται· τὰ γὰρ ἐγκλήματα δηλονότι καὶ τοῖς νόμοις κολάζεται· οὐ τοίνυν οὐδὲ τοῦ δικανικοῦ εἴδους δύναται εἶναι ὁ λόγος. λείπεται τοίνυν εἶδος μὴ ἔχειν τὸν λόγον· καὶ γάρ τοι τῶν σοφῶν τις Ἀθήνησιν ἀπορήσας, καὶ ἀποδείξας ὡς οὐδέτερον τῶν εἰδῶν δύναται εἶναι ὁ λόγος, ἀνασκευὴν αὐτὸν ἀπεφήνατο· ὅπερ ἐστὶν ἓν τῶν προγυμνασμάτων. καὶ πῶς οὐκ ἀτοπώτατον τοσαύτην ὑπόθεσιν ὑποβάλλειν τοῖς προγυμνάσμασιν. ὡμολόγηται γὰρ ὡς πολὺ τῆς ὑποθέσεως διενήνοχε τὰ προγυμνάσματα· ἡ μὲν γὰρ τελεία ὑπόθεσις· τὰ δὲ μέρη τῆς ὑποθέσεως καὶ ἀμφισβήτησιν ἐπιδέχεται, οὔτε μὴν ἔχει περίστασιν· ἦ γὰρ ἂν οὐδὲν διέφερε τῶν προγυμνασμάτων ἡ ὑπόθεσις. τί οὖν ἄρα καὶ τὸ εἶδος λεκτέον τοῦ λόγου; ἀλλὰ τοῖς κατανοεῖν δυναμένοις τέχνας τοῦτο δεδήλωκεν ἡμῖν ἐν τοῖς προγυμνάσμασιν ἐν τῷ τέλει τῆς τέχνης Θέων ὁ τεχνογράφος, εἰπών· ἔστι δὲ καὶ ἕτερον εἶδος ἀντίρρησις, ὅπερ οὐκέτι μὲν τυγχάνει προγύμνασμα,

μερικὸν δὲ εἶδος ῥητορικῆς, ὅπερ τῶν μὲν γενικωτάτων εἰδῶν οὐκ ἔστι, τέλειόν γε μὴν εἶδος καὶ μέρος καθέστηκε· καὶ τοῦτο καὶ ἐκ πολλῶν ἄλλων μερικῶν εἰδῶν ἔστι καταμαθεῖν, εἴτε λεκτέον εἴτε βασιλικὸν, εἴτε ἐπιθαλάμιον, εἴτε ἐπιτάφιον, καὶ ἄλλα πολλὰ, ὧν ἕκαστα τυγχάνει τῆς ἐγκωμιαστικῆς ἰδέας. καὶ ταῦτα μὲν καὶ περὶ τοῦ εἴδους· ἐκεῖνο δὲ παρατηρητέον, ὅτι Πλάτων οὐκ εὐθὺς, οὐδὲ ἐκ προοιμίων, ἦλθεν ἐπὶ τὴν κατηγορίαν τῶν ἀνδρῶν, ἀλλ᾽ ὑπέθετο πρῶτον τὸν ἄνθρωπον ἐκ ψυχῆς ὄντα καὶ σώματος· δύο δὲ ταύτας περὶ αὐτὸν εἶναι παρασκευάς· καὶ τὴν μὲν ἀρίστην ἥτις παρασκευάζει, ἄριστον εἶναι τὸν ἄνθρωπον· τὴν δὲ μιμεῖσθαι τὴν ἀρίστην παρασκευήν· καὶ μερίζει πρῶτον τὴν ἀρίστην παρασκευὴν εἰς μέρη τέσσαρα, καὶ δίδωσι δύο μὲν τῇ ψυχῇ, δύο δὲ τῷ σώματι· καὶ τοῦ μὲν σώματος θεραπείαν λέγει τήν τε γυμναστικὴν καὶ τὴν ἰατρικήν· ἡ μὲν γὰρ ὅλως, φησὶν, οὐ συγχωρεῖ νοσεῖν τὴν ἀρχὴν, ἡ γυμναστική· ἡ δὲ ἰατρικὴ τὸν νοσοῦντα θεραπεύει· καὶ ἀμφοτέρας μὲν ἐπαινεῖ τὰς παρασκευὰς, ἐπὶ πλέον δὲ τὴν γυμναστικὴν τῆς ἰατρικῆς· φησὶ γὰρ μὴ νοσεῖν ὅλως ἀρχὴν, ἢ νοσοῦντα θεραπεύεσθαι. ὁμοίως πάλιν καὶ ἐπὶ τῆς ψυχῆς δύο μέρη, τὴν νομοθετικὴν καὶ τὴν δικαστικήν· ἡ μὲν γὰρ, φησὶ, διδάσκει τά τε δίκαια καὶ τὰ καλὰ καὶ τὰ συμφέροντα, ἡ δὲ τοὺς ταῦτα παραβαίνοντας κολάζει καὶ βελτίους ἀπεργάζεται. καὶ γίνεται, φησὶν, ἡ ἰατρικὴ πονηρίας ἡ δίκη. ταύτην, φησὶ, τὴν ἀρίστην παρασκευὴν ὑποδύεται κολακεία τις, μιμουμένη τὴν ἀρίστην παρασκευὴν, γένος οὖσα· καὶ μερίζει, φησὶν, αὐτὴ ἑαυτὴν εἰς τέσσαρα, δύο μὲν περὶ τὸ σῶμα, δύο δὲ ὁμοίως περὶ τὴν ψυχήν· καὶ τοῦ σώματος εἶναι τήν τε κομμωτικὴν, λέγων τὴν κοσμητικὴν, τουτέστι τὴν κουρικὴν καὶ τὴν ὑφαντικήν· καλλωπίζουσι γὰρ αὗται, φησὶ, τὸ σῶμα· εἶτα τὴν μαγειρικὴν, ἥτις, φησὶ, προσποιεῖται τὸ σῶμα παρασκευάζειν φαίνεσθαι καλὸν, οὐκ ἂν δὲ τῇ ἀληθείᾳ, ὥσπερ ἐν τῇ γυμναστικῇ. τῆς δὲ πάλιν ψυχῆς φησι τήν τε σοφιστικὴν καὶ τὴν ῥητορικήν· καὶ τὴν μὲν σοφιστικὴν μιμεῖσθαι τὴν νομοθετικήν· καὶ αὕτη γὰρ, φησὶ, προσποιεῖται εἰδέναι τὰ καλὰ καὶ τὰ δίκαια, οὐκ οἶδε δὲ ἀληθῶς· τὴν δὲ ῥητορικὴν μιμεῖσθαι τὴν δικαστικήν· γίγνεται γὰρ, φησὶν, ὁ ῥήτωρ τῆς σοφιστικῆς διάκονος καὶ ὑπηρέτης, ὥσπερ ὁ δικαστὴς τοῦ νομοθέτου. καὶ οὕτω τεταρτημόριον κολακείας γίνεται ἡ ῥητορικὴ, ἐπειδὴ καὶ τέσσαρα μέρη

λέγει εἶναι τῆς κολακείας. τούτῳ τῷ τρόπῳ, τουτέστι προσχήματι τῆς παρασκευῆς ἦλθεν ἐπὶ τὴν κατηγορίαν τῆς ῥητορικῆς, καὶ τῶν ἀνδρῶν δηλονότι τὴν διαβολήν. ὁ δὲ ῥήτωρ τὸν λόγον ἐμέρισεν εἰς δύο, εἵς τε πρόσωπον καὶ πρᾶγμα· καὶ εἰς μὲν τὸ πρόσωπον πεποίηκε τὰ ἐγκώμια, εἰς δὲ τὸ πρᾶγμα τοὺς ἀγῶνας. γνωστέον δὲ ὡς οὐδέτερον ἀλλήλων κεχώρισται, οὔτε τὰ ἐγκώμια τῶν ἀγώνων, τουτέστι τῆς ἀπολογίας τῶν δοκούντων ἐγκλημάτων οὔτε πάλιν οἱ ἀγῶνες τῶν ἐγκωμίων, ἀλλ᾽ ἐκ τοῦ πλεονάζοντος εἴληφεν ἑκάτερον τὸ νόημα· ἐν μὲν γὰρ τοῖς ἐγκωμίοις ἐλάττονα τὰ ἐγκλήματα, καὶ τούτων ἡ λύσις, ἐν δὲ τοῖς ἀγῶσιν ὁμοίως ἐλάττονα τὰ ἐγκώμια, ἐπειδὴ μία ἑκατέρων τῶν εἰδῶν ἡ ὑπόθεσις, ἀλλὰ τεχνικῶς δηλονότι ὁ ῥήτωρ προέταξε τοῦ προσώπου τὰ ἐγκώμια, ἵνα συστήσας διὰ τούτων τὸ πρόσωπον ἀνέλῃ τῶν δοκούντων ἐγκλημάτων τὴν δύναμιν.

ΥΠΕΡ ΠΕΡΙΚΛΕΟΥΣ.

᾽Επίγραμμα εἰς στήλην Περικλέους.
῾Ηγησάμην ὁρόων σε, Περικλέες, ὅττι καὶ αὐτῷ
χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀνάπτεις.
ὡς ἔτι Κεκροπίδῃσι θεμιστεύων πολιήταις
ἢ μόθον ἐντείνων Πελοπήιον· ἱστάμενος δέ.

116,1 παραιτεῖσθαι συγγνώμην αἰτεῖν. ἀπολογεῖσθαι. παραιτεῖσθαι μὲν οὐκ οἶδ᾽ ὅτι δεῖ παραιτεῖσθαι μέν ἐστι τὸ συγγνώμην αἰτεῖν· οὕτω Δημοσθένης «Τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι.» δυνάμεθα λέγειν καὶ ἐπὶ τοῦ ἀπολογεῖσθαι τὸ παραιτεῖσθαι· τὸ δὲ ἑξῆς· οὐκ οἶδα μὲν συγγνώμην αἰτεῖν· δεῖ γὰρ πολλάκις περὶ τῶν αὐτῶν ἀπολογεῖσθαι, ἢ καὶ καθ᾽ ἑκάτερον τοῦ κατὰ κοινοῦ εἰς τὸ ἀπολογεῖσθαι λαμβανομένου, ἕως ἂν προάγοιτο. ἀπολογεῖσθαι μὲν οὐκ οἶδα, τουτέστιν οὐ δεῖ μοι ἀπολογίας, εἰ παρόν μοι ἀπολογεῖσθαι ὑπὲρ ἀνδρῶν μεγάλων Πλάτωνι ἀντιλέγω. ὅσος γὰρ ἂν ᾖ Πλάτων, πρεσβύτεροι οὗτοι οἱ ἄνδρες, καὶ χρόνῳ καὶ ἀξιώματι. τὸ δὲ προοίμιον ὡς ἐπὶ δευτερολογίας εἴρηται. ἐπειδὴ γὰρ προείρηνται αὐτῷ περὶ τῆς ῥητορικῆς δύο λόγοι, ὡς ἤδη προθεραπεύσας τὸ πρόσωπον Πλάτωνος οὕτω πεποίηται τὴν ἀρχήν. εἴρηται δὲ τὸ προοίμιον ἐκ κολακείας, ἐπειδὴ ἐβάρυνεν αὐτὸς τὸ πρόσωπον Πλάτωνος

ἔνδοξον ὄν. περὶ τῶν αὐτῶν πολλάκις ἀπελογήσατο γὰρ ἐν τῷ ὑπὲρ ῥητορικῆς λόγῳ. περὶ τῶν αὐτῶν πολλάκις λέγειν, ὅτι ἀτόπως ἐποίησεν ὧδε εἰρηκὼς πολλάκις· τοῦτο γὰρ εἶπεν, ὡς δῆλον ὅτι ἐν τῷ ὑπὲρ ῥητορικῆς ἀπελογήσατο ὑπὲρ τῶν ἀνδρῶν. καὶ μὴν ἐκεῖ ὑπὲρ τοῦ πράγματος μόνον ἀπελογήσατο, ἐνταῦθα δὲ ὑπὲρ τῶν ἀνδρῶν· ἀλλὰ φαμὲν ὅτι ἀνάγκη κἀκεῖ ἀπῄτει καὶ ὑπὲρ τῶν ἀνδρῶν τούτων εἰπεῖν τινα ῥητόρων ὄντων, καὶ τοῦ πράγματος μετεχόντων. οὐ δεῖ περὶ Πλάτωνος ἀντιλέγειν, φησὶ, διότι ἱκανῶς παρῃτησάμην ἐν τῷ ὑπὲρ ῥητορικῆς. σύντομον δὲ τὸ προοίμιον, ὡς ἐν δευτερολογίᾳ, θεραπείαν δεῖ ἔχειν Πλάτωνος.

116,2 ἄλλως τε καὶ οὐ πρὸς ἄνδρας μέλλοντας ἐρεῖν μᾶλλον ἢ ὑπὲρ ἀνδρῶν καλῶν καὶ ἀγαθῶν ἄλλη θεραπεία· ὅτι οὐδὲ πρὸς αὐτὸν Πλάτωνά ἐστιν ὁ λόγος, ἀλλ᾽ ὑπὲρ τῶν ἀνδρῶν. συνίστησι δὲ τὴν ποιότητα τῶν ῥητόρων, ἵνα δικαίως δείξῃ τὴν ἀντιλογίαν. πρὸς ἄνδρας δέον πρὸς ἄνδρα εἰπεῖν, ἤτοι τὸν Πλάτωνα. ὁ δὲ πρὸς ἄνδρας εἶπεν, συμπεριλαμβάνων τόν τε Πλάτωνα καὶ τοὺς τἀκείνου φρονοῦντας, ἤγουν τοὺς φιλοσόφους. ὑπὲρ ἀνδρῶν καλῶν καὶ ἀγαθῶν ἀπὸ σώματος καὶ ψυχῆς ἐπαινεῖ τοὺς ἄνδρας.

116,3 τούτων οὐκ ὀλίγων, οὐδὲ ἧττον παλαιῶν, ἢ Πλάτων, ὅτι μὴ καὶ πρεσβυτέρων ἐκείνου καὶ ἀπὸ τοῦ πλήθους καὶ ἀπὸ τοῦ χρόνου τὸ δίκαιον τῆς ἀντιλογίας δείκνυσιν. ἐπειδὴ δὲ δοκεῖ καὶ τὸ πρεσβύτερον ἄξιον εἶναι τιμῆς, τοῦτο προσέθηκε. ὅτι μὴ εἰ μή.

116,4 παρέστη δέ μοι θαυμάσαι πολλάκις ἄλλα τε δὴ τῶν ἐν Γοργίᾳ δοκεῖ τοῦτο τὸ μέρος εἶναι προκατασκευὴ τὴν αἰτίαν ἔχον τοῦ λόγου, ἀπὸ τῆς Δημοσθενικῆς διαιρέσεως τοῦτο κρίνοντες. τεχνικῶς δὲ καὶ τὰ ἄλλα διαβάλλει τοῦ Γοργίου, ἵνα πλέον διασύρῃ τὴν κατηγορίαν τῶν ἀνδρῶν. ἄλλα δὲ λέγει τὰ λεχθέντα κατὰ τῆς ῥητορικῆς. ἔστι δὲ ἐντεῦθεν εἰσβολὴ εἰς τὸ ἀντιρρητικὸν, ἤτοι τὸ ἀντιγραφικὸν κεφάλαιον.

116,5 τὴν κατηγορίαν καταχρηστικῶς. κυρίως γὰρ ἡ ἐν δικαστηρίῳ. Μιλτιάδου καὶ Θεμιστοκλέους καὶ Περικλέους καὶ Κίμωνος οὐχ ἁπλῶς τὰ ὀνόματα τῶν ἀνδρῶν λέγει, ἀλλὰ τῇ δόξῃ Πλάτωνος ἀντιτάττει τὴν δόξαν τῶν ἀνδρῶν.

116,6 ἀνειμένως ἠθικῶς. ἠθικῶς ἀντὶ τοῦ κακούργως, μὴ δόξας ἀπ᾽ ἀρχῆς ταύτην ποιεῖσθαι τὴν ὑπόθεσιν. ὡς μηδ᾽ ἂν εἷς εἰκάσει, πρὶν διακοῦσαι τοῦ διαλόγου παρὰ τῷ Ὁμήρῳ εἴρηται «Ψεύδεα δ᾽ ἀρτύνοντα, ὅθεν καί τις οὐδὲ ἴδοιτο.» τὸ δὲ εἰκάσειεν, ἀντὶ τοῦ διακρίνοιεν Ἀττικῶς. τὸ δὲ νόημα οὕτως· πρὶν, φησὶν, ὅλον τοῦ λόγου ἀκούει τις, οὐ δύναται γνῶναι τί περιέχουσι· τοιοῦτοι γὰρ οἱ διάλογοι. εἰκάσειε διακρίνειε.

116,9 ἀλλὰ ἐξῆν καὶ χωρὶς τῆς βλασφημίας ταύτης περαίνειν τὴν ὑπόθεσιν λύσις ἐστὶν ἀντιπίπτοντος, ἀνακόψαντος ἀπὸ τοῦ συμφέροντος τοῦ ἀντιπίπτοντος. βλασφημίαν δὲ εἶπε δεινῶς, ἵνα δείξῃ ψευδῆ τὴν κατηγορίαν, βαρυτέρῳ ὀνόματι πλήττων τὸν Πλάτωνα.

116,10 εἰ μὲν γὰρ τοῦτο εὐθὺς ἐξ ἀρχῆς προύθετο καλῶς τὸ εὐθὺς, ὅτι ὕστερον τοῦτο προσέθηκεν, ἵνα κλέψῃ τὴν κακουργίαν.

116,14 τὴν δὲ ἑτέραν σπουδαῖον καὶ καλὸν τὸ σχῆμα μεταληπτικὸν τοῦ λόγου· οὐ γὰρ εἶπε σπουδαίαν, ἀλλὰ σπουδαῖον, τὸ πρᾶγμα μεταβαλὼν ἀντὶ ὀνόματος. ὥστε τις ἦν βλάβη τῷ λόγῳ, μὴ τούτων δείκνυσι κατὰ ἔνστασιν πρῶτον Ἀριστείδης τὸν Πλάτωνα οὐκ ἀναγκαίως εἰς τὰς τῶν ἀνδρῶν χωρήσαντα βλασφημίας, εἶτα κατὰ ἀντιπαράστασιν, λέγων ὡς, εἰ καὶ δώσομεν, εἶναι βλάβην τοσαύτην τῷ σῷ λόγῳ ἐκ τοῦ μὴ λοιδορῆσαι τοὺς ἄνδρας, ὅσην ἂν ὠφέλειαν εἶχεν ἐκ τοῦ λοιδορῆσαι — τοιαῦτα γὰρ ἡμῖν ἐννοεῖν δίδως τῇ τοσαύτῃ κατ᾽ αὐτῶν ὁρμῇ — ἔδοξας ἂν πρὸς χάριν χρηστὸς, εἰ καὶ μὴ τὰ συνοίσοντα τῷ σῷ λόγῳ ἐποίεις. ἐκινδύνευε δὲ εἶπεν, ἐπειδὴ ὥσπερ κινδυνῶδές ἐστιν, ὅταν τινές τισι χαριζόμενοι βλάπτωνται. πανταχοῦ φθόνον κατασκευάζει τὴν αἰτίαν τοῦ Πλάτωνος.

117,1,2 εἴ γε καὶ μηδὲν μᾶλλον ἐκινδύνευε— χρηστὸν νομισθῆναι ἀντὶ τοῦ οὐκ ἦν, φησὶ, κίνδυνος οὐδὲ φόβος, μὴ ἄρα τὸ ἡδὺ νομισθῇ τοῦ βελτίονος κάλλιον. ἔστι δὲ Δημοσθενικόν· ὥστε κινδυνεύει τὸ λίαν εὐτυχεῖν ἐπαχθεῖς ποιεῖν.

117,2 τό γε δήπου πρὸς χάριν τὴν ἐκείνων δηλονότι. τὸ ἡδύ.

117,3 τοῦ Καλλικλέους ἀπειρηκότος ἤδη πολλάκις τοῦ Καλλικλέους δεινῶς εἶπεν· οὐ γὰρ, ὅτι ὁ Καλλικλῆς ἀπειρήκει καὶ ἠττήθη, ἀλλ᾽ ὅτι αὐτὸς ὁ

Πλάτων περιέθηκεν αὐτῷ τὴν ἧτταν τῶν λόγων· ἀπειρηκότος δὲ εἶπε, καὶ οὐ πεισθέντος· οὐ γὰρ ἠδυνήθη, φησὶ, κατὰ τὴν ἀξίαν τῆς ῥητορικῆς ἀγωνίσασθαι.

117,4 ὦ Σώκρατες τῷ Σωκράτει τῷ αὐτοῦ διδασκάλῳ περιέθηκεν ὁ Πλάτων τοὺς λόγους, κοσμῶν αὐτόν. τῶν πολλῶν δὲ λέγει τῶν ἰδιωτῶν· ἐκεῖνοι γὰρ, ὅταν συλλογισθῶσιν, οὐ δέχονται τὴν ἀπόδειξιν.

117,5 ὡς εἰ ψέξειεν ἐκείνους αἰτίας ἀναίρεσις, ὅτι οὐ τῷ ψέγειν ἐπείθοντο.

117,6 προσάξεσθαι εἰς αὐτὸν ἄξειν. τοὐναντίον γὰρ ἔμοιγε δοκεῖ μᾶλλον ἂν καὶ παροξῦναι ἢ ὅτι ῥήτωρ ἦν, καὶ οὐκ ἂν ἠνέσχετο ῥητόρων διαβαλλομένων, ἢ ὅτι ἐφίλει τοὺς ἄνδρας. ἢ ὅτι ῥήτωρ ἐτύγχανε, καὶ οὐκ ἂν ἠνέσχετο ῥητόρων διαβαλλομένων, ἢ ὅτι τὸν πόθον εἶχε πρὸς τοὺς ἄνδρας.

117,7 πλέον θάτερον ποιῆσαι τὸ μὴ προσάξεσθαι.

117,8 ἀνεσόβει τὴν θήραν παροιμία. ὅπερ ἐβούλετο δηλοῦν τὸ πεισθῆναι τὸν Καλλικλῆ. γνοίη δ' ἄν τις ἐξ αὐτῶν τῶν ῥημάτων τὸ γνοίη δ' ἄν τις πρὸς τὸ τίς ἦν βλάβη τῷ λόγῳ τὴν δύναμιν ἔχει, τὰ δ' ἄλλα διὰ μέσου εἶπεν, ἐπαχθεὶς τῇ τοῦ λόγου ἀκολουθίᾳ.

117,9 ἐξ αὐτῶν τῶν ῥημάτων δεινῶς πάλιν οὐκ ἀποδείξεως, οὐδὲ λόγων, ἀλλὰ ῥημάτων φλυαρίαν ἐμφαίνων, εἶπεν ἐξ αὐτῶν τῶν ῥημάτων.

117,10 θεραπεύειν ἐπιμελεῖσθαι. ἀντὶ τοῦ ἐπιμελεῖσθαι· ὡς Θουκυδίδης ἐν δευτέρᾳ «Ὁ μὲν ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας.» τὸ δὲ ὡς ἀντὶ τοῦ πάνυ· ἐπίτασις γάρ ἐστιν ἡ λέξις.

117,11 ὥσθ' ὅταν ὡμολόγητο ἀντὶ τοῦ συνετέθη. ὅ ἐστιν ἐλέχθη.

117,12 πρὸς ὃ πάντα τοῦτ' εἶχε τὴν ἀναφορὰν ἀναφορὰν λέγει τὴν αἰτίαν. ὅρα δὲ, πῶς τὴν βίαν δείκνυσι τὴν Πλάτωνος, ὅτι ἐβιάζετο εἰς ἓν τὰ πάντα ἀναφέρειν. πάλιν δὲ δεινῶς τῷ τῆς ζημίας ὀνόματι δημοσιεύει τὸν φθόνον. τὴν ἀναφορὰν αἰτίαν.

117,13 νῦν δὲ ὥσπερ ὠδίνων ἐνταῦθα ἐκφαίνει φανερῶς τὸν φθόνον τοῦ Πλάτωνος. ὠδίνων δὲ λέγει ἀντὶ τοῦ ὥσπερ ἐπιθυμῶν τὴν κατ᾽ αὐτοῦ διαβολήν. ἡ δὲ λέξις ὡς ἐπὶ τῶν ἐγγύων γυναικῶν. περιβαλλόμενος κύκλῳ τὴν ἐπ᾽ ἐκείνους ὁδὸν ἀπὸ τῶν ἰχθυώντων καὶ κυνηγετούντων.

117,14 ἐπιβούλως φθονερῶς. τὸ μὲν διάφορον τὸ λοιδορῆσαι καὶ μή. τὸ ἐλέγχειν Καλλικλέα. τὸ μὲν διάφορον οὐχὶ μικρὸν εἰς τὸ ἐλέγχειν Καλλικλέα, ὥστε τὰ βέλτιστα λέγειν ἄμεινον εἴη τοῦ πρὸς ἡδονήν.

117,15 τοῦτο δὲ τὸ ὑβρίζειν. τοῦτο δὲ ἐγὼ μὲν οὐδέποτε ἂν φήσαιμι ἀποσιώπησις τὸ σχῆμα. τουτέστι τὸ εἰπεῖν κακῶς τοὺς ἄνδρας. τὸ δὲ σχῆμα ἀποσιώπησις· καὶ παρὰ Δημοσθένει «Ἀλλ᾽ ἐμοὶ μέν· οὐ βούλομαι δὲ δυσχερὲς οὐδὲν εἰπεῖν, ἀρχόμενος τοῦ λόγου.» Δημοσθενικὸν δὲ καὶ τὸ ἐπιχείρημα· ἵνα γὰρ μὴ δοκῇ αὐτὸς ὑβρίζειν ἑτέρῳ προσώπῳ τὴν διαβολὴν περιέθηκε.

117,16 οὐ πόρρω κακοηθείας εἶναι τὸν Πλάτωνα.

117,17 τοσοῦτον προέχοντα φιλανθρωπίᾳ καὶ μεγαλοψυχίᾳ καλῶς εἶπε· δοκοῦσι γὰρ οἱ φιλόσοφοι μὴ φθονεῖν, ὡς μεγαλόψυχοι· οἱ γὰρ μικρόψυχοι εἰώθασι φθονεῖν· μεγαλόψυχοι δὲ ἐκεῖνοι, ὅτι περὶ τὰ οὐράνια ἀσχολοῦνται. τοῦτο γὰρ λέγει μεγαλοψυχίαν.

117,18 ὅσα γε ἐκ τῶν λόγων θαυμασίως, ἵνα μὴ αὐτοῦ κατηγορήσῃ τοῦ Πλάτωνος, τὸν λόγον αὐτοῦ φησιν αἴτιον εἶναι. δεινῶς δὲ κωμῳδίᾳ παραβάλλει τὸν διάλογον τοῦ Πλάτωνος. ἔξεστι δὲ ἀντὶ τοῦ δυνατόν ἐστι. κατηγορήσαντος δὲ τοῦ Κλέωνος Ἀριστοφάνους ὕβρεως, ἐτέθη νόμος μηκέτι ἐξεῖναι κωμῳδεῖν ὀνομαστί. ἄλλοι δὲ λέγουσιν ὅτι ἐκωμῴδουν ὀνομαστὶ τοὺς ἄνδρας μέχρις Εὐπόλιδος. περιεῖλε δὲ τοῦτο Ἀλκιβιάδης ὁ στρατηγὸς καὶ ῥήτωρ. κωμῳδηθεὶς γὰρ παρὰ Εὐπόλιδος ἔρριψεν αὐτὸν ἐν τῇ θαλάττῃ ἐν Σικελίᾳ συστρατευόμενον εἰπὼν «Βάπτε με ἐν θυμέλῃσιν, ἐγὼ δέ σε κύμασι πόντου βαπτίζων
ὀλέσω νάμασι πικροτάτοις.»

118,1 πιστοῦσθαι δὲ οὐκ ἐνῆν τὸν λόγον, εἰ μὴ τινὰς εἶπε κακῶς ὀνομαστὶ ὡς οὐκ ἔχοντος αὐτοῦ ἀπόδειξιν, εἰ μὴ τὴν διαβολὴν τῶν ἀνδρῶν.

118,2 εἰ πρὸ τούτων τῶν ἀνδρῶν ἔτυχε σχῆμα ὑποθετικόν. καθ' ὑπόθεσιν τὸ ἐπιχείρημα· ἰσχυρὸν δὲ πρὸς ἀναίρεσιν τῆς διαβολῆς τῶν ἀνδρῶν, ἀπὸ τοῦ χρόνον τὴν λύσιν ποιούμενος.

118,4 ὅτε τοίνυν ἦσαν λόγοι ἐνθύμημα. τῷ πράγματι τῇ κατηγορίᾳ.

118,5 ὅτι τοίνυν οὐδ' ἀληθῆ κατ' αὐτῶν ἀπόθεσις. πληρώσας τὸ περιττὸν ἐντεῦθεν βούλεται δεῖξαι ὅτι καὶ ψευδὴς ὁ λόγος ὁ κατὰ τῶν ἀνδρῶν. πεπλήρωται δὲ ἡ προκατασκευή. εἰσβάλλει δὲ λοιπὸν ἐπὶ τὰ ἐγκώμια τῶν ἀνδρῶν. οὐ μὴν διὰ τοῦτο καὶ ἐγκώμιον ὁ λόγος τυγχάνει· ἀλλὰ καὶ πρὸς ἀπολογίαν τῆς διαβολῆς ἔλαβε τὰ ἐγκώμια.

118,6 ἄνευ τοῦ μηδὲν προσήκειν βλασφημεῖν, εἶ καὶ τὰ μάλιστα ἐλέγχειν ἔμελλε νόμιμόν ἐστι τοὺς ὁτιοῦν ἐλέγχοντας αὐτὸ τοῦτο μόνον ποιεῖν, καὶ μὴ πρὸς ὕβρεις ἐξάγεσθαι. ἀμβλύνουσι γὰρ ὥσπερ ἐντεῦθεν τὴν τῶν ἐλέγχων ἰσχύν. χωρὶς τοῦ μὴ ἔχειν ἀνάγκην διαβάλλειν. ἔστι δὲ ἔνια, ἃ εἰ καὶ ἀληθῶς λέγεται, περιττά ἐστιν. οἷον κάλεσόν μοι τῶν μαθητῶν τὸν υἱὸν τοῦ δούλου ὡμολόγηται μὲν γὰρ τοῦτο, τὸ δὲ οὕτως καλέσαι περιττόν.

118,7 καὶ πρῶτον μὲν τὸν Περικλέα σκεψώμεθα ἐπειδὴ ἔναυλον εἶχε Περικλέους τὴν μνήμην, διὰ τοῦτο προέταξε· νεώτερος γὰρ ἦν τῶν ἄλλων ῥητόρων· ἔπειτα, ὅτι ἐκ πάντων τῶν μορίων τῆς ἀρετῆς εἶχεν αὐτὸν ἐπαινεῖν.

118,9,10 ἐκεῖνος τοίνυν λέγεται βιῶναι μὲν οὕτω σεμνῶς, ὥστε μηδὲν τῶν προφητῶν καὶ τῶν ἱερέων τὸν ἐκείνου βίον διαφέρειν Δημοσθενικῶς, ἵνα πανταχόθεν τὴν ἀρετὴν αὐτοῦ πιστώσηται· ἐκ γὰρ τῶν ἱστορικῶν τὴν μαρτυρίαν λαμβάνει, ἵνα μὴ δοκῇ ἐκ τοῦ ἰδίου προσώπου αὐτὸν ἐπαινεῖν. δείκνυσι δὲ καὶ ἐκ τούτων ὅτι οὐκ ἔστι τῶν ἐγκωμιαστικῶν τόπων ἤρξατο· ποῦ γὰρ ἡ πατρίς; ποῦ τὸ γένος, ἢ οἱ πρόγονοι; προφήτῃ δὲ αὐτοῦ παραβάλλει τὸν βίον. ἄλλο δὲ προφήτης, καὶ ἕτερον ἱερεύς· ἀμφότεροι θεῶν θεραπευταί.

118,10 σεμνῶς καθαρῶς.

118,11 τεταγμένα ὡρισμένα. εὐτάκτως. ἀντὶ τοῦ ὡρισμένα. τὸ δὲ μίαν ὁδὸν εἰδέναι τὴν ἀπὸ τῆς οἰκίας ἐπὶ τὴν ἐκκλησίαν· οἰκείως οὖν τῆς παροιμίας ἐμνημόνευσε. δηλοῖ δὲ ἡ παροιμία καὶ τὸν δίκαιον, οὐχ ὅτι τὰς ἄλλας ὁδοὺς ἠγνόει, ἀλλ᾽ εἰδὼς σωφρόνως διῆγεν.

118,13 ὥσπερ τοὺς πρεσβυτάτους Ἀθηναίων ὁ Πλάτωνος ἀνυμνεῖ λόγος ἐν τῷ Τιμαίῳ φησὶ σώφρονας τοὺς πρὸ κατακλυσμοῦ Ἀθηναίους εἶναι. ἵνα καὶ Πλάτωνα ἔχῃ ἐπαινέτην· ἐν γὰρ τῷ Τιμαίῳ φησὶ σώφρονας τοὺς πρὸ τοῦ κατακλυσμοῦ ἀνθρώπους, ἢ τοὺς ὅτε οἱ Ἀρεοπαγῖται διῴκουν. δημοτικὸς δὲ ὢν τῇ προαιρέσει τὸ ἴσον ἐμφαίνει· ἀρετὴ γὰρ δημοκρατίας ἡ ἰσότης. δύο δὲ ἦσαν Ἀθήνησι πολιτεῖαι· οἱ μὲν γὰρ ἦσαν καλοὶ καὶ ἀγαθοί, οἱ καλούμενοι ὀλιγαρχικοί, οἱ δὲ δημοτικοί· καὶ τούτων μὲν προΐστατο Κίμων, πολλὰ διανέμων καὶ συγχωρῶν ὀπωρίσασθαι τοῖς βουλομένοις, καὶ ἱμάτια διανέμων τοῖς πένησι· τῶν δὲ ὀλιγαρχικῶν προΐστατο Περικλῆς· κατηγορηθεὶς δὲ ὁ Κίμων ὑπὸ Περικλέους ἐπὶ Λανίκῃ τῇ ἀδελφῇ καὶ ἐπὶ Σκύρῳ τῇ νήσῳ, ὡς ὑπ᾽ αὐτοῦ προδιδομένου ἐξεβλήθη. δεδιὼς δὲ ὁ Περικλῆς μὴ ζητηθῇ ὑπὸ τῶν δημοτικῶν, πρὸς αὐτοὺς ἐχώρησεν· οἱ δὲ ὀλίγον γαμβρὸν ὄντα Θουκυδίδην τὸν Μελισίου τοῦ Κίμωνος ἐπεσπάσαντο, σκυλακώδη ὄντα καὶ ὀλιγαρχικόν.

117,14 πράττων ὑπὲρ τοῦ πλήθους ἐναντία Θουκυδίδῃ οὐ τὸν συγγραφέα Θουκυδίδην φησὶν, ἀλλὰ ἄλλον τινὰ, ᾧ ποτε Ἀθηναῖοι τὰ πολιτικὰ ἐπιτρέψαντες ἐπείθοντο πάντες, ἅτε εὐθυνουμένης τῆς πόλεως. ἐναντία δέ φησιν, ἤτοι φανερῶς τὰ αὐτά. αὔξει δὲ τὸν Θουκυδίδην, ἵνα πλέον αὐξήσῃ τὸν Περικλῆ, ὅτι καὶ πρὸς τοῦτον ἀντιπολιτευόμενος ἀπεῖχε τὴν πρὸς τὸν δῆμον κολακείαν· κολακείαν δὲ λέγει τὴν κομψότητα. οὐ τὸν συγγραφέα λέγει, ἀλλὰ ἄλλον τινὰ διάστροφον τῆς πόλεως, ᾧ καὶ ὁ δῆμος ἅπας ἐπείθετο. αὔξει δὲ τὸν Θουκυδίδην, ἵνα πλέον αὐξήσῃ τὸν Περικλέα, ὅτι καὶ πρὸς τοῦτον ἀντιπολιτευόμενος ἀπεῖχε τῆς πρὸς τὸν δῆμον κολακείας· κολακείαν γὰρ λέγει τὴν κομψότητα. τούτου δὲ τοῦ Θουκυδίδου καὶ ὁ συγγραφεὺς μέμνηται, λέγων «Ἃ μετὰ τοῦ Θουκυδίδου καὶ Ἄγνωνος.»

118,15 κομψότητος πανουργίας. ἀποσχεῖν μακρὰν εἶναι.

118,17 τῷ δὲ ἀξιώματι τῆς γνώμης καὶ τῷ μὴ τῶν αὐτῶν ἡττᾶσθαι τοῖς πολλοῖς δείκνυσιν αὐτὸν καὶ τὸ ἴσον τῆς δημοκρατίας φυλάττοντα τῷ λέγειν κοινὸν εἶναι καὶ τηροῦντα τὸ ἀξίωμα τῷ μὴ ἡττηθῆναι, οἷσπερ οἱ ἄλλοι ἡττῶνται.

118,19 ὥσθ᾽ ὅτι μὲν καὶ τοὺς ἀγροὺς ἠφίει τῇ πόλει, παρίημι, μή τις ἄρα εἴπῃ, ὡς φόβῳ τῆς διαβολῆς εἶδεν αὐτὸ ῥητορικῶς εἰργάσατο κατὰ παράλειψιν· ᾔδει γὰρ αὐτὸν μὴ θαρροῦντα τῷ λόγῳ, ἐπειδήπερ οὐ διὰ μεγαλοψυχίαν παρεχώρησεν, ἀλλὰ φόβῳ διαβολῆς προδοσίας. ἐπιστρατεύσαντες Λακεδαιμόνιοι μετ᾽ Ἀρχιδάμου Ἀθήνησι, καὶ δενδροτομήσαντες τὰς Ἀχάρνας, καὶ τοὺς τῶν ἄλλων Ἀθηναίων ἀγροὺς, μόνους τοὺς τοῦ Περικλέους εἴασεν, φιλίαν τοῦ Ἀρχιδάμου πρὸς αὐτὸν ἔχοντος. φοβούμενος οὖν Περικλῆς μὴ ὕποπτος Ἀθηναίοις γένηται, ὡς μετὰ τῶν πολεμίων ἔχων συνθήκας, πάντων αὐτοῦ τῶν ἀγρῶν ἀπέστη τῇ πόλει.

119,1 ὡς φόβῳ τῆς διαβολῆς εἶδεν αὐτὸ πεποιημένον ὑπὸ Περικλέους. ἐδόκει γὰρ ὥσπερ ἄλλο τι—τὸ ὑπερφρονεῖν χρημάτων ὑπερβολικόν ἐστι, καὶ ἄλλων ὄντων τεκμηρίων, τούτου δὲ μείζονος ὄντος.

119,2 ὥστε καὶ αὐτός ποτε καλῶς προσέθηκε τὸ ποτέ· ἐπειδὴ γὰρ φορτικὸν τὸ ἐπαινεῖν ἑαυτὸν, διὰ τοῦτο προσέθηκε τὴν ἀνάγκην, δηλῶν τὸ ἀκούσιον. σημαίνει δὲ τὴν δημηγορίαν Περικλέους, τὴν ἐν τῇ δευτέρᾳ· ὅτι διαβαλλόμενος παρ᾽ αὐτῶν διὰ τὸν πόλεμον ἠναγκάσθη ἑαυτὸν ἐπαινέσαι εἰς τὰ δέοντα συμβουλεύσας.

119,3 λέγων περὶ τῶν αὐτῷ προσόντων ἀγαθῶν εἶπε γὰρ ἔχειν πλεονεκτήματα τέσσαρα, τὸ νοεῖν, καὶ ἑρμηνεύειν, καὶ τὸ εἶναι φιλόπολιν, καὶ χρημάτων κρείττονα.

119,4 οὕτω δ᾽ ἦν παραπλήσιος κατὰ τὸν βίον λείπει ἡ πρόθεσις. ὁ δὲ νοῦς οὕτως· οὕτω δὲ ἦν ὅμοιος, ὡς αὐτὸς ἑαυτῷ κατὰ τὸν βίον ἑαυτῷ. τοσοῦτον ἀπεῖχε τοῦ ζῆν πρὸς τὰς ἑτέρων ἡδονὰς τοῦτο γὰρ αὐτῷ τὸ ἔγκλημα ἐπήγαγεν ὁ Πλάτων· λέγω δὲ τὸ τῆς κολακείας.

119,5 ὥστε φασὶν οἱ γράψαντες περὶ αὐτοῦ, διδασκάλου τάξιν πρὸς παῖδας πρὸς τοὺς Ἀθηναίους αὐτὸν ἔχειν δεινῶς εἶπεν οἱ γράψαντες, πλῆθος δηλῶν

ἱστορικῶν. διδασκάλῳ δὲ παραβάλλει τὸν Περικλέα, παισὶ δὲ τοὺς Ἀθηναίους, οὐχ ὅτι παῖδες Ἀθηναῖοι, — τοῦτο γὰρ ὕβρις — ἀλλὰ συμβουλεύων, φησὶν, Ἀθηναίοις, ὡς παῖδας εἶχε πειθομένους αὐτούς.

119,9 ὃ δὲ φασὶν ὑπάρξαι Σωκράτει σοφιστῶν διαφερόντως δεινῶς καὶ ῥητορικῶς τῷ διδασκάλῳ Πλάτωνος παραβάλλει τὸν Περικλέα, καὶ κρείττονα δείκνυσι, λέγων αὐτὸν ἀνδρῶν ἡγεῖσθαι τεσσαράκοντα· οἱ δὲ τὸν ἔπαινον Σωκράτους νέων αὐτὸν εἰρηκὼς διδάσκαλον. δεινῶς δὲ καὶ φιλόσοφον σοφιστὴν ὠνόμασε, βουλόμενος δεῖξαι ὅτι κοινά ἐστι τὰ ὀνόματα· καὶ γὰρ ἐν τῷ τέλει τοῦ λόγου περὶ τῶν ὀνομάτων ἡμῖν διαλέγεται, ὡς κοινῶν ὄντων ἀμφοτέρων, ἐπειδὴ πλεῖστον διαβάλλει τὸ τοῦ σοφιστοῦ ὄνομα. ἐπαρθέντα μὲν γὰρ τὸν δῆμον καὶ μεῖζον προλαμβάνει τὴν μαρτυρίαν καὶ τὸν ἔπαινον τοῦ Θουκυδίδου, ὃν εἶπε περὶ αὐτοῦ, ἵνα εὑρεθῇ συνῳδὰ τῷ ἱστορικῷ φθεγγόμενος.

119,11 ὥσπερ ἐκεῖνος εἰώθει περὶ τοὺς νέους ποιεῖν σημείωσον, ὡς ἐπὶ μέγα φρονούντων ὡς εἴωθε ποιεῖν εἰπών. τοῦτο δὲ, φησὶν, ἐποίει πρὸς τοὺς νέους· καὶ γὰρ δὴ μέγα ἐφρόνουν, ὡς λοιπὸν ἐπιστάμενοι τὴν φιλοσοφίαν· καθαίρων αὐτῶν τὸ φρόνημα τῷ δεῖξαι αὐτοὺς ἐλλιπεῖς καὶ μήπω εἰσακουσθέντας, ὅτε δὲ ἀθυμοῦντας διὰ τὴν δυσχέρειαν τῆς φιλοσοφίας, ψυχαγωγεῖ αὐτοὺς τῷ κατὰ μικρὸν αὐτοὺς ἐμβιβάζειν πρὸς τὴν μάθησιν.

119,12 σχῆμα καλλώπισμα. οὐ δουλείων ταῖς τῶν πολλῶν ἐπιθυμίαις ἀντὶ τοῦ οὐκ ὢν κόλαξ, ὅπερ ἐκάλει αὐτῷ Πλάτων.

119,14 ὅ τι δόξειεν αὐτῷ, τοῦτ’ ἐκείνους πράττειν ἐπαναγκάζων τουτέστι πρὸς τὴν ἑαυτοῦ βούλησιν εἶλκε τοὺς Ἀθηναίους.

119,16 τῷ δὲ κατείργειν ἅπαντας καὶ πάνθ’ ὑφ’ αὑτὸν ἔχειν, πλέον ἢ τύραννος ὁ γὰρ τύραννος ἀναγκάζει, οὗτος δὲ ἑκόντας αὐτοὺς εἰς τοῦτο παρεσκεύασεν. μέμφονταί τινες τῷ Ἀριστείδῃ ὅτι τυράννῳ παραβάλλει τὸν Περικλέα. λέγομεν δὲ ὅτι τὴν ἄγαν ἐξουσίαν δηλῶσαι βουλόμενος ἀπεικάζει αὐτὸν τῷ τυράννῳ, τῇ δὲ γνώμῃ οὐκ ἔτι. προϊὼν γὰρ λέγει ὅτι δίκαιος ἦν καὶ οὐδαμοῦ τὴν πλεονεξίαν ἠγάπησεν.

119,18 μείζων τῆς τάξεως τῆς εὐκοσμίας λέγει. σημαίνει δὲ πάλιν τὴν ἰσότητα τῆς πολιτείας.

119,19 παρὸν αὐτῷ μᾶλλον παντὸς Πεισιστράτου οὗτος Πεισίστρατος πρῶτος ἐτυράννησε τῶν Ἀθηναίων, ὥς φησιν Ἡρόδοτος ἐν τῇ πρώτῃ. διὸ καὶ παρὰ πάντων τῶν τυράννων ἐνομίσθη χαλεπώτερος. δεινῶς οὖν ὁ Ἀριστείδης πάντα τύραννον χαλεπὸν Πεισίστρατον ἐκάλεσεν, ὡς καὶ Μειδίας ὁ ῥήτωρ πάντα πλούσιον φοβερὸν ὀνομάζει, παντὸς οὖν Πεισιστράτου λέγειν, ἀντὶ τοῦ παντὸς τυράννου. οὗτος πρῶτος ἐτυράννησεν ἐν Ἀθήναις, διὸ καὶ πάντων τυράννων ἐνομίσθη χαλεπώτατος. δεινῶς οὖν ὁ ῥήτωρ παντὸς Πεισιστράτου φησὶν ὥσπερ ἂν εἰ παντὸς τυράννου προσέθηκεν. ἀλλ᾽ ἦν παραπλήσιος κατέχοντι τὴν ἀκρόπολιν καλῶς εἶπε παραπλήσιος, καὶ οὐκ αὐτοτύραννος, διὰ τὸ ἄδικον τοῦ ὀνόματος.

120,1 ἐπὶ τῷ σώζειν τοὺς νόμους ἀναγκαίως προσέθηκε τοῦτο, ἐπειδήπερ ὁ τύραννος δοκεῖ πολέμιος εἶναι τῶν νόμων. ἐκ μέσου δημοσίᾳ. ἤτοι ἀντὶ τοῦ φανερῶς. ἐκ μέσου λέγει ἀντὶ τοῦ κοινῇ· τὸ γὰρ μέσον σημαίνει τὸ κοινόν· ἤτοι, ὅτι μέση κεῖται τῆς ἄλλης πόλεως· ἢ δηλοῖ δι᾽ αὐτοῦ τὴν εἰς πάντας ἰσότητα· τὸ γὰρ ἐκ μέσου φερόμενον ἴσον ἐπὶ πάντας φέρεται. ὡς ἐπὶ κύκλου.

120,2 εἰ τὸν Ἀρχέλαον κακίζεις ὡς ἄθλιον καὶ κακοδαίμονα Ἀρχέλαος Περδίκκου παῖς νόθος ἐκ δούλης Ἀλκέτα, ἀδελφοῦ Περδίκκου· ὃν ἐκβαλὼν ὁ Περδίκκας εἶχε τὴν βασιλείαν. μετὰ οὖν θάνατον Περδίκκου μεταστειλάμενος Ἀρχέλαος Ἀλκέταν ὡς ἐπὶ βασιλείᾳ καταμεθύσας ἀπέκτεινε μετὰ παιδὸς Ἀλεξάνδρου, καὶ ἠφάνισε καὶ τὸν γνήσιον Περδίκκου τοῦ πατρὸς παῖδα ἀπὸ Κλεοπάτρας εἰς φρέαρ, καὶ ἔφη χῆνα διώκοντα ἐμπεσεῖν. τοῦτον δὲ ἐπικεκλῆσθαί φησιν Ἀλκέταν ἢ Μέρωπον. ἐκ τοῦ ἐναντίου τὸ ἐπιχείρημα· εἰ γὰρ, φησὶ, τὸν Ἀρχέλαον κακίζεις, ὅτι ἐξ ἀδικίας τὴν βασιλείαν ἐκτήσατο, ὀφείλεις θαυμάζειν τὸν Περικλέα, ὅτι παρὸν αὐτῷ τυραννεῖν οὐχ εἵλετο. οὗτος δὲ ὁ Ἀρχέλαος Μακεδὼν ἦν τὸ γένος, πρόγονος δὲ Φιλίππου. μέμνηται δὲ καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ ὅτι Περδίκκου ἦν υἱός· οὗτος δὲ νόθος ὢν ἀπέκτεινε τὸν ἀδελφὸν γνήσιον ὄντα, ᾧ ἡ βασιλεία ὠφείλετο, καὶ οὕτως αὐτὸς ἐβασίλευσεν.

ἄθλιον δὲ αὐτὸν ὁ Πλάτων, ὡς ἀδελφοκτόνον γενόμενον, ὥστε καὶ τὸν δίκαιον καλεῖ εὐδαίμονα.

120,5 εἰ μὲν τοίνυν περὶ ἄλλου του πράγματος ἢ δόγματος βαθέως ἐνταῦθα διασύρει τὸν Πλάτωνα, ὅτι περὶ λόγους καὶ δόγματα τοὺς μαθητὰς οἱ φιλόσοφοι σοφίζονται, μαρτυρίαν οὐ παρεχόμενοι. ἐνομίσθη δέ τις μεγαλοφρονεῖν Ἀριστείδης, εἰπών, οὐδ' ἂν αὐτὸς ᾤμην δεῖν καταφεύγειν εἰς μάρτυρας. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τῶν πραγμάτων τὰ μὲν ἐκ τῶν παλαιῶν ἔχει τὸν ἔλεγχον, τὰ δὲ ἐξ ἡμῶν αὐτῶν, ὅ ἐστιν ἐκ τῶν εἰκότων· οἷον εἰ εἴπομεν ὅτι ὁ Ἕκτωρ υἱὸς ἦν Πριάμου, εὐθὺς ἂν προφέροιμεν μάρτυρα τὸν ποιητήν, ἡμεῖς δὲ ἐξ ἡμῶν αὐτῶν οὐ διισχυριζόμεθα· εἰ δὲ εἴπομεν ὅτι ὁ δεῖνα καλὸς ἢ κακὸς, ἐξ ἡμῶν αὐτῶν σπουδάζομεν ἀποδείξεις ποιεῖν. οὕτως οὖν καὶ ἐνταῦθα περὶ παλαιῶν διηγούμενος παλαιῶν καὶ αὐτὸς προσφέρει μαρτυρίαν.

120,6 συμβαίνειν ᾤμην κάτωθεν κατὰ συνεκδοχὴν τὸ ᾤμην πρὸς τὸ συμβαίνειν λάμβανε.

120,7 ἐπ' ἐμαυτοῦ ἀντὶ τοῦ κατ' ἐμαυτόν. δεινῶς δὲ εἶπεν αὐτό. ἐμφαίνει γὰρ ὅτι καὶ αὐτὸς ἠδύνατο δογματίζειν ὁ Ἀριστείδης, ὥσπερ ὁ Πλάτων. τοῦτο γάρ ἐστι τὸ ἐπ' ἐμαυτοῦ. ἐπεὶ δὲ ὑπὲρ ἀνδρῶν πάλαι γεγενημένων καὶ μάρτυρος τὰ νῦν ἑστῶτα ἀποδείξεως δέονται, οἱ δὲ πάλαι γεγενημένοι ἄνδρες μαρτύρων τῶν κατ' αὐτοὺς γενομένων καὶ τὰ αὐτῶν ἰδόντων. διὰ τοῦ εἰπεῖν πάλαι γεγενημένων ἔδειξεν ἀναγκαίαν οὖσαν τὴν μαρτυρίαν· πῶς γάρ τις δύναται τὰ παλαιὰ πιστώσασθαι, εἰ μὴ διὰ μαρτύρων; ἀναγκαίως δὲ καὶ τὸ ὑπὲρ ἀνδρῶν, ὡσανεὶ ἔλεγεν· ὦ Πλάτων, ἐγὼ νῦν ἄνδρας ἐξετάζω παλαιοὺς, οὐ λόγους, οὐ δόγματα, ὥσπερ σὺ ποιεῖς.

120,9 ὦ τῶν μαρτύρων ὑπερορῶν δι' ἀποδείξεως γὰρ πάντα δείκνυσι Πλάτων. εἰρωνικὸν τὸ σχῆμα. ἐπειδὴ ὁ Πλάτων δίχα μαρτύρων ἔπειθε διὰ τῶν λόγων, τοῦτο εἶπε. λέγει δὲ ὁ Πλάτων πρὸς τὸν Πῶλον. ἐγὼ μὲν ὧδ' ἂν λέγω, ἕνα μὲν παρέχεσθαι μάρτυρα ἐπίσταμαι, πρὸς ὃν ἄν μοι ὁ λόγος ᾖ, τοὺς δὲ πολλοὺς ἐῶ χαίρειν. τάχα δὲ καὶ ἠθικῶς εἴρηται. φαίνεται γὰρ καὶ αὐτὸς Πλάτων μαρτυρίας εἰσαγαγὼν ἐν τῇ Σωκράτους ἀπολογίᾳ, ὅτι καὶ εὐσεβὴς ἦν, καὶ τοῖς θεοῖς ἔθυε· κατηγορεῖται γὰρ ὡς καινότερα εἰσάγων

δαιμόνια καὶ ὑποφθείρων τοὺς νέους. αὐτὸς δ᾽ οὐδέποτε ἂν φωραθεὶς οἶμαι προσχρώμενος οὐδενὶ πάλιν εἰρωνείᾳ· φαίνεται γὰρ καὶ αὐτὸς χρησάμενος ἐν τῇ ἀπολογίᾳ Σωκράτους.

120,10 τοὺς μὲν οὖν ἄλλους ἅπαντας παραλείψω Δημοσθενικῶς εἶπε τὸ παραλείψω, ὡς ἄλλους δῆθεν ἔχων εἰπεῖν.

120,11 ἕνα δὲ ἀρκοῦντα παρέξομαι, Θουκυδίδην τὸν Ὀλόρου ῥητορικῶς πάνυ συνίστησι τὸν συγγραφέα, ὃν φέρει μάρτυρα.

120,12 ὃς οὐ μόνον τῇ τῶν λόγων δυνάμει— πλεῖστον προέχειν τῶν συγγραφέων δοκεῖ λεληθότως ἀντιπῖπτον λύει, ἵνα μὴ εἴποι· ἀλλὰ τῇ σεμνότητι τῶν λόγων θαρρῶν σεμνύνει τὸν Περικλέα. διὸ καὶ τὸ ἀκριβείᾳ ἐπήγαγε, δηλῶν οὐ πρὸς χάριν αὐτὸν λέγοντα, ἀλλὰ πρὸς ἀλήθειαν.

120,13 φέρε δὴ τί τῷ Περικλεῖ μαρτυρεῖ τεχνικῶς ἀντιτίθησι τῷ Πλάτωνι τὸν συγγραφέα.

120,14 πῶς ἄγειν τὸν δῆμον δεινῶς εἶπεν ἄγειν καὶ οὐκ ἄγεσθαι, δηλῶν ὡς οὐκ ἦν κόλαξ.

120,15 ὥσπερ ἂν εἰ αὐτὸν ἐν ὀφθαλμοῖς εἴχομεν τὸν Περικλέα, καὶ συνόντες ἑωρῶμεν ὁποῖός τις ἦν πολλὴν ἀκρίβειαν μαρτυρεῖ τῷ Θουκυδίδῃ, ὅτι παρίστησιν ἐν ὄψει τὸν Περικλέα.

120,16 ὅσον τε γὰρ χρόνον προὔστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ μετρίως ἐξηγεῖτο ἐκ τῶν δύο καιρῶν ἐπαινεῖ τὸν Περικλέα, καὶ ἐκ τῆς εἰρήνης καὶ ἐκ τοῦ πολέμου. μετρίως δὲ λέγει, ἢ δικαίως, ἢ μεμετρημένως. ἀσφαλῶς δὲ, ἀντὶ τοῦ ἀκινδύνως, καὶ πολλὴν τὴν εὔνοιαν μαρτυρῶν αὐτῷ.

120,17 ἐπειδὴ δὲ ὁ πόλεμος κατέστη καλῶς τὸ κατέστη, δεικνὺς ὡς οὐ Περικλῆς αἴτιος, ἀλλ᾽ ἡ τύχη. τῷ εἰπεῖν δὲ ἐπεβίω δύο ἔτη καὶ ἓξ μῆνας ὡς ὀδυρόμενός ἐστι τῷ τάχει τῆς τελευτῆς.

120,18 προγνοὺς τὴν δύναμιν δι᾽ ἧς ἂν περιγένωνται Ἀθηναῖοι Λακεδαιμονίων. ἐπεβίω δὲ δύο ἔτη καὶ ἓξ μῆνας μεσοῦντι γὰρ τῷ τρίτῳ ἔτει τοῦ πολέμου Περικλῆς ἀπέθανεν.

120,19 ὁ μὲν γὰρ ἡσυχάζοντάς τε τέχνην πολέμου μαρτυρεῖ τῷ Περικλεῖ. ἐν τῷ πολέμῳ δὲ εἰπὼν διὰ Σικελίαν αἰνίττεται.

121,1 ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ ἤγουν μὴ πρώτους ἀρχομένους τοῦ πολέμου· ἢ μὴ ἀρχὴν ἑαυτοῖς τῶν ἄλλων πόλεων περιποιουμένους ἐκ τοῦ πολεμεῖν. μηδὲ τῇ πόλει κινδυνεύοντας ἤγουν τὸν πρὸς Πελοποννησίους πόλεμον μὴ πλησίον Ἀθηνῶν ποιεῖσθαι, ἀλλ᾽ ἐν τῇ ἐκείνων χώρᾳ περιπλέοντας αὐτὴν καὶ κατατέμνοντας, Πελοποννησίων Ἀθήνησι στρατευομένων.

121,3 ἴδια ἰδιωτικά. ἴδια κέρδη ἴδια λέγει ἀντὶ τοῦ ἰδιωτικά. εἰς Ἀλκιβιάδην δὲ ἀποτείνεται, ὅτι ἑαυτῷ κέρδη πραγματευόμενος διὰ τὴν ἱπποτροφίαν. εἶχε γὰρ ἵππους ἡ Σικελία καλούς· ἐκεῖσε τοὺς Ἀθηναίους ἐξῆγε.

121,4 ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις ἀπὸ τοῦ συμβάντος τὴν ἀπόδειξιν εἴληφεν.

121,7 οὐκ ἤγετο μᾶλλον ὑπ᾽ αὐτοῦ ἢ αὐτὸς ἦγε πῶς οὖν κόλαξ ἄγων καὶ μὴ ἀγόμενος.

121,8 ἐξ οὐ προσηκόντων ἀντὶ τοῦ ἀδίκων. δύναμιν νῦν λέγει τὸν πλοῦτον. ἡ δὲ σύνταξις οὕτως. διὰ τὸ μὴ πρὸς ἡδονὴν λέγειν ἦγε τὸν δῆμον, μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὸ πλοῦτον.

121,11 ὑπὸ τοῦ πρώτου ἀνδρὸς καλῶς ἡ προσθήκη τοῦ πρώτου, ἵνα μὴ δόξῃ τύραννος.

121,14 ὁ εἰς Σικελίαν πλοῦς ὃν ἀπέστειλαν μετὰ Νικίαν καί τινων ἄλλων.

121,15 τὸ ἀκροτελεύτιον κατεχρήσατο· ἀκροτελεύτιον γὰρ λέγεται τὸ τέλος τοῦ ἐμμέτρου στίχου. τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευε τότε ἤγουν τοσαύτη περιουσία ἦν αὐτῷ φρονήσεως καὶ ἐμπειρίας.

121,17 διεξέρχεται δεινῶς εἶπε, καὶ οὐκ ἐπαινεῖ, ἀντὶ τοῦ διηγεῖται. κατ᾽ αὐτὸν ἐκεῖνον γεγονὼς συνίστησι τὸν μάρτυρα, ὅτι κατὰ τὸν αὐτὸν χρόνον καὶ τόπον ἐγένετο.

121,18 κατ᾽ αὐτὸν ἐκεῖνον γεγονὼς καὶ συγγεγονὼς καλῶς προσέθηκε τὸ συγγεγονώς· ἐνδέχεται γὰρ γεγενῆσθαι μέν τινα κατὰ τὸν αὐτὸν χρόνον τῷ δεῖνι, διὰ δὲ τὸ μὴ συγγεγονέναι ἀγνοεῖν τἀκείνου ὡς ἔχει. Θουκυδίδης γοῦν Περικλεῖ συνεγένετο περὶ λόγους· συμφοιτηταὶ γὰρ ἦσαν ἀμφότεροι. τοῦτο ἐπήγαγε πρὸς σύστασιν τῆς ἀληθείας. καλῶς δὲ τὸ γεγονὼς καὶ συγγεγονώς· ἐνδέχεται γὰρ γεγενῆσθαι μὲν κατὰ τὸν αὐτὸν χρόνον, μὴ μέντοι εἰδέναι τὴν πολιτείαν τοῦ πέλας. διὰ τοῦτο εἶπε συγγεγονὼς, ἐπειδὴ συμφοιτητὴς ἦν Περικλέους ὁ Θουκυδίδης, ὡς ἔγνωμεν· διὸ καὶ ἐφίλει αὐτόν. ἔπειτ᾽ οὐ φιλονεικίας ἕνεκεν οὐδεμιᾶς πλαγίως τοῦτο ἀποτείνεται πρὸς Πλάτωνα, ὅτι φιλονεικίαν ἔχων πρὸς τοὺς ἄνδρας τὴν κατ᾽ αὐτῶν διαβολὴν πεποίηται, ἀγῶνος δὲ χρείαν πρός τινα ἐναντιώσεως.

122,1 οὐδ᾽ εἰς ἓν, ὃ προύθετο, πάντα ἀναφέρων τουτέστιν, οὐκ ἀποδείξεως χάριν, ἀλλ᾽ ἀληθείας· τουτέστιν οὐδὲν ἔχων τὸ προκείμενον, κατὰ πάντα βιαζόμενος, ὡς ἓν ἀποδεῖξαι. αἰνίττεται δὲ εἰς τὸν Γοργίαν, ὅτι ὁ πᾶς διάλογος αὐτῷ ἐγένετο, ἵνα μόνον ψέξῃ τὴν ῥητορικήν.

122,2 ἐν ἱστορίᾳ καὶ διηγήσει τἀληθὲς ἁπλῶς οὑτωσὶ παραδιδοὺς διηγούμενος, φησὶν, οὐκ ἐγκωμιάσαι προῃρημένος. τὸ δὲ ἁπλῶς οὑτωσὶ ἀντὶ τοῦ ὡς ἔτυχε, καὶ οὐκ αὐτὸ τοῦτο προῃρημένος εἰπεῖν.

122,3 εἰ μὲν τοίνυν ἠμφισβητεῖτο τῷ Θουκυδίδῃ τὸ διλήμματον. τὸ σχῆμα διλήμματον. τοῦτο δὲ εἶπεν, ὡς ἀμφιβάλλων, εἰ τολμήσει Πλάτων ἀμφισβητῆσαι τῷ Θουκυδίδῃ.

122,4 διδόντας ἀντὶ τοῦ συγχωροῦντας. τοῦτο δὲ εἶπεν, ὡς οὐ τολμῶντος τοῦ Πλάτωνος ἀμφισβητῆσαι τῷ Θουκυδίδῃ.

122,5 τῶν ὀψοποιῶν οὐδὲν ἦν βελτίων ἐπειδὴ τῇ μαγειρικῇ παραβάλλει τὴν ῥητορικὴν ὁ Πλάτων, λέγων ὅτι ὥσπερ ὁ μάγειρος θηρᾶται τὸ ἡδὺ ὄψον, οὕτω καὶ ὁ ῥήτωρ θηρᾶται τὸ πρὸς τὸν δῆμον ἡδύ.

122,6 οἰδ᾽ ἐπιτηδειότερος χρῆσθαι τῇ πόλει ἀντὶ τοῦ πόλιν διοικεῖν οὐ δυνάμενος. πολλοῦ μέν τ᾽ ἂν ἄξιον ἦν κολακεία ἠθικῶς εἶπεν, ὡς

μακαρίζων τὴν κολακείαν. εἰ Περικλεῖ τοῦτ᾽ ἦν ἐπενεγκεῖν τὸ πρόσρημα σχετλιάζει ἐπὶ τῷ ὀνόματι, ὡς ἐπὶ θείου τινὸς ἀνδρὸς λέγων.

122,7 ἐπεὶ σὺ μὴ μόριον μόνον κολακείας αὐτῷ πρόσθες, ἀλλὰ καὶ πᾶσαν τὴν κολακείαν φέρων ἀνάθες ὁ Πλάτων γένος τὴν κολακείαν εἰπὼν μερίζει αὐτὴν τετραχῇ, εἰς μαγειρικὴν καὶ κομμωτικήν, οἱονεὶ τὸ κοσμητικόν, τὴν καλουμένην κουρικὴν καὶ σοφιστικὴν καὶ ῥητορικήν. διὸ εἶπε, μὴ μόριον κολακείας δῷ τῷ Περικλεῖ, ἀλλ᾽ αὐτὴν τὴν κολακείαν, οἷον αὐτὸ τὸ γένος τῆς αἰσθητικῆς κολακείας τῆς ἐν σώματι.

122,8 εἰ βούλει τὴν ἰδέαν αὐτήν, ἐφ᾽ ἣν πάντα ἀνάγεις τουτέστι τῶν τοῦ λόγου. ἆρα οὖν ἔστιν ἰδέα κολακείας; θέλει εἰπεῖν ὅτι, εἰ Περικλῆς ἐκέχρητο τῇ κολακείᾳ, ἀγαθὴ, καὶ εἰ ἀγαθὴ, ἰδέαν ἔχει. ἰδέαν δὲ νῦν λέγει τὰ τέσσαρα μέρη τῆς κολακείας, οἷον αὐτὸ τὸ γένος τῆς αἰσθητικῆς κολακείας τὸ εὐσώματον. λέγει γὰρ ὁ Πλάτων τῶν ἐπὶ γῆς ἐν οὐρανῷ εἶναι τὰ παραδείγματα οἱονεὶ ἀρχέτυπα, ἐξ ὧν εἰσι τὰ ἐπὶ γῆς, ἀσώματά τινα ὄντα, ὥσπερ τοῦ ἀνθρώπου ἡ ἀνθρωπότης, καὶ τοῦ ἵππου ἡ ἱππότης, καὶ τῶν ἄλλων ἁπάντων ὁμοίως, ἅπερ ἰδέας καλεῖ. ὁ δὲ τούτου μαθητὴς, Ἀριστοτέλης, πρὸς τοῦτο διαμάχεται, λέγων μὴ εἶναι ἰδέας. ἰστέον δὲ ὅτι παίζων εἶπεν. ὁ γὰρ Πλάτων μόνον τῶν χρηστῶν πραγμάτων λέγει τὰς ἰδέας εἶναι καὶ τοῦ νοητοῦ κόσμου· κόσμον γὰρ ὑποτίθεται νοητὸν ἔξω, ὅπου οὗτος ὁ αἰσθητὸς προάγεται· οὐ μὴν τῶν κακῶν λέγει ἰδέας· οὔτε γὰρ κολακείας, οὔτε δειλίας, οὔτε τῶν τοιούτων οὐδενός· εἰς τέσσαρα δὲ διαιρεῖ τὴν κολακείαν, ὀψοποιητικὴν, κομμωτικὴν, σοφιστικὴν, ῥητορικήν· τέταρτον οὖν μέρος τῆς κολακείας ἡ ῥητορική.

122,9 τῇ Θεαρίωνος καὶ Μιθαίκου τύχῃ τούτους φασὶ συγγράμματα μαγειρικὰ συγγεγραφέναι τὸν Μίθαικον καὶ τὸν Θεαρίωνα. τούτους φασὶ συγγράμματα μαγειρικὰ συγγράψαι.

122,10 τούτων ἀντίστροφος ἦν τὰ πολιτικὰ ἀντίστροφον λέγει τὸ ἴσον· ὥσπερ γὰρ τὰ ἀντιστρέφοντά φασιν οἱ φιλόσοφοι, οἷον εἴ τι γελαστικὸν ἄνθρωπος, καὶ εἴ τι ἄνθρωπος γελαστικὸν, εἴ τι Περικλῆς εἰς τὰ πολιτικὰ, τοῦτο Θεαρίων καὶ Μίθαικος, τοῦτο Περικλῆς. ἀντίστροφος ἀντὶ τοῦ ἴσος· ὡς τὸ ἀντίθεος. ἀλλ᾽ ἴσως οἱ κόλακες πρότερον Ἀθανάσιός φησιν ὅτι ὁ

ῥήτωρ δεικνὺς ἐντεῦθεν ἡμῖν τὸ εἶδος τοῦ λόγου ἀντιρρητικὸν, διὰ τὸ κατὰ μέρος ἀνασκευάζειν τὰ εἰρημένα ὑπὸ Πλάτωνος.

122,11 εἴ τι τοιοῦτον ἐκείνῳ προφέρειν ἀξιοῖμεν εἰ πρὸς χάριν Πλάτωνος συγχωρήσω αὐτὸν εἶναι κόλακα· καὶ ἑαυτὸν περιείληφε τῇ διαβολῇ, ἵνα μὴ φανερῶς ὑβρίσῃ τὸν Πλάτωνα καὶ εἴπῃ αὐτὸν κόλακος ὄντα χείρονα. οὕτω καὶ Δημοσθένης· ἡμεῖς δ' οὐκ οἶδα ὅντινά μοι τρόπον δοκοῦμεν ἔχειν πρὸς ταῦτα.

122,12 πόθεν εἰς τὰς βλασφημίας τὰς κατὰ τῶν ἀνδρῶν ἀφίκετο ὥσπερ σχετλιάζοντός ἐστιν ὁ λόγος καὶ ἀγανακτοῦντος.

122,13 ὡς πρὸς παρόντα καὶ συνόντα τὸν Πλάτωνα.

122,16 μηδὲ γὰρ εἶναι τὸ ἡδὺ πάντως ἀγαθὸν τοῦτο εἶπεν, ὡς ὄντος ποτὲ τοῦ ἡδέος ἀγαθοῦ. μηδ' αὖ τὸ ἀγαθὸν τοῦ ἡδέος χάριν, ἀλλὰ τὸ ἡδὺ τοῦ ἀγαθοῦ χρῆναι διώκειν ἀντὶ τοῦ ἐὰν ἔχῃ τὸ ἀγαθὸν τὸ ἡδύ. οὐδὲ γάρ ἐστι δυνατὸν εἶναι τὸ ἡδὺ καὶ ἀγαθὸν, ἀλλὰ πολλάκις τὸ ἀγαθὸν καὶ ἡδύ.

122,17 οὐ ταῦτα κυκλεῖς ἄνω καὶ κάτω δεινῶς εἶπε τὸ κυκλοῖς, ὡς δι' ἀπορίαν τὰ αὐτὰ λέγοντος τοῦ ἄνω καὶ κάτω, καὶ μηδὲν ἕτερον.

122,18 ὦ ἑταῖρε ἀεὶ ὁ Πλάτων ἐν ταῖς ἐρωτήσεσι τὸ ὦ ἑταῖρε τίθησιν. τὸ σὸν δὴ τοῦτο τοῦτο εἶπε, μιμοῦμαί σε, φησί· τοῦτο γὰρ εἴωθε ποιεῖν ἐν τοῖς διαλόγοις ὁ Πλάτων.

122,19 οὔκουν ὅστις γε μὴ κἀμοὶ ὥσπερ οὐδὲ ἐμοὶ, οὐδὲ ἄλλῳ τινὶ, διὰ τὸ ἀληθὲς τοῦ λόγου. ἢ οὕτως· οἷον εἰ μή τις καὶ ἐμοὶ ἐναντιωθείη. τὸ δὲ μὴ κἀμοὶ οὐκ ἔστι φρονήματος μεστὸν, οὐδὲ τὸ μείζονα ἑαυτὸν ποιεῖν Πλάτωνος· ἀλλὰ τοῦτο εἶπεν, ὡς ὁμολογουμένου τοῦ λεγομένου, ὅτι πιστεύει ταῦτα καλῶς ἔχειν ὁ Ἀριστείδης. τάχα γὰρ ἄν τι καὶ ἀλλοῖον ἐκβαίη ἀντὶ τοῦ ἐναντίον ὧν λέγεις. ψέγειν γὰρ, φησὶ, βουλόμενος τὸν Περικλέα εὑρίσκει μᾶλλον ἐπαινῶν· διὸ ἐπιφέρει· Περικλέους μοι βίον ἐρεῖς· ὡσανεὶ ἔλεγεν· οὐ διάλογον γράφεις, ἀλλὰ Περικλέους βίον καὶ πολιτείαν.

123,1 ἀλλ' ἐπιψηφίζεις, ὡς αὐτὸς καλεῖς πολλαχοῦ γὰρ ταύτῃ χρῆται τῇ λέξει. καλῶς εἶπεν ἐπιψηφίζεις, ὡς αὐτὸς καλεῖς· ἄλλως γὰρ οἱ ῥήτορες τὸ

ἐπιψηφίζειν λέγουσι καὶ ἄλλως οἱ φιλόσοφοι· οἱ γὰρ ῥήτορες ἐπὶ τοῦ ὑποβάλλειν αὐτὸ λέγουσι. Δημοσθένης ἐν τῷ κατ᾽ Ἀνδροτίωνος «Ταῦτα ἐπεψήφιζεν ὁ ἐπιστάτης» ἀντὶ τοῦ ἠρώτησε. καὶ Αἰσχίνης εἶπε «Τοῖς προέδροις ἐπιψηφίσαι.» καὶ Θουκυδίδης ἐν τῇ τετάρτῃ «᾽Επεψήφιζεν αὐτὸς ἔφορος ὢν εἰς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων.» οὕτως οἱ ῥήτορες ἐπὶ τοῦ ἐρωτᾶν τάττουσιν αὐτό, οἱ δὲ φιλόσοφοι ἐπὶ τοῦ κυρῶσαι. λέγει οὖν ὅτι συντίθεσαι καὶ συναινεῖς. ὡς αὐτὸς δὲ καλεῖς, ἀντὶ τοῦ οὐχ ὡς ἡμεῖς· ἐπὶ γὰρ τοῦ δοῦναι σκέψιν τῷ δήμῳ οἱ ῥήτορες λέγουσιν· οὕτω καὶ Δημοσθένης.

123,2 μεθίστης οὐκ οἶδ᾽ ὅπως εἰς τοὺς ἀντιδίκους τὸν ἄνδρα ἀντίδικον καλεῖ, ὡς πρὸς τὸν ὅρον αὐτοῦ Πλάτωνος, ὡς μὴ φυλάττοντα τὸν ὅρον, ὃν αὐτὸς ὡρίσατο τοῦ ἀγαθοῦ ἀνδρός. καλῶς δὲ τὸ πρότερος φαίνεται εἶπε, δεικνὺς ὅτι προείληφε τὸν Πλάτωνα φιλόσοφον ὁ Περικλῆς.

123,3 ἃ γὰρ σὺ διδάσκεις περίοδος.

123,4 εἰ μηδὲν προσέθηκας τουτέστιν, εἰ μὴ ἐπήγαγες τὸ τοῦ Περικλέους ὄνομα, καὶ τὴν κατ᾽ αὐτοῦ βλασφημίαν.

123,5 ὥσπερ τοὺς ἀπὸ τῶν γνωρισμάτων ἐν τοῖς δράμασι ἔχομεν παρὰ τοῖς κωμικοῖς, ὅτι τινὰ τῶν ἐκτεθέντων παιδίων ἀπό τινων σημείων ἐν αὐτοῖς ὄντων ἀνεγνωρίζοντο.

123,6 σκόπει γὰρ πάλιν ἐξ ἀρχῆς ὥσπερ νόμον ὥσπερ νόμον εἶπεν, ὡς ὁριστικοῦ ὄντος κατὰ φύσιν τοῦ νόμου· καὶ αὐτοῦ μέντοι τοῦ Πλάτωνος ὡς νομοθετοῦντος ταῦτα ἐπήγαγε τὸ ὥσπερ νόμον· ἢ ἐπειδὴ οἱ νόμοι πολλὰ δοκιμάζονται· ἢ ὅτι ἔμπροσθεν τῶν ἐπωνύμων ἐκτιθέμενοι σκοποῦνται παρὰ πάντων ἀκριβῶς.

123,8 οὕτως ἦν ἀπὸ πολλοῦ τοῦ δουλεύειν ἀντὶ τοῦ πόρρω τοῦ ὑπηρετεῖν τοῖς πολλοῖς.

123,10 πρὸς τὸ βέλτιστον ἄγειν καλῶς πάλιν οὐκ εἶπεν ἄγεσθαι, ἀλλ᾽ ἄγειν. ὥστ᾽ ἀπ᾽ αὐτῶν τῶν ἐναντιωτάτων φαίνεται τὴν δόξαν λαβὼν ἀπὸ τοῦ μὴ δουλεύειν ταῖς ἐπιθυμίαις καὶ τοῦ μὴ χαρίζεσθαι τοῖς πολλοῖς. δόξαν δὲ λέγει τὴν φήμην, ὅτι ᾽Ολύμπιος ἐκλήθη.

123,11 ὅσον πλεῖστον ἐξῆν ἐξῆν εἶπεν ἀντὶ τοῦ ὅσον ἦν δυνατὸν, δεικνὺς ὅτι αὐτῇ τῇ φύσει ἐμάχετο.

123,13 τὸν πόλεμον διαφέρειν ἀνύειν. ἀντὶ τοῦ ἀνύειν. Θουκυδίδειος δέ ἐστιν ἡ λέξις. πάλιν δὲ τῇ μαρτυρίᾳ κέχρηται τοῦ συγγραφέως, ὡς ἀξιοπίστου προσώπου ὄντος. καίτοι ὅτε τὸν πόλεμον μεθ' ἡσυχίας παρῄνει διαφέρειν καίτοι ὥσπερ ὅτε ἀντελάβετο τῆς λέξεως τοῦ συγγραφέως, λέγων ὅτι μᾶλλον μετ' εἰρήνης παρῄνει διάγειν· ὅπερ ἐστὶ παράδοξον· ἐπειδήπερ στρατηγὸς ὢν ἐν εἰρήνῃ παρῄνει ζῆν.

123,15 τὸν δῆμον εἴ ποτ' αἴσθοιτο ὑβρίζοντα κατεῖχε ἐπαιρόμενον μείζω φρονεῖν. ἔστι δὲ ὑπὸ τὴν ἀδικίαν ὕβρις. ἀκολουθήματα δὲ, συκοφαντία, φιλανθρωπία προσποίητος, κακοήθεια, κακουργία, ἀλαζονεία.

123,16 τοῖς Πλάτωνος λόγοις δεινῶς εἶπε λόγοις καὶ οὐκ ἀληθείᾳ. εἰ χρὴ τοῖς Πλάτωνος φῆσαι πείθεσθαι τὸν τοσοῦτον πρότερον Πλάτωνος ὥσπερ ἐπιλαμβάνεται ἑαυτοῦ. πῶς γὰρ ὁ πρῶτος τεχθεὶς τὸν ὑστέρως γεννηθέντα πεισθείη. σχετλιαστικὸν δέ ἐστι.

123,20 ἀπὸ τῆς ὀρθοτάτης ἀεὶ γνώμης ἀντὶ τοῦ πρὸς τὸ βέλτιστον ὁρῶν. ὥσπερ ἂν εἰ προειπὼν τοῖς ἀνθρώποις τὸ σχῆμα καθ' ὑπόθεσιν. τοῦ δὲ αὐτοῦ ἐπιχειρήματός ἐστιν.

124,1 φαίνεται γὰρ βουλομένῳ σκοπεῖν ὀρθῶς πάλιν φθόνον αἰνίττεται Πλάτωνος. τὸ δὲ κἀν τοῖς λόγοις κἀν τοῖς ἔργοις ἀντὶ τοῦ καὶ διὰ τῶν λόγων καὶ διὰ τῶν ἔργων. δηλοῖ δὲ ὅτι καὶ περιττὰ ὧν εἶχεν ὁ διάλογος ἐποίει ὁ Περικλῆς. κεφάλαια δὲ τοῦ λόγου οἱονεὶ τὰ συνεκτικὰ καὶ προκείμενα· πρόκειται δὲ τὸ δεῖν καὶ ψυχῇ καὶ σώματι πρὸς τὸ βέλτιστον ὁμιλεῖν, ἀλλ' οὐ πρὸς ἡδονήν.

124,3 τοῖς μὲν λόγοις, οὓς διεξῄει ἐπειδὴ ἀσαφῶς εἶπεν, ἐπεξηγεῖται αὐτὰ τούτοις.

124,5 κακῶν, ὧν ἐπὶ τῶν ἐκείνου καιρῶν ἀπέσχετο ἡ πόλις καλῶς πάλιν εἶπε τὸ ἐπ' ἐκείνου ἀπέσχετο ἡ πόλις, δεικνὺς ὅτι τὸ ἀποσχέσθαι τὴν πόλιν πλεονεξίας Περικλέους ὑπῆρχεν ἀρετὴ καὶ κατόρθωμα· ὅνπερ γὰρ τρόπον ὁ καλόν τι ἀσκῶν ἀρετὴν ἐπιτηδεύει, τὸν αὐτὸν τρόπον καὶ ὁ φαύλου

ἀπεχόμενος ἀρετῆς ἐστιν ἀνάπλεως. μέχρι μὲν γὰρ ἐδημηγόρει Περικλῆς καὶ κατεῖργε τὸ πλῆθος ἐξ ἑκατέρων αὔξει τὸν Περικλέα, ἔκ τε τοῦ δημηγορεῖν καὶ ἐκ τοῦ κατείργειν τὸ πλῆθος.

124,7 οὔτε μακροὺς καὶ ἀνηνύτους τοῦ πολέμου κύκλους περιεβάλλοντο τοὺς ἔξω πολέμους τῆς πόλεως ἡ λέξις ἐμφαίνει. τοῦ τείχους ἔξω προϊέναι παρόντων τῶν πολέμων. πάνυ ῥητορικῶς τὸ ἐλάττωμα περιέτρεψεν εἰς ἐγκώμιον· ἴσμεν γὰρ ὅτι συνεχῶς ὁ Δημοσθένης παραινεῖ τοῖς Ἀθηναίοις τὸν ἐν τῇ Μακεδονίᾳ ποιεῖσθαι πόλεμον, οὐχὶ τὸν πολέμιον ἀνθέλκεσθαι περὶ τὴν Ἀττικήν. ὁ δὲ Περικλῆς τοὐναντίον οὐδὲ προκύπτειν αὐτοὺς συνεχώρει τοῦ τείχους. τοῦτο οὖν ἄτοπον ὂν ὁ ῥήτωρ εἰς ἀρετὴν περιέτρεψεν.

124,8 ἐπειδὴ δὲ ἐτελεύτησεν ἐκεῖνος βαρὺ καὶ σχετλιαστικὸν τὸ ἐκεῖνος ἐτελεύτησεν.

124,9 ὠνειροπόλουν μὲν Σικελίαν τῆς Σικελίας τὴν κτίσιν ἐφαντάζοντο. ἀπὸ μεταφορᾶς τῶν ἐν ὀνείρῳ δοκούντων ἔχειν ἅπερ οὐκ ἔχουσι. σημαίνει δὲ ὅτι οὐκ ἀσφαλῶς ἐπενόουν Σικελίας.

124,10 ἤρκει δὲ οὐδὲν αὐτοῖς ὡσανεὶ ἔλεγε μικρὸν αὐτοῖς ἐδόκει πρὸς τὴν κτῆσιν ἡ οἰκουμένη. μακροτέραν δὲ τοῦ πολέμου παρενθήκην ἐποιήσαντο ἀπὸ μεταφορᾶς τῶν ἐμπόρων, οἳ παρεντίθενται ταῖς ναυσὶν, ἢ δύνανται φέρειν, ὅπως τῷ πλείονι φόρτῳ μείζω σφίσι τὰ κέρδη γένοιτο, καὶ οἱ Ἀθηναῖοι μείζοσιν ἐπεχείρουν ἢ πολεμεῖν ἠδύναντο. ἀπὸ μεταφορᾶς τῶν ἐμπόρων, οἳ τῶν κυρίως ἐνθηκῶν τὰς παρενθήκας μείζους διὰ τὸ κέρδος ποιοῦνται.

124,11 ὦ Πλάτων τε καὶ Σώκρατες αὐτὸν ἀμφότερα καλεῖ, καὶ Πλάτωνα καὶ Σωκράτην, ἐπειδὴ καὶ τοὺς αὐτοῦ διαλόγους εἰς Σωκράτην ὁ Πλάτων ἀνέθηκε. τὸ δὲ ὅμοιον καὶ Δημοσθένης ἐποίησεν, εἰπὼν ὁ Κρέων Αἰσχίνης, ἐπειδήπερ οὗτος εἰς τὸ τοῦ Κρέοντος πρόσωπον εἰσῆλθεν. ὁ ὑμέτερος, κοινωνὸς μὲν—ἑταῖρος δὲ Ἀλκιβιάδης. κοινωνὸς μὲν οὐκ ἔστιν εἰπεῖν εἰρηκὼς τὸ ἡμέτερος ἀνεῖλεν, ὥσπερ αὐτὸς ἑαυτοῦ λαβόμενος. τοῦτο δὲ εἶπεν, ὡς ἑταίρου μὲν ὄντος αὐτοῦ τοῦ Ἀλκιβιάδου, οὐ μὴν ὠφεληθέντος παρὰ Σωκράτους.

124,12 μᾶλλον δὲ εἴρηκας δηλονότι ἐν τῷ διαλόγῳ τῷ Ἀλκιβιάδου.

124,14 Περικλῆς μὲν γὰρ οἶμαι Ἀναξαγόρᾳ συγγενόμενος οὗτος φυσικὸς ἦν φιλόσοφος, καὶ τὰς φύσεις τῶν ὄντων ζητῶν, καὶ περὶ αὐτὰ τὰ μετέωρα καταγινόμενος, οὗ γέγονεν ἀκροατὴς Περικλῆς καὶ Θουκυδίδης.

124,15 βελτίων ἢ κατ᾽ ἐκεῖνον ἐγένετο ἀντὶ τοῦ ὑπὲρ ἐκεῖνον· ἐπειδήπερ ἔμιξε τῇ φιλοσοφίᾳ τὴν ῥητορικήν. ἑταίρῳ χρώμενος Σωκράτει δεινῶς εἶπε πάλιν ἑταίρῳ, καὶ οὐχὶ διδασκάλῳ. εἶτα ἐπήγαγε καὶ τὸ διορθωτικόν.

124,16 ὥστ᾽ οὐκ ἀνεκτὸν, εἴ τις ἐκεῖνον ἐπαινῶν τούτῳ μέμφεται τοῦτο εἶπεν, ἐπειδήπερ ὁ Πλάτων ἐπῄνεσε μὲν τὸν Ἀλκιβιάδην, διέβαλε δὲ τὸν Περικλέα.

124,17 τοὺς θαυματοποιοὺς μιμούμενος ἐπειδὴ καὶ οἱ θαυματοποιοὶ περὶ τὰ δεινὰ τὰ δοκοῦντα τούτων ἐπιδείκνυνται.

125,1 τῷ μὲν οὐδοτιοῦν προσῆκον τῶν αἰτιῶν ὡς σχετλιάζων ἐστὶν, εἴ γε Περικλῆς ὀφθήσεται τῶν περὶ Σικελίας αἴτιος ὤν.

125,2 τοῦτο δ᾽ ἦν τὰ ὑπάρχοντα σώζοντας τῇ μαρτυρίᾳ πάλιν κέχρηται τοῦ συγγραφέως αὐτὰ προσφέρων τὰ ῥήματα, καὶ καλεῖται τὸ χωρίον παρῴδησις. παρῴδησις δέ ἐστιν, ὅταν ὁ ῥήτωρ κῶλον ἀρχαῖον τίθησι, καὶ χωρίον ἑαυτοῦ, ὃ νῦν ποιεῖ Ἀριστείδης.

125,3 ὁ δὲ τῶν τὰ πολλὰ πράττειν πεισάντων εἷς ἦν ἀστείως εἶπεν· ἡ δὲ λέξις λέγεται ἐπὶ τῶν πλεονεκτούντων.

125,5 καὶ τελευτῶντες ἀπήλλαξαν ἡττήθησαν ἐν Σικελίᾳ καὶ ἐν Αἰγὸς ποταμοῖς. ὁ οἰδεῖν καὶ ὕπουλον εἶναι τὴν πόλιν ποιήσας δηλονότι. οἰδεῖν ὀγκοῦσθαι. ἰατρικῶς εἶπε τὸ οἰδεῖν, ὅ ἐστιν ἐξογγοῦσθαι τὸ σῶμα, ἐξ οὗ παρακολουθεῖ τῷ σώματι κίνδυνος. εἶτα καὶ ἐνέμεινε τῇ συμφορᾷ εἰπὼν τῶν σαρκῶν τῶν ἀρχαίων. εἰκότως δὲ εἶπε τοῦτο. ἐν γὰρ τῇ Σικελίᾳ τὰς ἀρχαίας σάρκας ἀπώλεσαν, ὅ ἐστι τὴν ἀρχαίαν ἀνδραγαθίαν, ἤτοι παρασκευήν. ὕπουλον δὲ εἶπεν εἶναι τὴν πόλιν. ὑπόνοιαν γὰρ αὐτῇ ἐδίδου δυνάμεως οὐκ ἐχούσῃ, ὡς αὐτὸς ἔλεγε Πλάτων.

125,6 τῶν ἀρχαίων σαρκῶν τῆς παλαιᾶς εὐψυχίας. ὁ τὰς ἐπιθυμίας ἐπαύξων αὐτοῖς Ἀλκιβιάδης.

125,7 τοῖς τῶν Αἰγεσταίων χρήμασι δελεάζων Αἰγεσταῖοι πολεμούμενοι ὑπὸ Συρακουσίων ἦλθον δεόμενοι Ἀθηναίων, ἐπαγγειλάμενοι τρέφειν αὐτοῖς τὸ ναυτικόν. ἔπεμψαν οὖν Ἀθηναῖοι, βουλόμενοι κατασκοπῆσαι τὰ χρήματα, καὶ πρὸς ξενίαν τοὺς πρέσβεις καλέσαντες, ἠπάτησαν τὸν παρὰ πάντων ἄργυρον ἕκαστον εἰς τὴν ξενίαν εἰσφέροντες. ἡ ἱστορία ἐν ἕκτῃ Θουκυδίδου. τὴν Σικελικὴν τράπεζαν προξενῶν παροιμία ἡ Σικελικὴ τράπεζα ἐπὶ τῶν τρυφώντων λεγομένη· παρεῖχε δὲ καὶ Ἀθηναίοις Ἀλκιβιάδης τρυφᾶν, ὡς ἀσελγὴς αὐτὸς ὢν καὶ ταῖς μέθαις ἡττώμενος.

125,8 ἅτε καὶ αὐτὸς ὢν τοιοῦτος ἀσελγὴς δηλονότι καὶ ταῖς μέθαις ἡττώμενος. ἀντὶ δὲ τοῦ εἰπεῖν πλοῦτον, τράπεζαν εἶπε, πρὸς διαβολὴν Ἀλκιβιάδου· ὡς ἄσωτος γὰρ καὶ τρυφηλὸς διεβάλλετο. μηδαμοῦ τῶν ἐλπίδων ἐῶν τὸν δῆμον στῆναι.

125,9 ὧν ἐβούλοντό τε καὶ ἐδέοντο ὥσπερ ἀντιπῖπτον λύει· ἵνα μή τις εἴποι ὅτι αὐτοὶ ἐδέοντο. λέγει ὅτι οὔτε ἐσκόπουν οὔτε ἐδέοντο.

125,10 ἕνα τῶν φίλων θηρεύσας ἄγεις ὅπερ εἰώθει ποιεῖν ἐπὶ τῶν νέων ὁ Πλάτων. ἠθικῶς δὲ εἶπε τῶν φίλων, ὡς μὴ δυνηθέντος αὐτοῦ θηρᾶσαι τὸν Περικλέα.

125,11 πέπονθας ταὐτὸν τῷ Πινδάρου Πηλεῖ, — φίλτατον ὄντα ἑαυτῷ προσδιέφθειρε ἐν ὕμνοις Πίνδαρος μέμνηται ὅτι τὸν Εὐρυτίωνα, τὸν τοῦ Ἴρου τοῦ Ἄκτορος παῖδα, ἕνα ὄντα τῶν Ἀργοναυτῶν, συνθηρεύοντα ἄκων ἀπέκτεινε Πηλεύς. φίλον δὲ λέγει, ἐπειδὴ συγγενὴς τούτου ἦν. Πηλεὺς γὰρ πρὸ Θέτιδος θυγατέρα Ἄκτορος τοῦ Πολυμήλου εἶχε γυναῖκα. ὁ δὲ Ἄκτωρ πατὴρ Ἴρου, ὃς παῖδα ἔσχε τὸν Εὐρυτίωνα.

125,12 τὸ δ᾽ αὐτὸ κἀν τοῖς ὕστερον οἶμαι Ἀδράστῳ τῷ Γορδίου φασὶ συμβῆναι οὗτος ὁ Ἄδραστος, Φρὺξ τὸ γένος ὤν, καὶ τὸν ἀδελφὸν ἄκων ἀνελὼν, ἦλθεν εἰς τὸν Κροῖσον καθάρσεων δεόμενος· καὶ τυχὼν συνῆν τῷ βασιλεῖ. συὸς δέ τινος λυμαινομένου Μυσοὺς συνεξέπεμψεν αὐτὸν μετὰ

τοῦ οἰκείου παιδός. καὶ τῆς μὲν θήρας διήμαρτε, τὸν δὲ παῖδα βαλὼν ἀνεῖλεν. ὥς φησιν Ἡρόδοτος ἐν τῇ α′.

125,14 εἰ δὲ ἡ γεωμετρία καλὸν, καὶ ἡ κατ᾽ αὐτὴν ἰσότης ἐπεγέγραπτο ἔμπροσθεν τῆς διατριβῆς τοῦ Πλάτωνος ὅτι ἀγεωμέτρητος μηδεὶς εἰσίτω· ἀντὶ τοῦ ἄνισος καὶ ἄδικος. ἡ γὰρ γεωμετρία τὴν ἰσότητα καὶ τὴν δικαιοσύνην τηρεῖ.

126,2 φησὶν ὁ τἀκείνου καλῶς εἰδὼς ἀντὶ τοῦ διαστέλλει πρὸς τὸν Πλάτωνα. ὁ μὲν γὰρ Θουκυδίδης ἐκ τοῦ συγγενέσθαι ἀκριβῶς ἐπιστάμενος ἐθαύμασεν, ὁ δὲ Πλάτων μὴ συζήσας διέβαλεν.

126,4 τῷ μὲν ἅπαντος κέρδους κρείττω παρέχειν ἑαυτὸν συλλογίζεται λοιπὸν τὰ ἐγκώμια, κατασπάσας τὰς ἀρετάς. τὸ δὲ παντὸς κέρδους εἶπε, διὰ τὸ εἶναι ἀδωρότατον, ὡς ἔφη ὁ συγγραφεύς.

126,6 σωφροσύνης πίστιν παρείχετο ἐμφανῆ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· καὶ ὅτι ἦσαν σώφρονες οἱ ἀρχαῖοι ῥήτορες, ὁ Περικλῆς καὶ ὁ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης.

126,8 πῶς οὐκ ἂν σοφίας δικαίως δόξαν φέροιτο τῆς γέ που χρησιμωτάτης σοφὸν ὀνομάζει τὸν Περικλέα καὶ χρήσιμον, ὅπερ ἐστὶ φύσεως ἀνθρωπίνης πλεονέκτημα. χρησιμωτάτης δὲ εἶπεν· ἔστι γὰρ καὶ φαύλη, δι᾽ ἧς τὴν ἀλήθειαν σοφίζονται· ἢ ὅτι ἄχρηστον σοφίαν Πλάτων ἐπετήδευσε, καὶ οὐδὲ καθ᾽ ἓν χρησίμην τοῖς κοινοῖς, ἀλλ᾽ ἀπησχολημένην τινὰ καὶ ἰδιάζουσαν. καθάπτεται δὲ τῆς φιλοσοφίας, ἀχρησίμου τοῖς ἀνθρώποις οὔσης.

126,9 εἴ τις ἀνθρωπίνως ἐθέλοι λογίζεσθαι ἐπειδὴ τὰ μέλλοντα ἔσεσθαι προειδέναι τὸν Περικλέα ἔφησαν, τοῦτο δέ ἐστι θεῶν, καὶ τῶν αὐτοῖς κατόχων, ἐπιφέρει τὸ εἴ τις ἀνθρωπίνως ἐθέλοι λογίζεσθαι, δεικνὺς ὡς ὅσον ἰσχύει ἀνθρώπου φύσις γνῶναι περὶ τῶν μελλόντων, τοσοῦτον ὁ Περικλῆς ἦν πρὸς ταῦτα. δεινὸν καὶ βαθὺ τὸ ἐπιχείρημα· εἶπε γὰρ ὡς τῆς φιλοσοφίας ὑπὲρ ἄνθρωπον εἶναι βουλομένης, διὰ τὸ περὶ τῶν θείων διαλέγεσθαι. δείκνυσιν οὖν τὴν σοφίαν αὐτὴν ἀδύνατον, ἐπειδήπερ γνῶσιν τῶν θείων ἐπαγγέλλεται. εἶθ᾽ ὃν ἐξ ἁπάντων τῶν ἐνθύμημα.

126,11 λάλους γάρ φησιν Ἀθηναίους ἐποίησε καὶ ἀργοὺς Δημοσθενικῶς ἐνταῦθα ὁ Ἀριστείδης μεθώδευσε, πάσας ὁμοῦ τὰς ἀντιθέσεις εἰς μίαν ἀγαγών, ἵνα μιᾷ λύσει σαθρὰς αὐτὰς ἀπεργάσηται. ὅρα δὲ καὶ τὰ ὀνόματα πῶς σαθρὰ καὶ φαῦλα, ἵνα καὶ ἐξ αὐτῶν τῶν ὀνομάτων περὶ ὧν ἐγκαλεῖν δοκεῖ, ἀποδείξῃ τῶν ἐγκλημάτων τὴν ἀσθένειαν. κἀκεῖνα δὲ παρατηρητέον πρὸς τοὺς λέγοντας δικανικὸν εἶναι τὸ εἶδος τοῦ λόγου· οὐ γὰρ φόνον ἢ προδοσίαν ἐγκέκληκεν, ἀλλὰ ψόγους καὶ διαβολὰς ὀνόματος.

126,12 εἰς μισθοφορὰν καταστήσας ἀντὶ τοῦ εἰς τὸ φέρειν μισθὸν, τουτέστιν εἰς τὸ δέχεσθαι τὸ θεωρικόν.

126,13 αὐτόθεν κατάβαλε πέπαυσο. παροιμία ἐπὶ τῶν νικώντων λεγομένη πρὸς οὓς νικῶσι· δηλονότι τὸ πρόστιμον κατάθου τὸ περὶ τῆς νίκης. λέγει οὖν τοῦτο Ἀριστείδης πρὸς Πλάτωνα, δεικνὺς αὐτὸν ἐντεῦθεν λίαν ψευδόμενον. ἀντὶ τοῦ πέπαυσο. ὅμοιόν ἐστι τοῦτο τὸ κατάθου. Τρῶας δὲ καλεῖ τοὺς ῥήτορας, θεὸν δὲ ἢ τὸν Ἀπόλλωνα, ἢ τὸν Ἑρμῆν, τὸν ἔφορον τοῦ λόγου. μή πού τις καὶ Τρῶας ἐγείρῃσι θεὸς ἄλλος τοῦτο Ὁμηρικόν. λέγει δὲ ὅτι σκόπει μὴ πολλοὺς ἕξεις ἀντιλέγοντάς σοι.

126,14 δῶμεν λαβὴν καθ' ἡμῶν αὐτῶν ἐκ τοῦ καθ' ἡμῶν συμπεριλαμβάνει καὶ ἑαυτὸν, κουφοτέραν τὴν ἐπίπληξιν ἐργαζόμενος. πολλαχοῦ καὶ ἑαυτὸν συμπαραλαμβάνει τῷ Πλάτωνι κουφοτέραν τὴν ἐπίπληξιν ἐργαζόμενος. οὐχ ἁπλῶς δὲ τὸ ὄνομα τὸ τοῦ Ὁμήρου ὠνόμασεν, ἀλλ' ὡς θείου τινὸς ἀπόφθεγμα προσφερόμενος.

126,15 ἐγὼ μὲν γὰρ οὐδὲν ἂν εἴποιμι φλαῦρον Δημοσθενικῶς εἶπεν· ὥσπερ καὶ ἐν τῷ πρὸς Λεπτίνην. ἔχων μὲν γὰρ κατὰ Πλάτωνος εἰπεῖν, παραιτούμενος δὲ καὶ τὴν τιμὴν τοῦ ἀνδρός.

126,16 μήποτε οὕτω μανείην πολλὴν εὐφημίαν ἀπονέμει τῷ Πλάτωνι, ὀνόματι μανίας τὴν εἰς αὐτὸν λοιδορίαν καλῶν.

126,17 ἢ Πλάτωνα τῶν μεγίστων εὐφημιῶν ἑκὼν ἂν ἀποστερήσαιμι μετὰ πολλῆς ἐμφάσεως εἶπε τὸ εὐφημιῶν καὶ τὸ ἑκών. ἕτεροι δ' εἰσὶν ἴσως τινὲς, οἷς ἔλαττον μέλει τῆς σῆς ἀξίας ῥητορικῶς ὁ ῥήτωρ ἑτέροις

προσάπτει τὴν λοιδορίαν. τὸ δὲ οἷς ἔλαττον μέλει ἠθικῶς ἔφρασεν, ἀντὶ τοῦ οὐκ ἔστι σοι φροντίς.

127,2 ἐπεὶ ὅτι γε ᾔδειν καὶ περὶ τούτων λέγειν ἐντεῦθεν εἰσβάλλει ἐπὶ τὰς λύσεις τῶν ἀντιθέσεων. ἡ δὲ ἀπόδοσις πρὸς τὸ περὶ μὲν δὴ λάλων.

127,3 σιωπῆσαι χαλεπώτερον ἢ πειρωμένῳ δεικνύειν, εὑρεῖν ὅ τι χρὴ λέγειν καινοπρεπῶς ἐχρήσατο τῷ ἐνθυμήματι. εἶπε γὰρ ὅτι, χαλεποῦ ὄντος τοῦ σιωπῆσαι καὶ μὴ ἀπολογήσασθαι ὑπὲρ τῶν ἀνδρῶν, χαλεπώτερόν μοι δοκεῖ τὸ ἀπολογούμενον εὑρεῖν. ἃ δὲ λέγει περὶ τοῦ Περικλέους, τοσαῦται αὐτῷ πρόσκεινται ἀρεταί. τὸ μὲν σιωπᾶν τοῦ λέγειν εὐμαθέστερον. ὑπερβολῇ δὲ κέχρηται, καὶ φησὶν ὅτι οὕτως ἡμῖν εὐπόριστον τὸ περὶ τούτων εἰπεῖν καὶ ῥᾴδιον, ὥστε καὶ δόξαι μᾶλλον τὸ σιωπᾶν δυσχερέστερον.

127,5 τὸ μὴ ἐπὶ τῶν ἐκείνου χρόνων γενέσθαι τῇ πόλει τὴν διαβολὴν ταύτην ἀντὶ τοῦ ἕως τῶν χρόνων τῆς ζωῆς τοῦ Περικλέους. ἡ λύσις δὲ ἀπὸ τοῦ χρόνου. τοῦ δὲ Περικλέους μέγα τοῦτο ἐγκώμιον, ὅτι μέχρις ἐβίου τοῦ νοσήματος ἀπεῖχε τὴν πόλιν.

127,6 τοὺς δὲ παρόντας πλείω λαλοῦντας ἢ φρονοῦντας εὕρισκον εἰς Νικίαν ἢ Κλέωνα καὶ Ἀλκιβιάδην αἰνίττεται. πλείω λαλοῦντας ἐκ τοῦ ἐναντίου ἐμφαίνει, καθάπερ ἐν μανίᾳ γενομένους· οὐ γὰρ λέγοντας, ἀλλὰ λαλοῦντας εἶπε· λαλοῦντας γὰρ φλυαροτέρους ἢ φρονιμωτέρους· κακία γὰρ τοῦ λαλεῖν ἄνευ νοῦ καὶ τοῦ φρονεῖν.

127,7 οὐδαμῶς τὸ τοῦ Περικλέους ἀγαθὸν σώζοντας ὥσπερ ἀγνώμονας αὐτοὺς κληρονόμους ἀπεφήνατο, ὡς μὴ δυνηθέντας φυλάξαι ῥᾷον ἅπερ ἐδέξαντο. λέγει δὲ ὅτι ἄνευ τοῦ σκέψασθαι οὐδὲν ἀπεφαίνετο. ὥστ’ ἐξ αὐτῶν ὧν τοὺς ὕστερον ᾐτιάσαντο εἰς τοὺς κωμικοὺς αἰνίττεται· ὧν εἷς ἐστιν ὁ Εὔπολις.

127,8 ὧν ὑπὸ τῶν μετ’ ἐκεῖνον διεβλήθησαν, τά γ’ ἐκείνου σεμνύνεται οἱονεὶ ὑπὲρ τοῦ χρόνου, οὗ οὐκ ἐφλυάρησαν, ὅτε ἔζη ὀφείλει τιμᾶσθαι πολλῷ γε μᾶλλον καὶ ὑπὲρ τοῦ χρόνου τοῦ μετὰ τὴν τελευτήν· μετὰ πολὺ γὰρ τοῦ

τεθνᾶναι ἐκεῖνον φλυαρεῖν ἤρξατο. ἰατρῷ δὲ χρηστῷ παραβάλλει τὸν Περικλέα, διὰ τὸ θεραπεύειν τοῦ δήμου τὰ λυμαίνοντα.

127,11 μέχρι τούτου τοῦ χρόνου ἕως τοῦ χρόνου τῆς ζωῆς τοῦ Περικλέους. ὥσπερ ἡ Διοτίμα δέκα ἔτη τῆς νόσου δυνηθεῖσα ἀναβαλέσθαι τῇ πόλει μεῖζον ἐπήγαγε παράδειγμα τὴν Διοτίμαν τοῦ ἰατροῦ. αὕτη γὰρ, τελεστικὴ φιλόσοφος οὖσα, μέλλοντος λοιμοῦ κατασκήψειν τῇ πόλει, σοφίᾳ τινὶ καὶ ἐπιστήμῃ λέγεται ἀναβολὴν ποιῆσαι τῆς νόσου. ἡ Διοτίμα τελεστικὴ φιλόσοφος αὕτη ἦν, καὶ τὸ μέλλον προειδυῖα.

127,12 εἰς εὐεργεσίας μέρος οἶμαι κατέθετο ἀναβαλέσθαι γὰρ τὸ δεινὸν εὐεργεσίας, οὐ φαυλότητος, ὑπῆρχε τεκμήριον. ἀπὸ κοινοῦ δὲ τὸ αἰτιᾶται· ἀντίκειται δὲ ἡ λέξις οὐκ ἐπὶ μέμψεως, ἀλλ᾽ ἐπὶ τὴν αἰτίαν νομίζειν.

127,15 Μαντινικὴν μὲν ξένην αὐτὴν πάλιν σημαίνει Διοτίμαν· ἀπὸ γὰρ Μαντινείας τῆς Ἀρκαδίας ἦν. Μιλησίαν δέ φησι τὴν Ἀσπασίαν. ταύτην δὲ θαυμάζει ὡς διδάσκαλον οὖσαν ῥητορικῆς. ἡ δὲ Διοτίμα ἱέρεια γέγονε τοῦ Λυκαίου Διὸς τοῦ ἐν Ἀρκαδίᾳ. αὕτη δὲ, μελλούσης τῆς νόσου, ἧς Θουκυδίδης μέμνηται, ἐπισκήπτειν τοῖς Ἀθηναίοις, εὐξαμένη ἐκώλυσεν αὐτὴν εἰσελθεῖν ἐπὶ δέκα ἔτη. Μαντινικὴν μὲν ξένην τὴν Διοτίμαν. Μιλησίαν τὴν Ἀσπασίαν.

127,16 ἐπίστασαι κοσμεῖν ἐν ἐπιταφίῳ· ἦν δ᾽ ἐκ Καρίας ἡ Ἀσπασία. αἰχμαλωτισθεῖσα δὲ ᾤκει ἐν Μιλήτῳ πορνοβοσκῷ Μυρτὼ καλουμένη. ἐνεχθεῖσα δὲ εἰς τὴν Ἀττικὴν Ἀσπασία ἐκλήθη, ἐκ τοῦ πάντας αὐτὴν ἀσπάζεσθαι. Περικλῆς δ᾽ ἀνέστησεν αὐτήν. οὕστινας ἄν σοι δοκῇ πάνυ ῥᾳδίως μεγάλων ἠξίωσας διὰ τούτων δείκνυσιν ὅτι οὐκ ἄξιον τὸν ἔπαινον ἐποιήσατο ὁ Πλάτων τούτων· οὐ παρὰ πᾶσι γὰρ εἶπε βεβοημένους, ἀλλ᾽ οὓς αὐτῷ δοκεῖ. τὸ δὲ διαφερόντως, ἀντὶ τοῦ ἀναξίως καὶ εὐτελῶς αὐτῶν.

127,17 ἐν φαύλῳ εὐτελῶς.

127,18 τινὰ τῶν μαγείρων ὡς ἀληθῶς, ἢ καὶ ἄλλο τι τῶν τυχόντων ἀνδραπόδων πολλὴν ἔχουσιν αἱ λέξεις δεινότητα· οὐ γὰρ μόνον εἶπε μαγείρων, ἀλλὰ καὶ ἀνδραπόδων, καὶ τὸ τυχὸν, καὶ ἄλλο τι.

128,1 εὐπρεπῶς ἀντὶ τοῦ εὐφήμως. τῶν λόγων δὲ γίνῃ εἶπεν, ὅτι φιλονείκως ἔχει νικᾶν ἐν τοῖς λόγοις. ὥσπερ δὲ ἀντιπίπτοντός ἐστι λύσις. τοῦτο δὲ εἶπεν, ἵνα πλέον διαβάλλῃ τὸν Πλάτωνα. διὸ ἐπήγαγε τὸ τῶν λόγων γίγνῃ, ἀντὶ τοῦ λέσχης καὶ οὐκ ἀληθείας πραγμάτων· ὅπερ ἐστὶν ἔγκλημα φιλοσόφων. σφόδρα τῶν λόγων γίγνῃ φιλονεικεῖς.

128,3 ἔπειτα καὶ τὸ εἰκὸς οὕτω σώζεται ὡσανεὶ ἔλεγε τὸ ἀναγκαῖον καὶ τὸ ἀκόλουθον. τὸ δὲ πάντες μᾶλλον ὑπερβολικόν ἐστιν.

128,4 τοσοῦτον ἧττον οὐδαμῶς.

128,5 μηδεὶς θαυμάσῃ τὸ παράδοξον ὥσπερ γὰρ παράδοξον εἶναι δοκεῖ τὸ λέγειν ἱκανὸν ὄντα ἐκεῖνον μὴ καὶ τοὺς ἄλλους εἰς τοῦτο καταστῆσαι, ἀλλὰ σιγὴν ἀσκοῦντας. ῥητορικῶς πάνυ προλαμβάνει καὶ λύει τὸ παράδοξον. εἰ δὴ ἐπεί. οὐκ ἀμφιβάλλων λέγει τὸ εἰ δή, ἀλλ' ἀποφαινόμενος.

128,8 τοῦ φρονεῖν ἀμελήσαντας αὐτὸς προϊὼν λέγει, τί ἐστι τὸ φρονεῖν. λόγων δέ φησιν ἐμφρόνων τὸ τῶν πραγμάτων στοχάζεσθαι, καὶ μὴ τὸν τυχόντα διαβάλλειν εἰκῆ. οἵ τι τῶν ῥᾳδίων ἄλλο προδείξαντες ποιῆσαι, μιμήσασθαι. ἀντὶ τοῦ μιμήσασθαι καὶ ποιῆσαι.

128,9 ἐν κόσμῳ καὶ νόμῳ ἐν κόσμῳ λέγει τῷ κάλλει τοῦ λόγου καὶ τῇ φράσει. νόμον δὲ τὴν τέχνην καὶ τὴν κατασκευὴν τοῦ λόγου.

128,10 τὸ τοῦ Λάχητος—τὸν βίον παρεχόμενος ἐν διαλόγῳ Πλάτων εἰσάγει τινὰ Λάχητα λέγοντα τῷ Σωκράτει «Ἄγαμαί σε, Σώκρατες, καὶ τοῦ βίου καὶ τοῦ λόγου.» δεινῶς οὖν ἐπεχείρησεν ὁ ῥήτωρ, δεικνὺς ὅτι ὁ Πλάτων ἑαυτὸν ἐπῄνεσε διὰ τοῦ προσώπου τοῦ Σωκράτους.

128,12 τὸ μηδὲν φαύλως μὴ εὐτελῶς.

128,14 μήτε ποιεῖν τὸ ποιεῖν νῦν οὐκ ἐπὶ τοῦ πράττειν εἴρηται, ἀλλ' ἐπὶ τοῦ γράφειν. οὕτω καὶ Ἰσοκράτης ἐν τῷ κατὰ τῶν σοφιστῶν «Οἱ ποιητικοῦ πράγματος τεταγμένην τέχνην παράδειγμα φέροντες.» ἔστι δὲ ἀντὶ τοῦ ἀεὶ ἐν γραφαῖς ὄντες. ἀπὸ τοῦ πρώτου παραστάντος ὡς ἔτυχε ἐπελθόντος. ἀντὶ τοῦ οὐκ ἀπὸ τοῦ ἐξ ἀρχῆς καὶ εὐθέως ἀπελθόντος, ὅπερ ἐστὶν

ἀσκέπτως, ἀλλ᾽ ἐν πλείονι τῇ τῶν γιγνομένων κρίσει. τριῶν γοῦν ἕν γέ τι δεῖ λελύσθαι ἄνωθεν τῆς διαιρέσεως ἄρχεται· ἢ γὰρ, φησὶ, τὸ καλὸν οὐ κακόν· εἰ δὲ κακὸν, οὐ Περικλῆς αἴτιος, εἴπερ ἦν ἀγαθὸς λέγειν, ἢ οὐκ ἦν δεινὸς λέγειν· τοῦτο οὖν κατασκευάζει.

128,16 ἤδη τοι τό γε τρίτον δεινῶς εἶπε τὸ τρίτον. τὴν δὲ διαίρεσιν περιέστησεν, ὅπερ καὶ ἀποδεῖξαι ἠδύνατο.

128,17 τίνες οὖν ἂν μᾶλλον εἰς τοὺς κωμικοὺς αἰνίττεται.

128,19 οἷς συνηθέστερον ψέγειν ἅπαντα ἢ κοσμεῖν ἀντὶ τοῦ οἷς τέχνη τὸ ψέγειν. δείκνυσιν οὖν τὴν Περικλέους ἀρετὴν κρείττονα τῆς κωμῳδίας τὸ μὴ διαβεβλῆσθαι ὑπ᾽ αὐτῆς.

129,1 ἔτι δ᾽ ἄλλου μέν τινος πράγματος σκήπτεσθαι μάρτυρι κωμῳδίας διδασκάλῳ, τάχ᾽ ἂν οὐκ ἰσχυρὸν ἦν βίου καὶ πολιτείας· οὐ γὰρ εἰς ταῦτα ἄξιοι μάρτυρές εἰσιν. καλῶς εἶπε τὸ ἄλλου τινὸς, οἱονεὶ τοῦ βίου αὐτοῦ, ἢ ἑτέρου τοιούτου. τοῦτο δὲ προσέθηκεν, ἐπειδὴ ἀντέπιπτεν αὐτῷ ἡ δόξα τῶν κωμικῶν, ὅτι οὐκ ἀξιόπιστα τῶν κωμικῶν πρόσωπα εἰς μαρτυρίαν· διὸ καὶ πρὸ μικροῦ μάρτυρας λέγει τοὺς κωμικοὺς οὐ τοῦ βίου αὐτοῦ, ἀλλὰ τῆς δεινότητος καὶ τῆς δυνάμεως τῶν λόγων αὐτοῦ.

129,3 ὥσθ᾽ ὑπεριδεῖν τῶν ἀνδρῶν τούτων, ὡς οὐδενὸς ἀξίων δεινῶς ἐνταῦθα διαβάλλει τοὺς φιλοσόφους εἰς ἀμαθίαν. λέγει δὲ ταῦτα τοῖς δυναμένοις ῥητορικὴν νοῆσαι δεινότητα.

129,4 τῶν δὲ βεβήλων ὀλίγος ὁ λόγος· πάντως δὲ οὐδὲν δεῖ πύλας αὐτοὺς ἐπιθέσθαι τοῖς ὠσὶν ἐκ τοῦ εἰπεῖν βεβήλων, καὶ πύλας ἐπιθέσθαι τοῖς ὠσὶ, παρεικάζει τοὺς λόγους μυστηρίοις. ἔστι δὲ κήρυγμα μυστικὸν, τὸ θύρας δ᾽ ἐπίθεσθε βέβηλοι· ὥς που καὶ Ὀρφεὺς δηλοῖ «Φθέγξομαι οἷς θέμις ἐστί· θύρας δ᾽ ἐπίθεσθε βέβηλοι.» ἀκολούθως δὲ εἶπε καὶ τῶν ἱερῶν, ἤτοι τῶν λόγων, τηρήσας τὴν τροπήν. ἐπειδὴ μυστηρίοις παρέβαλε τοὺς λόγους, ἀκολούθως ὡς ἐν μυστηρίοις ἐπήγαγε τὰς πύλας. ἔστι δὲ κήρυγμα μυστικὸν τὸ θύρας δ᾽ ἐπίθεσθε βέβηλοι.

129,5 τοὺς δὲ λέληθε καὶ αὐτὸ τοῦτο ἐνίους δὲ, φησὶ, λέληθε καὶ αὐτὸ τοῦτο, ὅτι ἀγνοοῦσι. ταύτην δέ φησι Πλάτων διπλῆν ἄγνοιαν· ἀγνοίας ἄγνοιαν,

φησὶ, νοσοῦσι.

129,6 τοσοῦτόν εἰσι πόρρω τῶν ἱερῶν ἤγουν τῶν λόγων. πάλιν ὡς ἐν μυστηρίῳ εἶπε τῶν ἱερῶν. τῶν μαρτύρων ἡμῖν τῶν εἰς τοὺς λόγους κεκλημένων ὡς ἐπὶ δικαστηρίου εἶπε τὸ κεκλημένων· ἐκεῖ γὰρ καλοῦνται οἱ μάρτυρες.

129,7 ὁ μὲν ὁ Κρατῖνος δηλονότι ποιητής. ὁ Εὔπολις· κατὰ δὲ ἄλλους Κρατῖνος.

129,8 λέγων μὲν ἴσον τι καὶ φωνὴν ἐπεὶ διαβολὴν εἶχε τὸ λέγειν γλῶτταν, ὡσανεὶ λέσχην τινὰ καὶ φλυαρίαν, διορθοῦται, λέγων ὅτι ἀντὶ φωνῆς καὶ ἴσον τῇ φωνῇ εἶπε τὴν γλῶτταν. ταὐτὸν λέγων γλῶτταν ὡσανεὶ καὶ φωνήν. ἐπειδὴ δὲ διαβολὴν εἶχε τὸ λέγειν γλῶτταν ὡσανεὶ λέσχην τινὰ οὖσαν καὶ φλυαρίαν, διορθοῦται λέγων, ὅτι ἀντὶ φωνῆς καὶ ἴσην τῇ φωνῇ εἶπε τὴν γλῶτταν.

129,9 τῆς παρὰ τῆς τέχνης πικρίας πικρίαν εἶπε τὸ σκωπτικόν· τοῦτο γὰρ ἴδιον κωμῳδίας. πικρίαν δὲ λέγει τὸ—τῆς κωμῳδίας.

129,10 μηδ' ἐνδείξασθαι τὴν μεγαλοπρέπειαν τὴν περὶ τοὺς λόγους αὐτοῦ καλῶς εἶπε τὴν περὶ τοὺς λόγους· κυρίως γὰρ μεγαλοπρέπεια λέγεται ἡ μεγαλοψυχία ἐπὶ χρημάτων. ὁ δ' ὁ Ἀριστοφάνης.

129,11 κυκᾶν αὐτόν φησι δημηγοροῦντα καλῶς προσέθηκε τὸ δημηγοροῦντα, ἐπειδήπερ διαβολὴ ἦν τὸ λέγειν κυκᾶν. εἶτα ἵνα μὴ εἴπῃς, ἀλλ' ὡς πολεμοποιὸν διαβάλλει αὐτὸν, λύει τοῦτο, λέγων, πρὸς τὸ παρὸν τὴν μαρτυρίαν λάβωμεν, κἀκεῖνο πάλιν ὑπὲρ ἡμῶν ὀφθήσεται εἰς τὸ ἀργούς. καλῶς δὲ προσέθηκε καὶ τὸ δημηγοροῦντα, ἐπειδήπερ καὶ διαβολὴ—ἀργούς.

129,12 ὅσον εἰς τὸν παρόντα προσήκει λόγον καλῶς εἶπεν εἰς τὸν παρόντα· καὶ μέλλει γὰρ ὕστερον κατασκευάζειν, ὅτι τοσοῦτον οὐκ ἦν δειλὸς, ὅτι καὶ πολεμοποιὸς ἔδοξεν εἶναι. ἔπειτα κἀκεῖνα τὸ τοῦ πολεμοποιοῦ λέγει, ὅτι διαβάλλει αὐτὸν ἐπὶ δειλίαν ὁ Πλάτων. καλῶς γὰρ τοῦτο ἐπήγαγεν· ἐναντίον γὰρ δειλίᾳ πόλεμος.

129,13 πρὸς ἤγουν ὑπέρ. ὁ δὲ δὴ τρίτος ὁ Εὔπολις. ὥσπερ οὐδὲ κωμῳδίας οὗτός γε ποιητὴς τοῦτο εἶπεν, ἐπειδὴ αἴτιον ταῖς κωμῳδίαις τὸ σκώπτειν.

129,14 εἷς τῶν καλῶν κἀγαθῶν τῶν μὴ φθονούντων. ἀνεπίφθονον αὐτῷ καὶ καθαρὰν τὴν μαρτυρίαν ἀποδέδωκε τὸ καθαρὰν ἐξήγησίς ἐστι τοῦ ἀνεπιφθόνου.

129,15 λέγων, ὡς ἑκκαίδεκα μὲν ποδῶν—ἐπὶ τοῖς χείλεσι Εὔπολις ἐν τοῖς Δήμοις μεμνημένος Περικλέους τούτους φησὶ τοὺς ἰάμβους «Κράτιστος οὗτος ἐγένετ’
ἀνθρώπων λέγειν, ὁπότε παρέλθῃ, ὥσπερ οἱ ἀγαθοὶ
δρομεῖς ἑκκαίδεκα ποδῶν ᾖρει λέγων τοὺς ῥήτορας. ταχὺν
λέγεις με· πρὸς δὲ αὐτοῦ τῷ τάχει πειθώ τις ἐπεκάθιζεν
ἐπὶ τοῖς χείλεσιν.»

129,16 πάντα τῶν ἄλλων ῥητόρων.

130,1 ῥήτωρ γάρ ἐστι νῦν τις ὅν γ’ ἐστὶ λέγειν ὁ Βουζύγης ἄριστος ἀλιτήριος δυσχεραίνων Εὔπολις πρὸς τοὺς ὑφ’ αὐτοῦ ῥήτορας φησὶν ὡς οἱ ἄλλοι τῶν ῥητόρων οὐδέν εἰσιν. ἔστι γάρ τις ῥήτωρ, ὅν ἐστιν ὀνομάζειν ὁ Βουζύγης ἄριστος ἀλιτήριος. εὕρηται δὲ καὶ τὸ ὤν, μέγα, δασυνόμενον καὶ περισπώμενον. ἀποδίδοται δὲ οὕτω· ῥήτωρ γάρ ἐστί τις ὁ Βουζύγης ἀλιτήριος ἐκείνων τῶν ῥητόρων, ὧν ἐστι λέγειν. δέον δὲ εἰπεῖν οὓς, πρὸς τὸ λέγειν, ὧν εἶπε, πρὸς τὸ ἐκείνων. ὁ Βουζύγης ἄριστος ἀλιτήριος Βουζύγης ἄριστος· ὁ Εὔπολις τοῦτό φησιν ὑπὲρ Περικλέους· ῥήτωρ γὰρ ἔνι τις, ἀφ’ ὧν ἐστι τὸ λέγειν, ὡς προσῆκον δηλονότι ἀγαθῷ ῥήτορι; ὁ Περικλῆς ἐστιν ἄριστος ὁ βουζύγης ὁ ἀλιτήριος. βουζύγην μὲν οὖν αὐτόν φησι κατὰ τὸν τοῦτον τρόπον· ὅτι τοὺς τρέφοντας ἐν Ἐλευσῖνι τοὺς ἱεροὺς βόας ἀροτριῶντας βουζύγας ἐκάλουν. τοῦτο δὲ οὐκ ἐξῆν παντὶ τῷ βουλομένῳ ποιεῖν, εἰ μὴ μόνοις τοῖς ἱερεῦσι. πατρόθεν οὖν ἐκ τῶν τοιούτων εἶλκε τὸ γένος ὁ Περικλῆς· καὶ διὰ τοῦτο βουζύγην αὐτὸν ἐκάλεσεν. ἀλιτήριον δὲ αὖ καλεῖ κατὰ τοῦτο· ὅτι ἀπὸ μητρὸς ἦν τῶν τὸ Κυλλώνειον ἄγος ποιησάντων ἐν Ἀθήναις, ἤγουν τῶν τὸν Κύλλωνα ἀνελόντων, καὶ τοὺς παῖδας ἐκείνου, καὶ πάντας τοὺς αὐτοῦ, διὰ τὸ τύραννον βουληθῆναι ἐν Ἀθήναις γενέσθαι. τὴν δὲ ἱστορίαν Θουκυδίδης φησίν. Βουζύγαι καλοῦνται οἱ τὰς ἱερὰς βοῦς τὰς ἐν Ἐλευσῖνι ἀροτριώσας τρέφοντες. ἐκ τούτων δὲ ὁ Περικλῆς κατήγετο. τὸ γένος δὲ τοῦτο ἦν ἱερόν. τὸ δὲ σχῆμα τοῦτο καλεῖται παρ’ ὑπόνοιαν· εἰρηκὼς γὰρ ὁ

Βουζύγης καὶ ἄριστος εἶπεν ἀλιτήριος, τουτέστιν ἀσεβής. τὸ δ᾽ ἄριστος πρὸς τὸ ῥήτωρ. ἦν γὰρ μητρόθεν ἐκ τῶν τὸ Κυλώνειον ἄγος ποιησάντων.

130,2 οὕτως ἴσασιν οὕς τε προσήκει διασύρειν ἐπὶ τοῖς λόγοις καὶ οὓς ἄξιον θαυμάζειν καλῶς προσέθηκε τὸ ἴσασιν οὓς προσήκει διαβάλλειν, ἵνα μὴ εἴπῃς ὅτι πρὸς χάριν ἐποιήσατο τὸν ἔπαινον τοῦ Περικλέους. λέγει οὖν διάφορον τὴν γνώμην τοῦ Εὐπόλιδος, ὡς ἐνίους μὲν ἐπαινοῦντος αὐτοῦ, ἐνίους δὲ ψέγοντος.

130,3 ὁ τοσοῦτον αἱρῶν τοὺς ῥήτορας ἀντὶ τοῦ νικῶν. καὶ Αἰσχίνης «Αἱρεῖ γὰρ αὐτὴν οὐχ ἡ γραφὴ μόνον, ἀλλὰ καὶ τὸ ψήφισμα.»

130,5 ὡς ἀδυνάτους τοὺς ῥήτορας. πρὸς τὸν Περικλέα.

130,6 ἢ παντὸς ἀνδρὸς πρᾶγμα διεπράττετο φαῦλον καὶ τῶν πολλῶν ἄξιον· τὸ γὰρ φαῦλον καὶ εὐτελὲς πολλοὶ ἐπιτηδεύουσιν.

130,10 τῶν καιρῶν καὶ τῶν πραγμάτων στοχάζεσθαι τεχνικῶς ὁρίζεται τὸ ἔγκλημα τῶν καιρῶν, ὥσπερ καὶ Ἰσοκράτης ὁρίζεται, ἔργον ῥήτορος εἶναι τὸ πρὸς τὸν καιρὸν ἁρμόζεσθαι. ἄλλοι δὲ εἰρήνης λόγοι, ἄλλοι δὲ πολέμου· καὶ Θουκυδίδης ὁριζόμενος εἶπεν «Αἰτία μὲν γάρ ἐστι φίλων ἁμαρτανόντων, κατηγορία δὲ ἐχθρῶν ἀδικησάντων.» τῶν καιρῶν καὶ τῶν πραγμάτων στοχάζεσθαι, καὶ τὸ πρέπον σώζειν ὅτι ῥήτορος ἔργον τῶν καιρῶν καὶ τῶν πραγμάτων στοχάζεσθαι, καὶ τῶν προσώπων σώζειν τὴν ποιότητα. καὶ τὸ ἦθος· πρέπον γὰρ καλεῖ ἦθος τοῦ προσώπου, τὴν ποιότητα.

130,11 τούτοις γοῦν ἕπεται καὶ τὸ κρατεῖν περὶ τὴν πολιτείαν τὸν βίον.

130,12 ὁ τοίνυν Περικλῆς τοσοῦτο νικῶν οὐ μόνον, φησὶν, ἐνίκα, ἀλλὰ καὶ νικῶν ἔπειθεν. ἔστι γὰρ λέγειν μὲν καλῶς, μὴ πείθειν δέ.

130,13 ἐν οἷς γε καὶ τοὺς ἄλλους αἰτιῶνται, ἅμα τοῦτόν τ᾽ ἀφιᾶσι ἐκ τοῦ ἀκολούθου τὸ ἐπιχείρημα, ὅτι ἐξ ὧν τοὺς ἄλλους ψέγουσιν οἱ κωμικοὶ, τοῦτον ἀπολύουσι τῆς μέμψεως, τῷ λέγειν αὐτὸν Βουζύγην, ἀντὶ τοῦ τιμίου καὶ ἱεροῦ γένους.

130,14 εἰ δὲ δεῖ καὶ σεμνοτέρου μάρτυρος ἐπειδὴ τῶν κωμικῶν μαρτυρία οὐκ ἔστιν ἀξιόπιστος, τρέπεται λοιπὸν καὶ εἰς ἑτέρας μαρτυρίας, καὶ ἀνωτέρω μέλλων παρατίθεσθαι, προεθεράπευσε.

130,15 εὑρήσεις γὰρ ἁπανταχοῦ μεμνημένον τοῦ Περικλέους.

130,17 ἐπειδὰν πρῶτον αὐτὸν εἶναι φῇ θαυμασίως· τὸ γὰρ πρῶτον οὐ συγχωρεῖ εἶναι τὸν ἔπαινον ἀτελῆ. ἐκ τοῦ καθόλου τὸ ἐπιχείρημα· ἐξ ὧν γὰρ αὐτὸς, φησὶν, ἀπροσδοκήτως ὀνομάζει πρῶτον, ἐκ τούτων ὅτι καὶ πράττειν ἄριστος ἦν ἐμαρτύρησεν, οὐ τῷ λέγειν μόνον.

131,1 τῶν Ἀντιφῶντος ἑταίρων ἐστὶ τοῦτον τὸν Ἀντιφῶντα Πλάτων ἐπαινεῖ· διὸ καὶ λέγει πρὸς αὐτὸν Ἀριστείδης ὡς οὐχ ὁ τυχών ἐστιν, ἀλλ᾽ ἑταῖρος Ἀντιφῶντος, ὃν αὐτὸς ἐπαινεῖ. κατ᾽ εἰρωνείαν· ἐπειδὴ καὶ Περικλῆς αὐτοῦ ἦν μαθητής. ὥσπερ δὲ ὁ Πλάτων ἑαυτὸν σεμνύνει τῷ ὀνόματι τοῦ Σωκράτους, οὕτω καὶ ὁ Ἀριστείδης τὸν Θουκυδίδην τῷ ὀνόματι τοῦ Ἀντιφῶντος, τοῦ διδασκάλου αὐτοῦ. εἶτα ἐπήγαγε καὶ ἅμα ὡς τὸ εἰκὸς, τουτέστιν εὐφυὴς καὶ ἄριστος κατὰ πάντα· οὐ γὰρ ἀρκεῖ τὸ ἐπὶ μόνοις διδασκάλοις σεμνύνεσθαι, ἀλλὰ καὶ ἐξ οἰκείας φύσεως.

131,2 ὅμως ἀποδίδωσιν ἐκείνῳ τὰ πρέποντα ὥσπερ ἀναγκαζόμενος ἐπαινεῖν ἕνεκεν τῆς ὑπερβολῆς τῆς φύσεως. ἢ ποῦ σοί γε τῷ τὴν Ἀσπασίαν κατ᾽ ἐρώτησιν ἐλεγκτικῶς. τῷ τὴν Ἀσπασίαν ἐπαινοῦντι πρὸ τοῦ Ἀντιφῶντος τοῦτον γὰρ ἐπαινῶν ἔστι μᾶλλον ἐκείνην θαυμάζειν.

131,3 πρὸ τοῦ Ἀντιφῶντος Ἀντιφῶντα καλεῖ τὸν Θουκυδίδην· ὥσπερ ἑαυτὸν ὁ Πλάτων Σωκράτην. ἥκει γὰρ πρὸς τοὔσχατον τῆς μαρτυρίας ὁ λόγος τὸ κυριώτερον. ἔσχατον γὰρ οὐκ ἀτιμότερον, ἀλλ᾽ ὡς μάλιστα ἰσχυρότερον, μεθ᾽ ὃ οὐκ ἄν τις εἰκότως ἕτερον δέξοιτο· νῦν οὖν ἔσχατον καλεῖ οὐ τὸ εὐτελὲς, ἀλλὰ τὸ ἄκρον. ῥητορικῶς δὲ ἄκραν μαρτυρίαν καλεῖ, τὴν ἀντίδικον μάρτυρα παρεχόμενος. ἔσχατον οὖν εἶπεν, ὅτι ὑπὲρ αὐτοῦ ἁλίσκεται.

131,4 αὐτὸς γάρ ἐστι Πλάτων ἡμῖν ὁ τὴν Ἀσπασίαν τὸ μαχόμενον. αὐτὸς γάρ ἐστι Πλάτων ἡμῖν—διαφέροντα τῶν Ἑλλήνων αὐτὸν προσειρηκὼς οὕτως ἐν Μενεξένῳ τῷ διαλόγῳ ὁ Πλάτων περὶ Ἀσπασίας φησὶν ἀπὸ τοῦ

Σωκράτους πρὸς Μενέξενον· «Ἐμοὶ μὲν γὰρ τυγχάνει διδάσκαλος οὖσα, οὐ πάνυ φαύλη περὶ ῥητορικήν. οὐκ ἄλλη τις, ἀλλ᾽ ἥπερ πολλοὺς κἀγαθοὺς πεποίηκε ῥήτορας, ἕνα δὲ καὶ διαφέροντα τῶν Ἑλλήνων, τὸν Περικλέα τὸν Ξανθίππου.» λέγει οὖν πρὸς αὐτὸν Μενέξενος «Τίς αὕτη; ἢ δῆλον ὅτι Ἀσπασίαν λέγεις.»

131,5 καταφεύγων ἐπὶ τὸν Περικλέα πιστούμενος τουτέστιν ἀπόδειξιν τῆς Ἀσπασίας Περικλέα ποιούμενος. τὰ ἐν τῷ Μενεξένῳ δὲ τῷ διαλόγῳ εἰς τὴν ἀρχὴν ῥητὰ Πλάτωνος λέγει· εἰσὶ δὲ ταῦτα· ἐμοὶ μὲν γὰρ—.

131,6 διαφέροντα τῶν Ἑλλήνων νῦν οὐ τὸ γένος λέγει, ἀλλὰ τὴν φωνὴν οἱονεὶ τῶν πεπαιδευμένων.

131,7 καίτοι οὐ δήπου, τοῦ μὲν Ἀσπασίᾳ συλλογιστικόν. συλλογίζεται ἀπὸ τοῦ ἐναντίου. οὐ δεῖ γὰρ, φησὶ, νομίζειν ἐλλόγιμον διὰ τὸν Περικλέα, αὐτὸν δὲ ἡγεῖσθαι ἀμαθῆ, δι᾽ ὃν ἐκείνη θαυμάζεται.

131,8 τῆς δ᾽ αὐτοῦ Περικλέους τῆς δυνάμεως. ὑπὲρ μὲν Ἀσπασίας ἐμφαντικόν ἐστιν, ἀντὶ τοῦ ὑπὲρ γυναικός.

131,9 τῷ δὲ καθ᾽ αὑτὸν πράγματι ἀντὶ τοῦ ἰδίῳ· οἱονεὶ τῆς ἑαυτοῦ δυνάμεως.

131,10 ἀλλὰ καὶ ἑτέρωθι ἐν τῷ Φαίδρῳ.

131,11 τέλεον τὸν Περικλέα τὴν ῥητορικὴν γενέσθαι, συγγενόμενον Ἀναξαγόρᾳ Ἀναξαγόρας εἰ καὶ τὰ μετέωρα ᾔδει, ἀλλὰ καὶ ῥητορικῆς εἰς ἄκρον ἀφῖκτο. φυσικὸς φιλόσοφος Ἀναξαγόρας γέγονεν, ὡς πολλάκις εἰρήκαμεν, οὗ μαθητὴς ἦν ὁ Περικλῆς. ἀλλὰ μή πω πᾶν τοῦτο τὸ μήπω πᾶν τοῦτο εἶπε διὰ τὸ συγγενόμενον Ἀναξαγόρᾳ· ὕστερον γὰρ καὶ περὶ τούτου εἴπῃ. ἀλλὰ μήπω πᾶν τοῦτο εἶπεν, ἀντὶ τοῦ μὴ εἰπὼν μὲν τὸν Περικλέα φυσικόν. οὐ γὰρ ἀπῄτει ὁ καιρός. ἀλλαχοῦ δὲ λέγει περὶ αὐτοῦ ἐν τούτῳ τῷ λόγῳ ὅτι τὸν Ἀναξαγόραν ὁ Περικλῆς ὠφεληθεὶς εἴλκυσεν ἐκ τῶν φυσικῶν πρὸς τὴν ἑκάστου τέχνην τὸ πρόσφορον. χρῄζει γὰρ, φησὶν, ὁ ῥήτωρ ὁ τέλειος φυσικῆς ἐπιστήμης, ὥστε τὰ αἴτια μανθάνειν τοῦ πείθειν.

131,12 πῶς ἂν οὖν ὁ τοσοῦτον ὑπερέχων συλλογίζεται λοιπὸν τὸ ἐπιχείρημα.

131,13 πᾶσι τοῖς κριταῖς ἀντὶ τοῦ μάρτυσι. λέγει δὲ τοῖς κωμικοῖς, τῷ Θουκυδίδῃ, καὶ αὐτῷ Πλάτωνι.

131,14 σιωπῆς αἴτιον αὐτὸν—καταστῆναι παραδόξως εἶπε σιωπῆς αὐτὸν αἴτιον, οὐ λόγῳ ὑπάρχοντα ῥήτορα, ᾧ διδαχὴ τῷ λέγειν ἀεί.

131,15 κἀν ταῖς ἄλλαις δήπου δυνάμεσιν νῦν δυνάμεις εἶπε πάσας τὰς τέχνας· κυρίως γὰρ ἐπὶ ῥητορικῆς καὶ διαλεκτικῆς εἴρηται δύναμις.

132,2 εὐλαβεῖς καὶ κοσμίους ἀντὶ τοῦ ἀσφαλεῖς τοῦ κόσμου γινομένους. οὐ γὰρ ἂν ᾧ γέ τις ἐστὶ βέλτιστος συλλογιστικῶς ἀποδείκνυσιν, οὐδεὶς γὰρ ἀρεταῖς σεμνυνόμενος βλάπτειν τινὰ ταύτῃ προέχειν δοκῶν, ἐν ἄλλοις δὲ βλάπτειν δύναται, ἐν οἷς μὴ προύχειν· διὸ εἶπεν ἐν οἷς βέλτιστός ἐστιν· οἷον ὁ σοφιστὴς οὐκ ἂν καὶ τοξότας ἀρίστους ἐπαίδευσεν, ἀλλ᾽ ὅπερ ἐστὶν ἀγαθὸς, τουτέστιν ἐν λόγοις, ἀγαθοὺς τοὺς φοιτῶντας ἀπέδειξεν.

132,4 ἐν τοῖς κατὰ τὸν βίον πράγμασιν παραδειγματικῶς.

132,6 εἴπερ αὐτοὶ μέλλομεν δόξειν σωφρονεῖν ἑαυτὸν πανταχοῦ συνάπτει τῇ διαβολῇ, κουφοτέραν ποιῶν τὴν ἐπιτίμησιν.

132,7 κἀν τοῖς λόγοις ὅστις τὴν τοῦ καλοῦ καὶ πρέποντος φυλακὴν ἔχει καλοῦ λέγει τῆς φράσεως τοῦ λόγου, πρέποντος δὲ τοῦ ἤθους τῶν προσώπων, ὥστε φυλάττειν αὐτῶν τὴν ποιότητα.

132,8 τοῦ περὶ ταῦτα κόσμου κόσμον καλεῖ πάλιν τὸ κάλλος καὶ τὴν φράσιν τοῦ λόγου. τὸ σὸν, ὦ Πλάτων, ποιεῖ φησὶ γάρ που ὁ Πλάτων ὅτι δεῖ κόσμιον εἶναι τὸν τὸν κόσμον μιμούμενον. ἀντὶ τοῦ ὃ λέγεις αὐτὸς τὸν κόσμον μιμούμενος. ἔλεγε δὲ ἀεὶ ὁ Πλάτων ὅτι δεῖ κόσμιον εἶναί τινα τὸν κόσμον μιμούμενον· κόσμος γὰρ ἐκλήθη παρὰ τὸ κεκοσμῆσθαι ταῖς ὥραις καὶ τοῖς ἄλλοις ἅπασιν.

132,10 τοὺς κρείττους, εἰς ὅσον οἷόν τε ἐστὶν, ἐν τοῖς ἑαυτοῦ μιμούμενος ἤτοι τοὺς θεούς φησιν, ἢ κρείττονας εἶπε τὸν κόσμον καὶ τὸν οὐρανὸν, ἢ τοὺς ἐναρέτους. καλῶς δὲ ἡ προσθήκη, ἀντὶ τοῦ ὅσον δυνατόν ἐστιν ἀνθρώπῳ· ὅρος γάρ ἐστι φιλοσοφίας οὗτος· φιλοσοφία ἐστὶν ὁμοίωσις θεῷ κατὰ τὸ

δυνατὸν ἀνθρώπῳ. λέγει οὖν ὅτι ὁ Περικλῆς ἐσπούδαζεν ἐπίσης τοῖς κρείττοσι γίνεσθαι.

132,12 οὐ μᾶλλόν γε ἢ τὸν γυμναστὴν ἐθίζειν ἀμελεῖν οἶδε τὸν Πλάτωνα τῆς γυμναστικῆς ἐπαινέτην· διὸ γυμναστῇ παραβάλλει τὸν Περικλέα.

132,13 ἐὰν δὲ δή τις καὶ τὸν βίον ἐξ ἴσου τοῖς λόγοις καταστῇς ἐπιφέρει τὸ πῶς ἐξ ἴσου· ἵνα μὴ μόνον μετὰ κάλλους λέγῃ, ἀλλὰ καὶ βίον ἐν τοῖς πράγμασιν ἄριστος ᾖ.

132,15 ἀλλὰ δυοῖν ἔμελλον οἶμαι θάτερον συλλογίζεται τῷ διλημμάτῳ σχήματι.

132,18 πάσης παρανομίας ἀφέξεσθαι δεινῶς εἰπὲ παρανομίας, ὅπερ ἐστὶν ἔξω τοῦ νόμου τῶν λόγων καὶ τῆς ἀληθοῦς ῥητορικῆς.

132,20 ὡς ἐπεί. ὡς τὸ μὲν εἶναι ῥήτορα, τοῦτο ἦν, ὅπερ ἦν ὁ Περικλῆς ὥσπερ ὅρον ῥήτορος τὸν Περικλέα λέγει. τύχην δὲ λέγει νῦν τὴν εὐτυχίαν. τὸ δὲ οὖσαν ἀντίπτωσίς ἐστιν ἀντὶ τοῦ οὔσης· καὶ ἔστιν αἰτιατικὴ ἀντὶ γενικῆς.

133,2 ὁρῶ δέ τοι καὶ περὶ τὴν τραγῳδίαν καὶ ἀπὸ τῶν τραγικῶν πιστοῦται, ὅτι οὐκ ἦν κακὸς ὁ Περικλῆς.

133,4 ὅτι οἶμαι τῆς σεμνότητος, —ἀφελεῖν τι δόξαντα τοῦ βάρους καὶ τῶν καιρῶν τοῦτο λαμβάνει σημεῖον τοῦ μὴ ἐσχηκέναι τὸ ἔγκλημα τῆς λαλιᾶς, ὅτι τοῖς ὑποκειμένοις πράγμασι τοὺς λόγους ἥρμοττον. τοὐναντίον δὲ Εὐριπίδης ἐποίει, ἀφαιρῶν τοῦ βάρους καὶ τῶν καιρῶν, τουτέστι τῆς σεμνότητος τῶν προσώπων, ἀναξίους τοὺς λόγους ἐκφέρων· ἐνίοτε δὲ τοῖς οὐκ ἀξίοις προσώποις λόγους σεμνοὺς καὶ φιλοσόφους προσάπτων, ὡς τῇ Ἑκάβῃ. καιρῶν δὲ διὰ τοὺς ἀναχωρισμούς· πολλὰ γὰρ πλάττουσι πρόσωπα λέγοντά τινα, ἃ μετὰ πολὺν χρόνον τῆς ἐκείνων ζωῆς γέγονεν.

133,6 τοῦ βάρους μεγέθους. τοῦ βάρους καὶ τῶν καιρῶν βάρους, ἀντὶ τοῦ κόμπου· καιρῶν δὲ, ὅτι τὴν Ἑκάβην φιλοσοφοῦσαν εἰσάγει· ἢ βάρος λέγει τὴν συμφοράν· εἰς Ἑκάβην δὲ ἀποτείνεται, ὅτι ἐν συμφοραῖς οὖσαν εἰσάγει αὐτὴν φιλοσοφοῦσαν. διόπερ καὶ διασύρεται ὁ Εὐριπίδης, ὡς ἀγνοήσας πῶς δεῖ οἰκονομῆσαι πρόσωπα, ὅτι καὶ βαρβάρῳ καὶ δυστυχεῖ

φιλοσοφίαν ἐνέθηκεν. ἄλλο δὲ τῶν καιρῶν λέγουσιν, ὅτι μετὰ ὀγδοήκοντα ἔτη τῶν Τρωικῶν κατήχθησαν οἱ Δωριεῖς εἰς Λακεδαίμονα, ὥς φησιν ὁ συγγραφεύς· τούτοις δὲ ὁ Λυκοῦργος νομοθετεῖ γυμνάζων τὰς γυναῖκας, καὶ εἰς παλαίστρας καὶ νόμους φοιτᾶν, ἵνα τυγχάνωσι γενναιότεραι. καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ γυμνοῖς μηροῖς καὶ πέπλοις ἀνειμένοις λέγει αὐτὰς χρῆσθαι· ὅπερ οὐκ ἔστι δεῖ λέγειν Ἀνδρομάχην· οὐδὲ γὰρ ἐπ᾽ αὐτῆς ταῦτα ἐγεγόνει, ἀλλὰ χρόνῳ πλείονι τῶν Τρωικῶν. πλεῖν ἢ σταδίῳ μετὰ τὸν Εὐριπίδην. τὸ δὲ πλεῖν Ἀριστοφάνειόν ἐστιν, ἀντὶ τοῦ πλέον. τὸ δὲ ἢ σταδίῳ μέτρον τι φησί. λέγει οὖν ὅτι πολυλάλοι ἦσαν.

133,8 τοῦ γὰρ κόσμου τοῦ ποιητικοῦ· τῆς εὐταξίας. ἀντὶ τοῦ κάλλους· οὐδὲ γὰρ λέγει τούτου τοῦ κόσμου, ἀλλὰ τῆς εὐκοσμίας τοῦ τῶν λόγων.

133,9 ποιεῖν ἀντὶ τοῦ ποίησιν ἐργάζεσθαι· ὅπερ ἐστὶν ὀρθῶς πολιτεύεσθαι.

133,10 οὐδ᾽ ᾧ τῶν ῥημάτων ὁ νοῦς ἡγεῖτο ὅμοιόν ἐστι τοῦτο τῷ Θουκυδιδείῳ· καὶ γὰρ κἀκεῖνος τὸ νοῆσαι προέταξε τοῦ ἑρμηνεῦσαι λέγων «γνῶναί τε καὶ ἑρμηνεῦσαι αὐτά.»

133,13 οὔκουν ὅ γε Ὀδυσσεὺς, οὐδὲ ὁ Νέστωρ αἰτίαν ἔσχον πάλιν ῥήτορσι παραβάλλει τὸν Περικλέα· ῥήτορες γὰρ ἦσαν οὗτοι τοῦ Ἑλληνικοῦ στρατεύματος.

133,14 ὁ Θερσίτης τὸ Θερσίτου ὄνομα φλυαρίαν δηλοῖ καὶ ἀπαιδευσίαν· τοῦτο δὲ εἰσήγαγε διὰ τὸ προκείμενον.

133,15 ὁ τῷ Περικλεῖ προσόμοιος ῥήτωρ ἀπὸ τοῦ εἰπεῖν ὅτι τῷ Περικλεῖ προσόμοιος ῥήτωρ Ὀδυσσεὺς τὴν τοῦ Περικλέους αὐξάνει γνώμην, ὡσανεὶ λέγων· μηδεὶς ἀντέρει μοι Περικλέους ὑπερέχοντος. τοσαῦτα δήλαιος κακὰ Ἡρακλέους μεμνημένος διατελεῖ. καὶ τῶν ἄλλων χρὴ λογίζεσθαι περὶ αὐτοῦ γνώμην ἔχειν οὐ καλήν.

133,16 ὥσπερ ἂν εἴ τις τὸν Ὀδυσσέα τότε ᾐτιᾶτο οὐκέτι αὐτὸν λέγει τὸν Πλάτωνα, ἀλλ᾽ ἕτερον εἰσάγει τινά. τοῦτο δ᾽ οὐκ ἀργῶς εἶπεν, ἀλλ᾽ ἐπειδὴ οἶδε τὸν Σωκράτη πρὸς τοὺς νέους ἀεὶ τὸν Ὀδυσσέα θαυμάζοντα διὰ τὴν τοιαύτην πρᾶξιν, ὡς Πολυκράτης ἐν τῷ κατ᾽ αὐτοῦ λόγῳ φησὶ,

καὶ Λυσίας ἐν τῷ πρὸς Πολυκράτην ὑπὲρ αὐτοῦ· ὁ μὲν συνιστῶν ὅτι τὴν δημοκρατίαν ἐκ τούτου καταλύειν ἐπεχείρει, ἐπαινῶν τὸν Ὀδυσσέα, τοῖς μὲν βασιλεῦσιν ἐπαινοῦντα λόγῳ, τοὺς δὲ ἰδιώτας τύπτοντα, οὐδὲν λέγων φροντίζειν μᾶλλον αὐτοῦ τῆς τάξεως· διὰ τοῦτο οὖν καὶ αὐτὸς τίθησιν.

133,18 ὥσπερ ἂν εἰ καὶ τὸν Ἡρακλέα φαίης δέον Ἡρακλέους μνησθῆναι πρότερον, ὁ δὲ τὸν Ὀδυσσέα ἐπάγεται, ἵνα μὴ ἐκπλήξῃ τῇ ὑπερβολῇ τοὺς ἀκροατάς· οἶμαι διὰ τοῦτο προφανεὶς Ὀδυσσεὺς, Ἡρακλεῖς ἄψοφός εἰσιν ὥσπερ ἐν δράματι.

133,19 τοῖς τόξοις οὐχ ἁπλῶς τὸ τοῖς τόξοις· λέγεται γὰρ, ὡς Ἡρόδοτος ἐν τετάρτῃ λέγει, ὅτι δύο τοξειῶν οὐσῶν τὰς δύο Ἡρακλῆς ἠπίστατο, τὴν Σκυθικὴν καὶ Κρητικὴν, καὶ δύο τόξα εἶχε.

134,2 μετὰ παντὸς τοῦ βελτίονος καλῶς ἡ τοῦ βελτίονος προσθήκη· ἔστι γὰρ χρήσασθαι τοῖς ὀργάνοις τούτοις καὶ ἐπὶ ἀδικίας. οὕτω καὶ Περικλεῖ μοι ἐκ τοῦ μείζονος τὸ ἐπιχείρημα· ἔτι δὲ μειζόνως αὔξει τὸν Περικλέα τῇ τοῦ Ἡρακλέους παραθέσει. τίς ἂν ἐγκαλέσαι δοκεῖ λάλους ποιεῖν τὸ λαλεῖν ὅμοιον λέγει τοῖς ἁμαρτήμασι, καθ' ὧν Ἡρακλῆς ἀνίστατο, ὅμοιον Ἡρακλεῖ τὸν Περικλέα δεικνύς.

134,3 ὥστε σιωπᾶν καὶ ἑκόντας καὶ ἄκοντας αὐτῷ λοιπὸν καὶ ὑπερβολικῶς εἶπεν ὅτι σιωπᾶν αὐτοὺς ἐπαίδευσεν.

134,4 ὥστε καὶ τοὺς ῥήτορας ἡσυχίαν ἔχοντας ὡς τὰ πολλὰ παρείχετο εἴποι τις ἂν, καὶ πῶς τοὺς ῥήτορας ἡσυχίαν ἄγειν ἔπεισεν; εἰ γὰρ τοῦτο ἐποίουν ἐκεῖνοι, οὐκέτι ῥήτορες. λέγομεν δὲ ὅτι τοῦτο εἶπεν, ἐπειδὴ οὐ φαίνεται ὁ Θουκυδίδης ἄλλου τινὸς ῥήτορος ἀντιτάξας δημηγορίαν τοῦ Περικλέους, ὧν ἐποίησεν ἐπὶ τῶν ἄλλων ῥητόρων. εἰπὼν δὲ ὡς τὰ πολλὰ τὴν ὑπερβολὴν ἐθεράπευσεν ἠθικῶς εἰρηκώς.

134,5 ὥστε εἰ μὴ καθ' Ἡρακλέα, κατὰ γοῦν τὸν Ἰόλεων, ἦν ἐπικάων, ὡς τὸ τοῦ κωμικοῦ ῥῆμα, τὰς κεφαλὰς τῶν πλειόνων ἐπειδὴ ὅμοιον αὐτὸν εἶπε τῷ Ἡρακλεῖ, διὰ τοῦ Ἰόλεω θεραπεύει τὴν ὑπερβολήν. τάχα δὲ καὶ ἠθικῶς εἴρηκεν· ὅτε γὰρ Ἡρακλῆς τὴν ὕδραν ἀνεξέτεμεν, Ἰόλεως τὰς

τεμνομένας κεφαλὰς ἔκαιεν, ἵνα μὴ πάλιν αὐξηθῶσιν. δεύτερος δὲ ἆθλος Ἡρακλέους ἡ Λερναία ὕδρα· εἶχε γὰρ κεφαλὰς ἐννέα, ἢ, ὡς πολλοί, ὀκτὼ, ἄλλοι δὲ, πολλάς. ταύτην ὡς κατηγωνίζετο Ἡρακλῆς, ἐκάλεσε σύμμαχον τὸν Ἰόλεων, ἐπειδὴ καὶ καρκίνος βοηθῶν τῇ ὕδρᾳ ἔδακε τὸν πόδα αὐτοῦ. ἐπέκαιε γοῦν τὰς κεφαλὰς τῆς ὕδρας ὁ Ἰόλεως, διὰ τὸ ἀναπέμπεσθαι πλείους. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀνήνυτα πονούντων ἐξέβη· τὴν ὕδραν τέμνει. Εὐρυσθεὺς δ᾽ οὐ κατηρίθμει τὸν ἆθλον αὐτῷ, διὰ τὸ μετὰ ἄλλου περιγενέσθαι.

134,6 εἶτα λέγεις ὡς λάλους Ἀθηναίους Περικλῆς ἐποίησεν μαχόμενον τὸ σχῆμα. τὸ σχῆμα μαχόμενον· οὕτως δὲ εἶπεν, ὡς ἤδη κατασκευάσας καὶ ἐλέγξας τὸν Πλάτωνα. λέγει δὲ τῶν ῥητόρων, ἵνα μὴ δόξῃ καὶ αὐτὸς διασύρειν τοὺς ῥήτορας. ὥσπερ ἂν εἴ τις τὸν διδάσκαλον αἰτιῷτο πάλιν διδασκάλῳ παραβάλλει τὸν Περικλέα, παισὶ δὲ τοὺς Ἀθηναίους.

134,8 ἀλλὰ καὶ τῶν λόγων αὐτῶν μέρος ἦν αὐτῷ τὸ τὴν ἡσυχίαν ἄγειν εἰδέναι προστάττειν ἐμφιλοσόφως λέγει, δηλῶν ὅτι λόγος ἦν αὐτῷ σιωπὴ, ἢ ὅτι μέρος ἦν αὐτοῦ τῷ λέγειν τὸ εἰδέναι ἄγειν ἡσυχίαν.

134,9 οὐδὲ γὰρ Σωκράτη φαίην ἂν ἔγωγε δεινότητα καὶ τῷ διδασκάλῳ Πλάτωνος παραβάλλει τὸν Περικλέα· αἴνιγμα δὲ ἔχει ὁ λόγος, ὥς τινων διαβαλλόντων τὸν Σωκράτην, οὐκ Ἀριστείδου τοῦ ῥήτορος.

134,10 πλεῖστα Ἀθηναίων ἐπὶ τῶν τραπεζῶν— διελέγετο πολλῆς φλυαρίας ὑπαίτιον τὸ ἐπὶ τῶν τραπεζῶν διαλέγεσθαι.

134,11 οὐδ᾽ εἰς τοῦτον τὸ τοῦ Ἡσιόδου φέρειν ἀντὶ τοῦ ἁρμόζειν. ἔοικε δὴ ἠθικὸς εἶναι ὁ λόγος.

134,12 λέσχην τὴν φλυαρίαν λέσχην λέγει, τὴν δὲ διαφορὰν λύει τῶν λόγων.

134,15 οὐκ ἀπολλύναι τὸν χρόνον ἡγούμεθα ἀπὸ παροιμίας εἴρηται χρόνου φείδου, τὸ μὴ παρελθεῖν μάτην τὸν χρόνον.

134,16 Σωκράτους ἢ Περικλέους ἀκούοντες συνάπτει τῷ Σωκράτει τὸν Περικλέα, ὡς μίαν διδασκαλίαν ζηλώσαντας. τὸ δὲ ἔγκλημα ἐπὶ τοὺς μαθητὰς μεταφέρει.

134,18 ἐκεῖνοι μὲν γὰρ πανταχοῦ συνάπτει ἑκατέρους, ἵνα μετὰ Σωκράτους ἁλίσκηται.

134,19 οἱ δ' ἁμαρτάνοντες τοῦ κεφαλαίου τοῦ σκοποῦ καὶ τοῦ ὑποκειμένου, τουτέστι τοῦ πείθειν στοχαζομένους τῶν καιρῶν, καὶ τῶν πραγμάτων, καὶ τῆς ποιότητος τῶν προσώπων καὶ τοῦ ἤθους. οἱονεὶ ὅλου καὶ τοῦ ἀναγκαίου καὶ τῆς τέχνης. πρὸς οὐδὲν χρήσιμον τοὺς λόγους ἀναλίσκοντες τοῦτο ἀλλαχοῦ παρανομίαν ἐκάλεσε καὶ ἄκαιρον τῶν λόγων εὐταξίαν.

135,3 τῆς σεμνότητος ἀντὶ τοῦ φρονήματος. τὸ ἀξίωμα δὲ τοῦ Περικλέους ἐμφαίνει. ὀλιγωρίας δὲ, ἀμελείας, ἢ καταφρονήσεως.

135,4 ὡς αὐτό γε οὐκ ἄτιμον τὸ δύνασθαι λέγειν ἐκ περιουσίας ὁ τόπος. ὁ γὰρ Πλάτων ἐμέμψατο ὅλως τὸ δύνασθαι λέγειν ὡς ἄτοπον. οὐκ ἄτιμον δὲ, ἀντὶ τοῦ οὐκ ἄδοξον. αἱ δὲ λέξεις ἠθικαὶ πᾶσαι. οὐδὲ κατηγορίας ἄξιον, οὐδέ γε συγγνώμης κατηγορίας ἄξιον λέγει ἀντὶ τοῦ πταίσματος. καὶ συγγνώμης τίθεται ἡ κατηγορία· τοῖς γὰρ ἀτόποις συγγνωστέον.

135,5 αἰσχυνοίμην ἂν τοὺς λογίους θεοὺς ἀντὶ τοῦ φοβοῦμαι τοὺς λόγους. λέγει δὲ τὸν Ἀπόλλωνα καὶ τὸν Ἑρμῆν. τὸ σχῆμα δὲ εὐκτικόν. τίς γὰρ οὐκ ἂν ἀγαπήσῃ λόγους ἔχειν.

135,6 εἰ ζητοίην ἀποδεικνύναι ἀντὶ τοῦ ἀπολογήσασθαι· ἄτοπον γὰρ ὑπὲρ τῶν μὴ ἐν αἰτίᾳ ἀπολογεῖσθαι. δεῖ δὲ τὸ ἐν αἰτίᾳ καὶ ἄπιστον ἀποδεικνύναι καὶ αἰσχρόν· περὶ μὲν γὰρ ἀγνοουμένων σαφεῖς ἴσως προσήκει τὰς ἀπολογίας ποιεῖσθαι τὸν κατηγορούμενον· περὶ δὲ τῶν ὁμολογουμένων οὐ λίαν ἐγὼ μέγα ἔργον νομίζω.

135,8 μετὰ χρηστοῦ βίου καὶ σώφρονος καλῶς ἡ προσθήκη· οὐ γὰρ μόνον τὸ λέγειν ἀρκεῖ, ἀλλὰ καὶ τὸ καλὸν βίον ἔχειν, ὡς καὶ ἄλλῃ που εἰπὼν ὁμοίως τῷ βίῳ τοὺς λόγους παρεχόμενος.

135,9 Δαρεῖος ὁ Ὑστάστου Δαρεῖος, Ξέρξου πατὴρ, πλουσιώτατος τῶν πρὸ αὐτοῦ γενόμενος φόρους πρῶτος ἀπαιτήσας τοὺς ὑπηκόους· διὸ καὶ κάπηλος ἐκαλεῖτο· ἐπ' αὐτοῦ δὲ καὶ τὸ νόμισμα ἐκλήθη Δαρεικόν. Κῦρος δὲ, ὁ πατὴρ Καμβύσου, πρᾴως ἐκέχρητο τοῖς Πέρσαις, καὶ διὰ τοῦτο

πατέρα αὐτὸν ἐκάλουν. Καμβύσης δὲ, ὁ τούτου υἱὸς, διότι ὀργίλως ἐκέχρητο, δεσπότης ἐκαλεῖτο παρὰ τοῖς Πέρσαις. ἀντὶ βασιλέως μεγίστου τὸ ὄνομα τοῦτο ἐδέξατο· οὐ γὰρ μόνος ὁ Δαρεῖος βασιλεὺς ἐγένετο πλούσιος.

135,10 τὰ Πλάτωνος πράγματα δεινῶς τὸ πράγματα ἀντὶ τοῦ κτήματα καὶ πλοῦτον.

135,11 κἄν με προσπαίζων οὑτωσὶ πείθῃ, μὴ πάνυ τούτου φροντίζειν ἐν τῇ Σωκράτους ἀπολογίᾳ οὕτω λέγει «Ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν, οὐ μέντοι μὰ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλωπισμένους λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ᾽ ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασιν.»

135,13 ὥστε τὸν οἴκοι θησαυρὸν διαβάλλοιμεν ἂν παροιμία ἐπὶ τῶν τὰ ἴδια διαβαλλόντων. ἀντὶ τοῦ πλοῦτον. λέγει δὲ τοῦ Πλάτωνος τοὺς λόγους· ὁσάκις γὰρ Πλάτων ἢ σοβαρῶς ἢ γλαφυρῶς ἀπαγγέλλει, χωρίον εἴωθε λέγειν, ὡς καὶ ἡμεῖς ἐτάξαμεν, αἰνιττόμενος εἰς τὸ ῥητορικῶς φράσαι· φιλοσόφου γὰρ ἀλλότριον ἡ φράσις, ἀλλὰ μόνον σκοπῆσαι ἀλήθειαν. τὸ δὲ εἰπεῖν τὸν οἴκοι θησαυρὸν παροιμιῶδές ἐστι· καὶ γάρ ἐστιν ἡ παροιμία αὕτη ἐπὶ τῶν τὰ ἴδια διαβαλλόντων. νῦν οὖν λογικὸν ὄντα τὸν Πλάτωνα ἀπέδειξε τοὺς λόγους διαβάλλοντα.

135,14 τοσούτῳ ἧττον οὐδαμῶς. τοσούτῳ ἧττον, ὅσῳ περ ἂν ᾖ κρεῖττον τὸ δύνασθαι λέγειν ὅσῳ, φησὶ, δύναταί τις ἀπολογεῖσθαι, τοσούτῳ ἐστὶν ἧττον αὐτῷ τὸ ἀπολογεῖσθαι· εἰ μὴ γὰρ ἐπὶ κακοῦ τις ἀπολογεῖται, ᾔσθετο δὲ τῆς ἀτοπίας, ὡς περὶ ἀτόπου τινὸς ἀπελογήσατο.

135,15 ἀργοὺς δὲ δὴ πῶς ἡμῖν πληρώσας τὸ πρῶτον μέρος τῆς ἀντιθέσεως μεταβαίνει πρὸς ἕτερον, κατὰ μέρος λύων τοῦ Πλάτωνος τὴν ἀντίθεσιν.

135,16 ἢ σὺ λίαν ἐνεργοὺς ἡμᾶς ποιήσεις, ἀναγκάζων πρὸς ἕκαστον τῶν εἰρημένων ἀποκρίνεσθαι κατὰ ἦθος, ὡς τοῦ Ἀριστείδου πρὸς τὰς ἀποδείξεις ἀποκάμνοντος, καὶ ἐν τούτῳ φιλολοίδορον δεικνύντος τοῦ Πλάτωνος. ὁ δ᾽ Ἀθανάσιός φησι· δείκνυσιν ὡς αὐτὸς μᾶλλον ἀργοὺς

ποιεῖ ἀναγκάζων λαλεῖν. ἐνεργοὺς δὲ ἀντὶ τοῦ πρακτικούς. ἠθικῶς δὲ εἶπε, δεικνὺς ὡς αὐτὸς Πλάτων ἀργοὺς ποιεῖ, ἀναγκάζων μᾶλλον λαλεῖν.

135,17 οὐχ οὗτός ἐστιν ὁ πανταχῆ κομίζων τὸ πρακτικὸν ἐμφαίνει τοῦ Περικλέους. ταῦτα δὲ ἔχομεν παρὰ τῷ συγγραφεῖ.

135,18 δέκατος αὐτὸς στρατηγῶν ἀπὸ Θουκυδίδου ἡ μαρτυρία. λέγει γὰρ ἐκεῖνος «Περικλῆς ὁ Ξανθίππου δέκατος αὐτὸς στρατηγός.» ἀποκρύψας τοὺς ἄλλους ἅπαντας στρατηγοὺς τῶν δέκα στρατηγῶν τῶν ἐν Σάμῳ τὰ ὀνόματα κατὰ Ἀνδροτίωνα· Σωκράτης Ἀναγυράσιος, Σοφοκλῆς ἐν Κολωνοῦ ὁ ποιητὴς, Ἀνδοκίδης Κυδαθηναιεὺς, Κρέων Σκαμβωνίδης, Περικλῆς Χολαργεὺς, Γλαύκων ἐκ Κεραμέων, Καλλίστρατος Ἀχαρνεὺς, Ξενοφῶν Μελιτεύς.

136,1 οὐχ ἡσυχάζων, ἀλλ᾽ ἐκπλέων ἀπὸ κοινοῦ τὸ οὐχ οὗτός ἐστιν. ὅρα δὲ πανταχοῦ τὸ πρακτικόν.

136,3 καὶ πάλιν Εὐβοέων ἀποστάντων καὶ Θουκυδίδης «Ἱστιαίας δ᾽ ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον.» ἡ δὲ ἱστορία πόλεως Εὐβοίας.

136,6 οὐδεμιᾶς ἄλλης πόλεως εἰκάσαι ἀντὶ τοῦ μόνης τῆς τῶν Ἀθηναίων πόλεως ὑποληφθῆναι καὶ νομισθῆναι.

136,7 εἶτα τὸν οὕτως ὀξὺν καὶ ἄγρυπνον ὅρα δεινότητα, πῶς τὰ μόνου Περικλέους ἔργα παραβάλλει πρὸς πόλιν. δεῖ δὲ ἀκοῦσαι ἔξω καὶ τὸ δύνασθαι. ἥδιστ᾽ ἂν εἶπον ἐπειδὴ ἀδύνατον ἦν, ἐκόλασεν αὐτὸ τῇ προσθήκῃ τοῦ ἥδιστα ἂν εἶπον. καὶ ὅτι οὐκ ἐξὸν τὰ τοιαῦτα λέγειν τοῖς ῥήτορσιν· ὡς καὶ Δημοσθένης· ὁ μὲν οὖν παρὼν καιρὸς μονονουχὶ φωνὴν ἀφιεὶς, ἡ δὲ τῶν ποιητῶν τέχνη ταύτης ἀπολαύει τῆς ἐξουσίας.

136,9 ἀλλ᾽ οὐδὲ τοῖς πολεμίοις ἀργεῖν ἐπέτρεπεν τοῖς Λακεδαιμονίοις, διὰ τὸ ἐπιέναι αὐτοῖς.

136,10 κἀκείνους ἐποίησε μεταβαλεῖν τοὺς τρόπους τοῦτο εἶπεν, ἐπειδὴ φύσει μελληταὶ Λακεδαιμόνιοι.

136,11 καὶ τὸ δικαίως προσῆν, ἔφη Δημοσθένης ἵνα μή τις εἴπῃ· οὐκοῦν πλεονεκτικὸς καὶ ἄδικος Περικλῆς. ὥσπερ ἀντιπῖπτον λύει· ἵνα μὴ εἴπῃ

τις· οὐκοῦν πλεονεκτικὸς πάλιν καὶ ἄδικος ὁ Περικλῆς. ἀλλ᾽ ὅμως Πλάτων ᾐτιάσατο αὐτὸν τὸ σχῆμα σχετλιασμὸς, ὡσανεὶ ἔλεγε, καίτοι τούτων οὐκ ἐχόντων. εἰσβάλλει δὲ εἰς ἄλλο ἔγκλημα τὸ τῶν δειλῶν κατὰ τὸ μαχόμενον.

136,13 τῆς μὲν γνώμης, ἔφη, τῆς αὐτῆς Θουκυδίδης γὰρ εἰσάγει αὐτὸν δημηγοροῦντα, καὶ τῆς δημηγορίας οὕτως ἀρχόμενον.

136,14 ὃ τίς τῶν εἰς ἐκείνην τὴν ἡμέραν εἰσάπαξ εἰπεῖν ἐθάρρησεν αὔξει τὸ λεχθὲν ἀπὸ τοῦ καιροῦ· λέγει γάρ· τίς ἐτόλμησε τοῦτο εἰπεῖν ἐν ἐκείνῃ τῇ ἐκκλησίᾳ;

136,15 οἱ γε καὶ ἡνίκ᾽ ἔσωζον τὴν Ἑλλάδα, Λακεδαιμονίοις εἶξαν αὐτῶν ἐν τοῖς Μηδικοῖς Θεμιστοκλέους τοῦτο παραινέσαντος, ἵνα μὴ διχονοήσωσιν οἱ Ἕλληνες, παρεχώρησαν τοῖς Λάκωσι τὴν ἡγεμονίαν. ἐν τῷ Μηδικῷ. Θεμιστοκλέους τοῦτο παραινέσαντος, ἵνα μὴ διχονοήσωσιν οἱ Ἕλληνες. τὸ δὲ αὐτῶν λέγει ἀντὶ τοῦ ἑαυτῶν. τοῦτο δὲ εἶπεν, ὅτι παρεχώρησε τὴν ἡγεμονίαν τῶν Ἑλλήνων τοῖς Λάκωσιν εἰς Σαλαμῖνα, ὡς καὶ αὐτὸς ἔφη ἐν τῷ Παναθηναϊκῷ, ἢ τὸ αὐτῶν τῶν πραγμάτων.

136,16 οὐδ᾽ ἀναμείνας, εἰ μή τι ἄλλο, τήν γ᾽ ἐκ τοῦ προοιμίου παραμυθίαν τὸ ἀνδρεῖον ἐμφαίνει τοῦ Περικλέους, ὅτι οὐκ ἐχρήσατο τῇ διὰ τῶν προοιμίων θεραπείᾳ, ἀλλ᾽ ἐξ αὐτοῦ τοῦ πράγματος ἤρξατο.

136,17 μάλα ῥᾳδίως ἐξεῖπε τὸ δοκοῦν αὐτῷ δεῖ γὰρ, ὡς πολλάκις ἔγνωμεν, τὸν σύμβουλον φρόνημα ἔχειν, ὡς καὶ ὁ Δημοσθένης ποιεῖ ἐν Φιλιππικοῖς.

136,18 πότερ᾽ οὖν φοβεῖσθαι τοὺς πολεμίους τὸ σχῆμα ἐλεγκτικόν.

137,1 τὴν ἀνδρίαν αὐτόθεν δεικνύντος ἢ ἀπὸ τοῦ προοιμίου καὶ ἀπὸ ῥήματος ἑνὸς, ἢ ἀπὸ τῆς ἡσυχίας· οὐ γὰρ πρὸ τῆς μάχης. εἰ μὲν γὰρ ἢ τὸν πόλεμον κεκινηκέναι—ᾐτιᾶτο τοῦτο εἶπεν, ἐπειδήπερ ὡς πολεμοποιὸς διεβάλλετο· ὡς δὲ ἐν συγκρίσει τὸ τοιοῦτον αἱρετὸν ἢπερ δειλίαν. διδάσκει δὲ ἡμᾶς τὸ ἔγκλημα ἐγκλήματι λύειν· τὸ γὰρ τῆς δειλίας ἔγκλημα διὰ τοῦ πολεμοποιοῦ λύει ἐγκλήματος. καὶ τοῦτο δὲ ὕστερον ἀναιρεῖ.

137,3 μὴ ἐκεῖθεν λελύσθαι τὰς σπονδὰς ἔοικε χρόνου εἶναι δηλωτικόν· καὶ πρὸ τοῦ Περικλέους ἐλέλυτο τὰ τῶν σπονδῶν. οἱ δὲ τὸ ἐκεῖθεν ἐπὶ τοῦ Περικλέους λαμβάνουσιν.

137,5 τῆς Ἀριστοφάνους κωμῳδίας ἐν καιρῷ εἶπε τὸ κωμῳδίας· διότι καὶ ταῦτα κωμῳδίας χάριν, οὐκ ἀληθείας, ἐλέχθη. εὐκαίρως τὸ ὄνομα τῆς κωμῳδίας τέθεικε, διότι καὶ ταῦτα διαβολῆς χάριν, οὐκ ἀληθείας, ἐκλήθη.

137,6 ἐτίθει νόμους ὥσπερ σκολιὰ γεγραμμένους,
ὡς χρὴ Μεγαρέας Περικλῆς ὀργιζόμενος Μεγαρεῦσι διὰ τὸ ἐπισκῶψαι αὐτοὺς εἰς τὴν διδάσκαλον Ἀσπασίαν, ψήφισμα ἔγραψεν ὡς χρὴ πολεμεῖν Μεγαρεῦσι, τὸ μὲν δοκεῖν διὰ τὴν ὀργάδα γῆν, ἣν Ἀθηναίων οὖσαν ἐσφετερίζοντο Μεγαρεῖς, τῇ δ᾽ ἀληθείᾳ ὑπὲρ Ἀσπασίας ἀμυνόμενος. καλεῖ οὖν καταχρηστικῶς τοῦτο τὸ ψήφισμα νόμους. σκολιὰ δὲ κυρίως ἐστὶ τὰ ἐν συμποσίοις ἐπιπότια ᾄσματα, ἃ ᾖδον οἱ κιθαρισταὶ, οὐ κυρίως μέλος σώζοντες, ἀλλ᾽ ἐσκιασμένως, ἵνα μὴ καὶ ἄλλοι μάθωσιν. ἐπεὶ οὖν καὶ Περικλῆς οὐ φανερῶς διὰ τὴν Ἀσπασίαν τὸ ψήφισμα ἔγραψεν, ἀλλὰ τὴν ὀργάδα γῆν προύτεινε, διὰ τοῦτο ὄντως φησὶν, ἐτίθει νόμους ὥσπερ σκολιὰ γεγραμμένους. νόμους λέγει τὸ ψήφισμα τοῦ Περικλέους, ὃ ἔγραψε διὰ Μεγαρέας. σκολιὰ δὲ ὠνόμασε διὰ τὸ εἶναι ἀσαφῆ· οὐ γὰρ φανερῶς διὰ τὴν Ἀσπασίαν τὴν διδάσκαλον αὐτοῦ, εἰς ἣν ἐπέσκωψαν Μεγαρεῖς, ὑπὲρ ἧς καὶ τὸν πόλεμον ἐκίνησε, λέγων πολεμεῖν, ἀλλὰ διὰ τὴν ὀργάδα γῆν. δηλοῖ οὖν σκολιὰ τὰ αἰνίγματα. ῥητορικῶς δὲ ὁ Ἀριστείδης οὐκ ὠνόμασεν ἃ κατὰ Μεγαρέων ὡρίσατο Περικλῆς. σκολιὰ δὲ κυρίως καλεῖται τὰ ἐν συμποσίοις ἐπιπότια ᾄσματα. διὰ γὰρ τὸ μὴ πάντας εἰδέναι κιθαρίζειν τοὺς ἀντικειμένους, σκολιῶς ᾖδον. θέλει δὲ εἰπεῖν ὅτι εὐχερῶς ἐνομοθέτει, ὡς ἄν τις ἐν πόταις ᾄδῃ.

137,7 ὡς χρὴ Μεγαρέας πολεμεῖν. ἀλλ᾽ ἴσμεν ἅ γε αἰτιᾶται ἐνταῦθα διδάσκει ἡμᾶς τὸ ἔγκλημα ἐγκλήματι λύειν· τὸ γὰρ τῆς δειλίας ἔγκλημα διὰ τοῦ πολεμοποιοῦ λύει ἐγκλήματος· καὶ τοῦτο δὲ ὕστερον ἀναιρεῖ. ἴσμεν ἅ γε αἰτιᾶται, ὧν ὄντων μὲν ἀληθῶν τά γ᾽ ἐναντία ψευδῆ τὸ νόημα πρόδηλον· οἷον τὸ εἶναι πολεμοποιὸν ἀληθὲς, τὸ τῆς δειλίας ἄρα ψεῦδος. δεινῶς δὲ

ἐσιώπησε τὴν διαβολὴν, καθάπερ τὸ βλασφημῆσαι παραιτούμενος. ὧν ὄντων μὲν ἀληθῶν τὸ πολεμοποιὸν εἶναι.

137,9 ἀλλὰ καὶ δίκαια καὶ ἀναγκαῖα ἐβουλεύσατο ὑπὲρ τῶν πραγμάτων τοῦτο εἶπεν, ὡς ἤδη ὑποδείξας ὅτι οὐχ ὁ Περικλῆς αἴτιος τοῦ πολέμου.

137,10 ἆρ᾽ οὖν πρὸς μὲν Λακεδαιμονίους μόνους ἀντιπῖπτον λύει. τί οὖν εἰ πρὸς Λακεδαιμονίους ἔχθραν ἔχων τοιοῦτος ἦν. λέγει οὖν ὅτι ὁ πρὸς πάντας δυσμενὴς τοιοῦτος ὑπῆρχεν ἀνδρεῖος.

137,12 ὅστις ἠξίου μὲν αὐτοῖς ὁρμητήριον ἀποχρῶν εἶναι τὸν Πειραιᾶ ἐπειδὴ Ἀθηναῖοι τὰ κατὰ θάλατταν ἦσαν ἄριστοι, καὶ οὐ τοσοῦτον τὰ κατὰ γῆν, συνεβούλευεν αὐτοῖς Περικλῆς ἀεὶ ἐκ τοῦ Πειραιῶς ὁρμωμένους διὰ νηῶν τοὺς πολέμους ποιεῖσθαι, λέγων ὡς εἰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας ἀνθρώπους ἐν μέρει δύνασθαι μάχεσθαι, ἀλλὰ κατὰ γῆν μὲν τοῦτο ποιοῦντες οὐκ ἀξίως μὲν τῆς ἰσχύος ἡμῶν, ἀλλ᾽ ἐξ ἡμισείας αὐτῇ χρώμενοι πολεμήσετε· ἐν δὲ τῇ θαλάττῃ ἀξίως ὑμῶν αὐτῶν καὶ πανταχοῦ νικᾶν ἔσται. ὁρμητήρια ἐκάλουν τοὺς τόπους, ἀφ᾽ ὧν ἔδει ὁρμωμένους ἐπιτίθεσθαι τοῖς πολεμίοις. ταῦτα δὲ Θουκυδίδης προεῖπεν ἡμῖν, ἃ λέγει οὗτος. θαυμάζειν φοβεῖσθαι.

137,13 ἀπέφαινε δὲ τὴν ἰσχὺν αὐτοῖς νῦν τὴν ἡγεμονίαν· δημηγορῶν γὰρ ὁ Περικλῆς ἐν β′. ἐγὼ δὲ ἀποφαίνω β′ μερῶν τῶν εἰς χρῆσιν φανερῶν· καὶ τὰ ἑξῆς.

137,15 πότερον ἀργίαν, καὶ δειλίαν, καὶ ἀνανδρίαν, καὶ ταπεινότητα, καὶ νωθείαν εἰσάγοντος ἀργία ἐστὶ τὸ περὶ τὰς πράξεις δυσκίνητον· δειλία δέ ἐστι κακία τοῦ θυμοειδοῦς· ἀνανδρία δὲ ἡ στέρησις τῆς ἀνδρείας· ἀνδρεῖος γὰρ ὁ ὑπομένων καὶ μὴ φοβούμενος· ταπεινότης δέ ἐστι κακία ψυχῆς· νωθεία δέ ἐστιν ἡ κατὰ φύσιν ψυχῆς περὶ τὰς ἐνεργείας δυσκίνητος ἕξις.

138,1 ὥσπερ τοίνυν φὴς ἐκεῖνα ἀκούειν λεγόντων ἀντιπῖπτον λύει· ἵνα μὴ εἴπῃ ὅτι αὐτὸς οὐ κατηγορῶ, ἀλλ᾽ ἤκουσα ἑτέρων. δείκνυσιν οὖν ὅτι ψευδῆ ἀκούσας κατηγορεῖ· λέγει γὰρ ἐν τῷ Γοργίᾳ ἐξ ἀκοῆς εἰδέναι τὰ κατὰ τοὺς ῥήτορας· καὶ ὅτι Περικλῆς Ἀθηναίους λάλους ἐποίησε.

138,4 ὁ Κρὴς ὁ ἐκ τῆς Κρήτης. ὁ Κρὴς δὴ τὸν πόντον ἀγνοεῖ. παροιμία. παροιμία ἐπὶ τῶν εἰδότων μὲν, προσποιουμένων δ' ἀγνοεῖν. ἀντὶ τοῦ νησιώτης ἀγνοεῖ τὴν θάλατταν. δηλοῖ δὲ ὅτι εἰδὼς Περικλέα προσποιεῖται ἀγνοεῖν. λέγεται δὲ καὶ ἡ παροιμία καὶ οὕτως, ὁ Σικελὸς τὴν θάλατταν. σὺ ὅρα γὰρ, φασὶ, τὶς Σικελὸς ἐμπορευόμενος, καὶ ναυαγήσας εἶτα ἐκπεσὼν, ἐπὶ πέτρας καθήμενος, ὡς γαληνιῶσαν εἶδε τὴν θάλατταν, οἶδα, φησὶν, ἃ βούλει. βούλει γὰρ καὶ αὐτόν με λαβοῦσα καταποντίσαι· ἐγὼ δὲ νῆσον οἰκῶν ἐκ παιδὸς οἶδα τὰ σὰ σοφίσματα. Ἀλκμὰν δὲ ὁ λυρικὸς μέμνηται τῆς παροιμίας. ἢ οὕτως· ὥσπερ ἄν τις εἴπῃ Κρῆτα μὴ εἰδέναι τὴν θάλασσαν· οὗτοι γὰρ ταύτης ἐν ἐμπειρίᾳ τυγχάνουσιν. εἴρηται ἐπὶ τῶν προσποιουμένων ἀγνοεῖν ἃ ἐπίστανται.

138,6 τῆς Περικλέους ἀνδρείας καὶ ῥώμης κυρίως ἀνδρεία λέγεται ἐπὶ ψυχῆς, ῥώμη δὲ ἐπὶ σώματος. ἀμφότερα οὖν βούλεται δεῖξαι τὸν Περικλέα τίμια ἔχοντα.

138,7 κἂν σὺ δείξῃς ἐνοῦσαν ὑπερβολὴν ὑπερβολήν φησι πραγμάτων ὑφ' ἑτέρου τινὸς εἰργασμένων, ἢ πίστεως, ὅ ἐστιν, ἐὰν σαφέστερον ἀποδείξῃς ἡμῶν.

138,8 ὡς οὐδὲν μέγα, οὐδ' ἱκανὸν τὸ πρὸ τοῦ πολέμου θρασύνεσθαι ὥσπερ ἀντιπῖπτον λύει· ἵνα μὴ εἴπῃ, ἀλλὰ πρὸ τοῦ πολέμου θρασὺς ἦν, ἐν δὲ τῷ πολέμῳ δειλός. αἰνίττεται δὲ εἰς τὸ προοίμιον τῆς δημηγορίας, ἔνθα λέγει· τῆς μὲν γνώμης καὶ τὰ ἐξῆς. ταῦτα γὰρ πρὸ τοῦ πολέμου εἶπεν. οἰκείως δὲ εἶπε τὸ θρασύνεσθαι, ὡς πρὸ τοῦ πολέμου δημηγορήσας. τὸ θρασὺ γὰρ δοκεῖ τὸ πρὸ τῆς πείρας νεανιεύεσθαι.

138,10 τὸν Μελήσιππον προπεμψάντων τοῦτον Λακεδαιμόνιοι πρὸς Ἀθήνας πρεσβευτὴν ἔπεμψαν. τὸν Σπαρτιάτην αἰνίττεται· ἔμφασιν δὲ ἔχει τὸ ὄνομα. προπεμψάντων τῶν Πελοποννησίων. οὕτω σφόδρα δειλὸς ἦν ὁ Περικλῆς. ἐπειδὴ προσάγειν τοὺς πολεμίους ἐπύθετο ἐγγίζειν. ἐγγίζειν καὶ ἐπέρχεσθαι. λέγει δὲ τοὺς Λακεδαιμονίους.

138,11 ὥστε ἔργῳ τὰς ἀποκρίσεις ἔδωκεν αὐτῷ περὶ ἁπάντων τοῦτο, ὃ λέγει, τὸ ἔργον ἐδήλωσεν. ὅρα δὲ πῶς ὑβριστικὸν τὸ σχῆμα. παραδοὺς τοῖς ἄξουσιν αὐτὸν ἔξω τῆς χώρας ὅτι μεθ' ὕβρεως αὐτὸν ἀπέπεμψεν.

138,12 καὶ τὸ δὴ πάντων ἔσχατον καὶ μέγιστον ἀκοῦσαι, μὴ ὅτι μιμήσασθαι πάντων ἔσχατον, ἀντὶ τοῦ μέγιστον· νῦν γὰρ τὸ ἔσχατον ἐπὶ τοῦ μέγιστον κεῖται. λέγει δὲ ὅτι καὶ μέχρις ἀκοῆς μέγας ἦν, μή τι γε καὶ ἔργῳ μιμήσασθαι.

138,15 ὅσον καὶ πολλοστὸν μέρος ἐξέπληξεν ἂν τοὺς πολεμίους, εἰ παρ᾽ ἐκείνοις ἡ συμφορὰ συνέβη ἐμφαίνει ὅτι καὶ εἰς Λακεδαιμονίους ἦλθεν ἡ νόσος, οὐ μὴν τοσαύτη, ὥσπερ καὶ ὁ Θουκυδίδης φησί.

138,17 περὶ ὧν μὲν ἐψηφίσαντο μετεγνωκότας ἐψηφίσαντο γὰρ λύειν τὰ τῷ πολέμῳ δόξαντα. ἐπικηρυκεύεσθαι φιλιοῦσθαι, ἤγουν συνθήκας τινὰς, ἢ πρεσβείας ποιεῖσθαι. ἐπικηρυκείαν ἐκάλουν τὸ περὶ φιλίας πέμπειν. τὸ ταπεινὸν δὲ τῆς γνώμης αὐτῶν δηλοῖ καὶ τοῦ φρονήματος.

138,18 ἑτέρους ἀντὶ τοῦ ἄλλους. διαφέρει δὲ τὸ ἄλλο καὶ τὸ ἀλλοῖον· ἄλλο μὲν γάρ ἐστι τὸ τελείως μεταβληθὲν, ἀλλοῖον δὲ τὸ μὴ τελείως.

138,19 οὐδὲ ἐστράφη τὴν ψυχὴν ὑπὸ τῶν συμφορῶν δεινῶς τὸ ἐστράφη, ἀντὶ τοῦ οὐ μετεκίνησεν αὐτοῦ τὴν ψυχὴν ἡ ἀνάγκη.

139,1 τῶν ἄλλων τοῖς δεινοῖς πλεονεκτῶν πλεονεκτῶν ἰδίως εἶπεν, ἀντὶ τοῦ πλέον ἔχων τῶν ἄλλων τὰ δεινὰ, ὥσπερ πλουτῶν τοῖς δεινοῖς.

139,2 τοῦτ᾽ αὐτὸ προσειλήφει μεῖζον ἡ πρόθεσις ἐνταῦθα οὐχ ἁπλῶς κεῖται· ἀλλὰ πρὸς τὴν ἀθυμίαν, φησὶ, μείζονα εἶχε δεσμὸν τὸ τοὺς πολίτας οὕτως ἔχοντας ὁρᾶν, ὡς ἀπόρους ἔχειν πρὸς τὸν πόλεμον, καὶ ἀπορίας ἐμποιοῦντας τῷ Περικλεῖ. ὁ αὐτὸς δὲ ἑρμηνεύει διὰ τούτου, πῶς εἶχε πλέον ἐν ταῖς συμφοραῖς· διπλοῦν δὲ ἐμφαίνει τὸν κίνδυνον, ἔξωθεν μὲν τὸν πόλεμον, ἔσωθεν δὲ τὴν νόσον. τὸ τοὺς πολίτας οὕτως ἔχοντας ὁρᾶν, ὥστ᾽ ἀπόρους εἶναι χρῆσθαι ὥστε δυσμεταχειρίστους τούτων εἰς τὸ χρήσασθαι αὐτοῖς, καὶ εἰς τὰς πράξεις ἄγειν.

139,3 καὶ ταῦτα οὐχ ὅσον τοῖς πολεμίοις ὑποπεπτωκέναι τοῦτο ὡς χαλεπώτερον ἔλαβε τοῦ ὑποπεσεῖν τοῖς πολεμίοις.

139,5 ἐν μέσοις τοῖς δεινοῖς ἐμβεβηκὼς ἡ λέξις τροπική ἐστιν· ὡς ἐπὶ θαλάσσης γὰρ εἶπε. καλῶς δὲ τὸ ὡς εἰπεῖν· οὐ γὰρ μόνος ἦν παντελῶς, ἀλλὰ καὶ

ἄλλοι στρατηγοὶ σὺν αὐτῷ.

139,7 ὥσπερ ἂν ἄλλο τι μάθημα διδάσκων αὐτοὺς ὡς πρὸς φιλόσοφον διαλεγόμενος ἐκ τῶν αὐτοῦ τὰ πρὸς τὸν Περικλέα συνίστησι, λέγων ὥσπερ ἄλλο τι μάθημα. οἱονεὶ γεωμετρικὸν σχῆμα φυλάττων ἐπήγαγε τὸ κατὰ ταὐτά. τοῦτο γὰρ γεωμετρίας ἐστὶν ἴδιον, τὸ σῶζον τὸ αὐτὸ θεώρημα. κυρίως δὲ μάθημα καλεῖται ἡ γεωμετρία, ἡ ἀριθμητικὴ, ἡ ἀστρονομία, ἡ μουσική. τὰ γὰρ μαθήματα, κἂν πόλεμος ᾖ, κἂν εἰρήνη, ἐπὶ τῶν ἴσων μένει, καὶ οὐκ ἀμείβεται.

139,9 ὡς περὶ ἀριθμῶν, ἢ μέτρων, ἐρωτηθεὶς ἀριθμῶν, ὅτι ὁ ἓξ ἀριθμὸς τέλειός ἐστι καὶ ὁ ἑκκαιδέκατος ἀρτιάκις ἄρτιος μέτρων, ὅτι αἱ τρεῖς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς εἰσιν ἴσαι. οἷον ὅτι δὶς τρὶς ἕξ ἐστι πάντως ὁ λογιστικὸς ἀποκρίνεται, καὶ ὅτι τοῦ τετραπήχεος τὸ δίπηχυ ἥμισύ ἐστι, καὶ τοῦτο δῆλον.

139,11 ὑπὲρ τῶν ὅλων πραγμάτων θαυμασίως εἶπε τὸ πραγμάτων· οὐδὲ γὰρ περὶ μέτρων ἢ ἀριθμῶν τῶν ἐν λόγοις καὶ ῥήμασιν ἡ φιλοσοφία ἐστί.

139,12 ὥστ᾽ ἔμοιγε καὶ τὸν Αἴαντα—καὶ ῥᾴοσιν εἶναι δοκεῖν πρὸς τὸν Αἴαντα συγκρίνει τὸν Περικλέα, καὶ μειζόνως δείκνυσιν αὐτὸν τοῦ Αἴαντος κινδυνεύοντα.

139,15 πλείων ἀντὶ τοῦ μείζων· ἀεὶ γὰρ οἱ παλαιοὶ ταῦτα ἐπὶ τοῦ μείζονος λαμβάνουσιν, ὡς καὶ ὁ Δημοσθένης πολλάκις ἐχρήσατο. ἐν οἷς ἔδειξεν οὐ τοῖς ὀψοποιοῖς ἐοικὼς οὐδὲν Περικλῆς, ἀλλὰ τοῖς ἄκροις τῶν Ἑλλήνων ῥητορικῶς πάνυ μετὰ τὴν ἀπόδειξιν ἐπήγαγε τὴν ὕβριν τοῦ Πλάτωνος σχετλιαστικῶς. ἄκροις δὲ τῶν Ἑλλήνων, Αἴαντι καὶ Ὀδυσσεῖ καὶ Ἡρακλεῖ.

139,16 ὥστ᾽ ἐμοὶ μὲν, ὅταν βλέψω πρὸς ταύτας—καὶ πρὸς τοὺς ἐν τῷ σκάφει εὗρε μείζονα παράθεσιν ταύτης τῆς πρὸς τὸν Αἴαντα συγκρίσεως. ῥητορικῶς δὲ ἐνταῦθα καὶ σοφῶς διαιρεῖ τὸ χωρίον. κυβερνήτην γὰρ λέγει τὸν Περικλέα, ναῦς δὲ τὴν πόλιν, χειμῶνα δὲ τὴν νόσον, τὸν πόλεμον θάλατταν, ἐμπλέοντας δὲ τοὺς Ἀθηναίους, οἵακας τὰ πρώην τοῦ Περικλέους βουλεύματα τὰ πρὸς τὸν δῆμον λεχθέντα περὶ τοῦ μὴ εἴκειν

τοῖς Λάκωσι. τὸ δὲ καὶ τῶν νεφῶν καταρρηγνυμένων, ἀντὶ τοῦ χειμῶνος ἐπερχομένου· διὰ γὰρ τῶν νεφῶν φύσεως ἔχει γίνεσθαι.

139,18 πρός γ᾽ ἔτι τῶν ἐμπλεόντων ἀπειλούντων τοῦτο τὸ μέρος τῆς παραβολῆς ὡς πρὸς τοὺς Ἀθηναίους ἔλαβε τοὺς ὀργιζομένους τῷ Περικλεῖ διὰ τὸν πόλεμον.

139,19 πρὸς τοὺς ἐν τῷ σκάφει τοὺς Ἀθηναίους λέγει. ἀπὸ κοινοῦ δὲ τὸ ὥστε μοι κυβερνήτου δόξαν πορίσασθαι. πόθεν οὖν ἔτι χρὴ τὴν ἀνδρίαν θεωρῆσαι ἐλεγκτικὴ ἐρώτησις· ἁρμόζει δὲ καὶ πρὸς Πλάτωνα καὶ πρὸς Ἀθηναίους.

140,1 ὁρῶμεν τὸν ἄνδρα σημαίνει καὶ τὸν ἀνδρεῖον, καὶ τὸν τοὺς ἄλλους ἄγοντα καὶ προστάτην ὄντα.

140,2 πρὸς εὐψυχίαν εὐψυχία ἐστὶ ψυχῆς μετὰ λόγου παράταξις πρὸς τὰς τῆς τύχης ἐπιφοράς, καὶ τόλμα εὔλογος μετὰ προθυμίας. ἀπὸ κοινοῦ δὲ τὰ πρὸς εὐψυχίαν.

140,4 οὔτ᾽ αὐτὸς ἐκείνων φόβῳ τοὺς ὑπὲρ τῶν δικαίων λόγους ἐγκαταλιπεῖν ὅρα πῶς δείκνυσι τὸν Περικλέα τοὺς πολίτας μᾶλλον, οὐ τοὺς Λακεδαιμονίους φοβούμενον. τῶν δικαίων δὲ λέγει, ἐμφαίνων ὅτι τὸν πόλεμον συνεβούλευσεν, ἀμυνόμενος οὐκ ἀδικῶν γίνεσθαι. δίκαια δὲ καλεῖ καὶ τὴν ἐλευθερίαν.

140,5 εἰ δὲ λέγεις ὅτι οὐκ ἐπεξῆγε ἐκ τῆς κατηγορίας Πλάτωνος, ὅτι δειλὸς ἦν, ἀνέκυψεν ἡ ἀντίθεσις· ἀλλ᾽ οὐκ ἐξῆγεν εἰς μάχην. λύει δὲ διὰ τοῦ λέγειν στρατηγικῶν· οὐ γὰρ εἶπε στρατηγῶν, ἀλλὰ τῶν δυναμένων στρατηγῆσαι· οὐ γὰρ ὅστις στρατηγὸς, οὗτος καὶ στρατηγικὸς, ἀλλὰ στρατηγὸς μέν ἐστιν ὁ ψήφῳ τιμώμενος, στρατηγικὸς δὲ ὁ τεχνίτης τοῦ πολεμεῖν.

140,7 ἥκιστα κινδυνεύειν ἀντὶ τοῦ μηδὲ ὅλως πολεμεῖν· τὸν γὰρ πόλεμον κίνδυνον λέγουσιν οἱ παλαιοὶ, παρὰ τῷ ἐν αὐτῷ κινδυνεύειν. Ἰσοκράτης «Ἂν δὲ ἀναγκασθῇς κινδυνεῦσαι» ἀντὶ τοῦ πολεμῆσαι.

140,8 ὥσπερ καὶ Λακεδαιμονίοις ἐπιχώριον εἶναι δοκεῖ οἶδε γὰρ ἐπαινέτην αὐτῶν ὄντα Πλάτωνα· οὗτοι δὲ συγκρούοντες τοὺς ἀνθρώπους ἐκράτουν αὐτῶν· οὕτω καὶ τοὺς Ἀθηναίων ὑπηκόους συνέκρουσαν τοῖς δεσπόταις

ἐπαγγελλόμενοι αὐτοῖς ἐλευθερίαν. οὐχ ἁπλῶς εἶπε τοὺς Λακεδαιμονίους, ἀλλὰ ῥητορικῶς· οἶδε γὰρ ἐπαινέτην αὐτὸν ὄντα τὸν Πλάτωνα. οὕτως γοῦν πρὸς τὴν τούτων πολιτείαν τὴν αὐτοῦ Πλάτων συνέγραψεν. οὗτοι οὖν συγκρούοντες τοὺς ἀνθρώπους πρὸς ἀλλήλους ἐκράτουν αὐτῶν· οὕτως καὶ τοὺς Ἀθηναίων ὑπηκόους συνέκρουσαν αὐτοῖς, ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι.

140,9 εἰ δ' αὖ καὶ μάχης δεήσειεν οὐ περὶ μόνου Περικλέους ταῦτα λέγει, ἀλλὰ περὶ παντὸς στρατηγικοῦ ἀνδρός.

140,11 εἰς ὅσον ἂν περιῇ τινι καλῶς ἡ προσθήκη, ἀντὶ τοῦ ἕως δυνατὸν ᾖ τινι. οὐκ εἰκὸς ἀκριβῶς λογίζεσθαι ἀντὶ τοῦ οὐ δεῖ τὴν ἀκρίβειαν ζητεῖν. τὸ δὲ ὅμοιον καὶ Θουκυδίδης λέγει, ὅτι αἱ ἀνάγκαι λογισμοῦ ἐλαχίστου δέονται, ἀντὶ τοῦ οὐδὲ ἐλαχίστου.

140,14 μὴ δὴ τοῦτο λέγωμεν, ὡς οὐκ ἐξῆγεν συνήθως ἑαυτὸν συμπεριλαμβάνει τῷ Πλάτωνι. ἔοικεν ἀντιστατικῶς ἐνταῦθα λύειν τὸ ἔγκλημα. ἀντιτίθησιν οὖν τὸ μὴ ἐπεξάγειν, ὅπερ ἐδόκει ἔγκλημα τὸ συμφέρον τὸ ἐπεξάγειν.

140,15 ἐπεὶ καὶ Λακεδαιμονίους ἀκούομεν δήπου πάλιν δεινῶς τὸ παράδειγμα ἀπὸ τῶν Λακεδαιμονίων εἴληφε, τῶν φίλων Πλάτωνος. λέγει δὲ, ὅτε μετὰ τὰ ἐν Λεύκτροις Θηβαῖοι διέβησαν τὸν Εὐρώταν μετὰ ιε′ μυριάδων.

140,16 προσκειμένων αὐτοῖς ποτε Θηβαίων καλῶς τὸ ποτὲ, καὶ οὐκ ἀεί· τοῦτο γὰρ ἦν Λακεδαιμονίων ἀσθενείας κατηγόρημα· λέγει δὲ μετὰ τὰ Λευκτρικά.

140,17 τὰς πράξεις κρίνειν τὰς ὑπὲρ τῶν Ἑλλήνων πεπραγμένας τὰ ἐν τῷ Μηδικῷ λέγει· τότε γὰρ Θηβαῖοι προσδεδώκασι. καιρὸν δὲ καλεῖ τὸ συμφέρον· οὕτω καὶ Δημοσθένης πολλαχοῦ. ἔστι δὲ εἰπεῖν καιρὸν καὶ τὴν ἀτυχίαν.

141,1 συμβούλοις Θηβαίοις καὶ Δημοσθένης· μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι.

141,2 ὃς—γενέσθαι ἐδόκει φιλοπόλεμος ἀντιπῖπτον λύει· ἵνα μή τις εἴπῃ, ἀλλὰ δειλὸν εἶχον στρατηγόν, αὔξει αὖ αὐτὸν φιλοπόλεμον λέγων.

141,3 ἀλλὰ τί χρῆν ποιεῖν τὸν Περικλέα; θαρροῦντος τὸ σχῆμα τῆς ἐρωτήσεως.

141,5 ὄντων μὲν συμπάντων Ἀθηναίων τόσων καὶ τόσων τεχνικῶς εὐτελίζει μὲν τὴν δύναμιν τῶν Ἀθηναίων, αὔξει δὲ τῶν Λακεδαιμονίων τὴν παρασκευήν. τόσων δὲ λέγει ἀντὶ τοῦ ὀλίγων καὶ εὐαριθμήτων. τόσων καὶ τόσων ἰστέον ὅτι ὅτε ἡ διπλῆ αὕτη προσθήκη τίθεται, πλῆθος δηλοῖ. νῦν δὲ ἀντὶ τοῦ ὀλίγων καὶ εὐαριθμήτων δεῖ νοεῖν.

141,6 μυριάσι δὲ ἓξ στρατιᾶς τῶν πολεμίων ἄλλη αὔξησις ἀντὶ ποιότητος τῶν πολεμίων. ἐπίτηδες δὲ αὔξει τοὺς Λάκωνας, δεικνὺς εὐλόγως οὐκ ἐπεξιόντα τὸν Περικλέα.

141,7 οὐδὲ γὰρ τοῦτο φαῦλον εἰς προσθήκην ἀντὶ τοῦ οὐκ εὐτελές. ὅσῳ δὲ αὔξει τῶν Λακεδαιμονίων τὴν δύναμιν, μείζονα τὴν ἀπολογίαν ἐργάζεται.

141,8 ἡγουμένων γε Ἀθηναίων καὶ Περικλέους ἐκ τοῦ εἰπεῖν ἡγουμένων τῶν Ἀθηναίων καὶ Περικλέους δίδωσιν ἔμφασιν ὡς ἄρα ἀποδέχεται μὲν αὐτοὺς ὡς ἀνδρείους, κακίζει δέ πως τὴν κατὰ πολέμου ἀπειρίαν αὐτῶν. ἐπαινεῖ δὲ Ἀθηναίους ὡς καὶ εἰς τοῦτο χρησίμους. τὸ μὲν ἀνδρεῖον τῶν Λακεδαιμονίων ἐπαινεῖ, τὸ δὲ ἄπειρον ἐπιμέμφεται.

141,10 τοὺς μὲν ὅλως ἀπανηλώκει τῶν ἀνθρώπων εἶπε γὰρ ὁ Θουκυδίδης τὴν νόσον τὰ ἄκρα τῶν διαφευγόντων ὑποτέμνειν.

141,12 καὶ μὴν οὐδ’ ἐκεῖνο ἠγνόει Περικλῆς ἀντιπῖπτον λύει· ἀλλὰ συνέβαινε νικῆσαι. ὁ δὲ λέγει· οὐδὲν ὄφελος ἦν τῆς νίκης, πλειόνων ἐπερχομένων πολεμίων. ἡττηθέντες γὰρ Λακεδαιμόνιοι οὐκ ἔμελλον ἀνεκτῶς ἕξειν, ἀλλ’ ἔμελλον αὖθις ἐπιστρατεύσασθαι καὶ πειραθήσεσθαι τὴν ἧτταν ἀνακαλέσασθαι· ὃ ποιήσαντες ἐδόκουν ἂν Ἀθηναίοις ὥσπερ ἀμφισβητεῖν τῆς νίκης. τὸ δὲ καθάπερ Κορίνθιοι λέγει, ἐπειδὴ, Ἀθηναίων Αἴγιναν πολιορκούντων, ἐπέθεντο Μεγάροις Κορίνθιοι, ἵνα ἐντεῦθεν τὴν ἐν Αἰγίνῃ πολιορκίαν λύσωσι· καὶ ἡττηθέντες ὑπὸ τῶν Ἀθηναίων γερόντων ἀπῆλθον εἰς Κόρινθον. κακιζόμενοι δὲ ὑπὸ τῶν οἰκείων πολιτῶν ἦλθον

ἐν ᾧ ἡττήθησαν τόπῳ, καὶ ἐπειρῶντο τρόπαιον ἀνιστᾶν. ἀλλὰ καὶ αὖθις ὑπ᾽ Ἀθηναίων κατεπολεμήθησαν. τὴν δὲ ἱστορίαν φησὶ Θουκυδίδης ἐν τῇ πρώτῃ, ὅπου παρὰ τῶν Ἀθηναίων γερόντων ἡττήθησαν δεύτερον.

141,15 ὥστε τὴν Καδμείαν νίκην ἠγεῖτο νικήσειν αὕτη ἡ παροιμία εἰώθει λέγεσθαι ἐπὶ τῶν ἐν βλάβῃ τῇ ἑαυτῶν νικησάντων. ἐλέχθη δὲ ἀπὸ τούτου. Θηβαῖοι νικήσαντες τοὺς Ἀργείους, Πολυνείκους στρατεύσαντος κατὰ τοῦ ἀδελφοῦ Ἐτεοκλέους, εἴασαν ἄταφα τὰ σώματα τῶν ἐν πολέμῳ πεσόντων, καὶ παρώξυναν καθ᾽ ἑαυτῶν τοὺς Ἀθηναίους, οἳ ἐξελθόντες ἐνίκησαν Θηβαίους, καὶ οὐ παρέδοσαν εἰς ταφὴν τὰ σώματα αὐτῶν. ἢ ἐπειδήπερ Οἰδίπους τὴν Σφίγγα ἐνίκησεν, ἐλέχθη ἡ Καδμεία νίκη· εἰ μὴ γὰρ ἐκείνην ἐνίκησεν, οὐκ ἂν οὐδὲ τῇ ἑαυτοῦ μητρὶ συνεγένετο, οὐδὲ τὰ λοιπὰ πάντα ὑφίστατο. ἢ ὅτι οἱ ἐπίγονοι οἱ περὶ Διομήδην, τιμωροῦντες τοῖς πατράσιν ἑαυτῶν τοῖς ἐν Θήβαις ἀνῃρημένοις ἐπιστρατεύσαντες τὰς Θήβας κατέστρεψαν, ὥς φησιν ὁ ποιητής· ἡμεῖς καὶ Θήβας ἕδος εἴλομεν. τὴν ἱστορίαν δὲ λέγει οὗτος, ἣν εἶπεν ὁ Θουκυδίδης ἐν τῇ πρώτῃ· ὅπου παρὰ τῶν Ἀθηναίων γερόντων ἡττήθησαν δεύτερον. εἰ δέ τις εἴπῃ, ἀλλὰ ἀνόμοιόν ἐστι τοῦτο τὸ παράδειγμα, λέγομεν ὅτι πρὸς τὸ προκείμενον ἁρμόζει. εἶπε γὰρ ὅτι οὐδὲν ὄφελος τῆς νίκης ἦν, πλειόνων αὖθις ἐρχομένων πολεμίων. οὕτως οὖν, φησὶ, καὶ τότε μετὰ τὴν ἧτταν οἱ Κορίνθιοι πάλιν ἐπολέμησαν.

142,1 τοῖς μὲν γὰρ πολεμίοις μέρος ἑκάστοις ἐκινδύνευεν ἔθος εἶχον οἱ Πελοποννήσιοι κατὰ μέρος τὰ ἑαυτῶν στρατεύματα πέμπειν, ὡς καὶ ὁ Θουκυδίδης περὶ αὐτῶν λέγει· ἀπὸ πόλεως ἑκάστης τὰ δύο μέρη ἐστράτευσαν. αὐτοῖς δὲ καὶ τοὔδαφος τῆς πόλεως συνυπέκειτο τῷ κινδύνῳ καλῶς εἶπε· ἐν Ἀθηναίοις γὰρ ὑπῆρχεν ὁ πόλεμος.

142,2 εἷς ὑπὲρ πάντων κύβος ἀνερρίπτετο παροιμία ἐπὶ τῶν ἀποκινδυνευόντων· οἱ γὰρ κυβεύοντες ἕνα κύβον ῥίπτουσιν, ἢ εἰς ἦτταν, ἢ εἰς νίκην. τροπικῶς εἶπεν ἀπὸ μεταφορᾶς τῶν αὐλιζόντων, καὶ ἕνα κύβον ῥιπτούντων, ἢ εἰς νίκην, ἢ εἰς ἦτταν. ἐκ παροιμίας δὲ τοῦτο λέγει· τὸ δὲ ἂν ἐπὶ τῶν οὐκ εἰδότων μὲν τὸ ἐκβησόμενον, ἐπὶ δὲ τῇ τύχῃ τολμώντων. εἴρηται δὲ τοῦτο ἀπὸ τῶν κυβευόντων.

142,5 ὁρῶμεν δὲ δήπου καὶ τοὺς παλαιστὰς σημείωσαι· ὅλον ἀγωνιστικά. ἁρμόδιον καὶ ἐοικὸς τὸ παράδειγμα κατὰ τοὺς παλαιστάς· καθάπερ γὰρ ἐκεῖνοι τῇ ἐμπειρίᾳ χρῶνται, οὕτω καὶ Περικλῆς. ὥσπερ δὲ εἰς τοὺς Λακεδαιμονίους αἰνίττεται, οὓς φιλεῖ Πλάτων, ὡς ἐκείνων μὴ πολεμούντων, ἐν οἷς ἡττῶνται, ἢ τόποις, ἢ καιροῖς, ἢ πράγμασι. τινὲς δὲ λέγουσιν ὅτι καὶ πρὸς Πλάτωνα αἰνίττεται, ἀθλητὴν γενόμενον.

142,8 οὐκ ἔδωκε τοῖς πολεμίοις τοσαύτην κατὰ τῆς πόλεως λαβὴν καλῶς ἡ λέξις· ὡς ἐπὶ ἀθλητῶν γὰρ εἶπε.

142,10 αὐτὸς ἐμβὰς δεινῶς ἡ προσθήκη, ἵνα μή τις εἴπῃ, ἀλλ᾽ ἑτέρους ἔπεμπεν.

142,11 τοῖς δ᾽ ὡσπερεὶ πᾶσαν τὴν πολεμίαν διὰ τὸ ὑπερβολικὸν ἐκόλασεν αὐτὸ, εἰπὼν τὸ ὡσπερεί. δεινῶς δὲ καὶ τὴν ἀναχώρησιν αὐτῶν φυγὴν ἐκάλεσε· καὶ γὰρ ὁ Θουκυδίδης φησὶν ὅτι ἀκούσαντες οἱ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους τὴν περιοικίδα αὐτῶν πορθοῦντας ἀνεχώρησαν ἐπ᾽ οἴκου.

142,12 οἱ τότε ὡς ἐπὶ ἕρμαιον βαδίζοντες ὡς ἐπὶ κέρδει· ἕρμαιον γὰρ τὸ εὕρεμα. συλλογίζεται δὲ λοιπὸν ἀγωνιστικῶς.

142,14 καίτοι πῶς οὐκ ἄτοπον, εἰ, ὅτι μὲν πανταχοῦ τίθησι τὸ συμφέρον τῇ περιστάσει λύων τὴν ἀντίθεσιν.

142,18 ἀλλὰ τὰ μὴ πραχθέντα ἀντὶ τῶν πεπραγμένων ζητήσομεν; ἀντὶ τοῦ τὰ μὲν γενόμενα σιωπᾷς, τὰ δὲ μὴ γενόμενα ἐγκαλεῖς, ὡς ἐχρῆν γενέσθαι.

142,19 καὶ ὅτι μὴ νοσοῦντας μὲν οὐκ ἐξῆγεν, οὐ συγγνωσόμεθα; μὴ νοσοῦντας, ἀντὶ τοῦ ὑγιαίνοντας· τὸ στρατηγικὸν καὶ πάλιν τοῦ Περικλέους ἐμφαίνει. ὥσπερ δὲ συγγνωμονικῶς ἐνταῦθα ἀπολογεῖται.

143,2 καίτοι σχολῇ γ᾽ ἂν ἠθικῶς ἐλέχθη, ἀντὶ τοῦ πάνυ, δηλῶν τὸ οὐδὲ ὅλως.

143,3 ἢ ὑποκατακλίνεσθαί τισιν ἀνθρώπων καλῶς τὸ τισίν· οὐ μόνον, φησὶ, τὸ Λακεδαιμονίοις, ἀλλ᾽ οὐδέσιν ἀνθρώποις.

143,5 ἠξίου καὶ παρὰ τὴν ὑπάρχουσαν τύχην ἐρρῶσθαι ἡ παρὰ ἀντὶ τῆς ἐν ἐστί. λέγει οὖν, ἐν τῇ ὑπαρχούσῃ νόσῳ ἐρρῶσθαι. πρότερον δ᾽ ἔγωγ᾽ ἂν ᾤμην τὸν Μελέαγρον καλῶς συνέκρινε τὸν Περικλέα τῷ Μελεάγρῳ· καὶ γὰρ τὰ

αὐτὰ ἐν ἑκατέροις συνέβη· ἥ τε γὰρ μήτηρ τοῦ Μελεάγρου, ἡ Ἀλθαία, ἔδοξε λαμπάδα τίκτειν σὺν τῷ Μελεάγρῳ, καὶ ἡ μήτηρ Περικλέους, ἡ Ἀργίστη, λέοντα τίκτειν, ἡνίκα ἔμελλε τὸν Περικλέα τίκτειν. συγκριτικὸν τὸ ἐπιχείρημα, ὅτι μᾶλλον ὁ Μελέαγρος δειλὸς ἦν ἢ Περικλῆς. καλῶς δὲ συνέκρινε τὸν Περικλέα τῷ Μελεάγρῳ· καὶ γὰρ τὰ αὐτὰ πεπόνθασιν· ἥ τε γὰρ μήτηρ Μελεάγρου, ἡ Ἀλθαία, ἔδοξε λαμπάδα τίκτειν· ὁμοίως καὶ ἡ μήτηρ Περικλέους λέοντα ἔδοξε τίκτειν, ἡνίκα ἔμελλε τὸν Περικλέα τίκτειν. ταῦτα δὲ καὶ Πλούταρχος καὶ Σαβῖνος καὶ πάντες οἱ τὸν Περικλέους γράψαντες βίον λέγουσιν. ἐναντίον δὲ λέγει διὰ τῆς ἀνδρείας· ἐναντία γὰρ δειλία. ἀξιόπιστον δὲ παραφέρει μάρτυρα τὸν Ἀπόλλωνα.

143,7 ἐπὶ ταύτῃ τῇ ὄψει ἀντὶ τοῦ ἅμα τῇ ὄψει, δηλῶν τὸ ταχὺ, καὶ μὴ μετὰ χρόνον.

143,8 ὥσθ’ ὅρα μὴ λέοντα ξυρεῖν ἐπιχειρῶμεν παροιμία ἐπ’ ἀδυνάτων. ἡ παροιμία λέγεται ἐπὶ τῶν εἰς ἀδύνατα ἐπιχειρούντων καὶ ἐπικίνδυνα. τίς γὰρ ἐπιχειρεῖ λέοντα ξυρεῖν; κυρίως δὲ τέθεικε τὴν παροιμίαν, ἐπειδὴ καὶ ἡ Περικλέους μήτηρ ὄναρ ἑαυτὴν εἶδε λέοντα τίκτουσαν. ἐπὶ τῶν ἀδυνάτων καὶ ἐπικινδύνων ἡ παροιμία αὕτη λέγεται. οὐ Θρασύμαχον συκοφαντεῖν ἐπιχειροῦντες δείκνυσιν ὅτι τούτῳ μὲν εὐχερὲς κατηγορεῖν, διὰ τὴν κακίαν τοῦ τρόπου. τούτου δὲ εἰσάγει ἐν τῇ πολιτείᾳ αὐτοῦ συνήγορον τῆς ἀδικίας. λεληθότως δὲ ἀπολογεῖται ὑπὲρ τοῦ Θρασυμάχου, λέγων συκοφαντεῖσθαι τοῦτον. δέον εἰπεῖν οὐ τὸν τυχόντα, Θρασύμαχον εἶπε· τοῦτον γὰρ ἐν ταῖς πολιτείαις εἰσάγει Πλάτων καταγελώμενον ὑπὸ Σωκράτους καὶ ἐλεγχόμενον.

143,9 ἔπειτ’ αὐτοὶ δόξωμεν ἀνδρειότεροι τοῦ δέοντος εἶναι τοῖς βουλομένοις ἀντικατηγορεῖν ἵνα μὴ φανερῶς διαβάλῃ τὸν Πλάτωνα, καὶ ἑαυτὸν συνάπτει τῇ διαβολῇ. ἀνδρειότεροι δὲ ἀντὶ τοῦ θρασύτεροι· ὁ γὰρ τοῦ λέοντος ἀνδρειότερος θρασὺς νοεῖται. ἄλλο. ἀνδρειότεροι ἀντὶ τοῦ θρασεῖς· αἱ γὰρ ἀρεταὶ ἢ πλεονασμῷ ἢ ἐλλείψει κακίζονται. τὸ δὲ πλέον τοῦ δέοντος ἐστὶ θρασύτης.

143,10 καὶ φανῇ τι καὶ δειλίας, εἰ δὲ βούλει, σιωπῆς ἀκίνδυνον γέρας τὸ δειλίας γέρας ἀκίνδυνον Σοφοκλῆς ἐν Αἴαντι τῷ μαστιγοφόρῳ λέγει· Αἴας γὰρ εἰ δειλὸς ἦν καὶ μὴ θρασὺς, εἴληφεν ἂν γέρας τῆς δειλίας τὸ μὴ κινδυνεῦσαι αὐτοχειρίᾳ. τὸ δὲ σιωπῆς ἀκίνδυνον γέρας ἐκ Σιμωνίδους ἐστὶ τοῦ Κίου. καλῶς δὲ προσετέθη τὸ ἀκίνδυνον· τὰ γὰρ ἐν τοῖς ἀγῶσι διδόμενα γέρα κινδύνου μετέχει. λέγει οὖν ὡς εἰ καὶ σὺ, ὦ Πλάτων, βούλει σοφὸς εἶναι, καὶ μὴ τοὐναντίον, σίγα, καὶ μὴ σκῶπτε τὸν Περικλέα. τὸ δειλίας ἐξ Αἴαντος τοῦ μαστιγοφόρου Σοφοκλέους· τὸ δὲ σιωπῆς ἐκ Σιμωνίδου. καὶ Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ «Πολλοῖς γὰρ ἔστι κέρδος ἡ σιγὴ βροτῶν.» καὶ σὺ οὖν, ὦ Πλάτων, εἰ βούλει τιμᾶσθαι, σίγα, καὶ μὴ σκῶπτε τὸν Περικλέα. ὅρα, φησὶ, μὴ λοιδορούμενος Περικλεῖ δειλίαν δείξεις τὴν δειλίαν προτιμοτέραν. εἶτα ἐπιφέρει διορθωτικόν· μᾶλλον δὲ τὴν σιωπὴν ἀκίνδυνον οὖσαν γέρας.

143,11 ὥς τις τῶν Κίων ἔφη ποιητὴς ὁ Σιμωνίδης. λίνον λίνῳ συνάπτει παροιμία ἐπὶ τῶν τοῖς προτέροις ἕτερα συνειρόντων· ὁποῖον καὶ τὸ τοῦ Πλάτωνος, οὐ μόνον δειλοὺς Ἀθηναίους, ἀλλὰ καὶ φιλαργύρους πεποιηκέναι τὸν Περικλέα φήσαντος.

143,14 ἐγὼ δὲ εἰμὶ μὲν οὐδ' αὐτὸς τῶν ἐπαινούντων τὸ μισθοφορεῖν ἐπειδὴ διεβέβλητο τὸ τῆς μισθοφορᾶς ὄνομα, εἰκότως συντρέχει τῇ ἀντιθέσει λέγων ὅτι οὐδ' αὐτὸς ἐπαινῶ τὸ μισθοφορεῖν.

143,16 τὸν ὁμώνυμον τὸν δίκαιον Ἀριστείδην.

144,1 ἐγὼ δ' οὔτε πλέον οὔτε ἔλαττον οὐδενὶ πώποτε ᾔτησα.

144,2 οὐδ' ὅσαι διαδόσεις ἦλθον δηλονότι ἐν ἐμοί. οὐδ' ὅσαι διαδόσεις πρὸς οὐδεμίαν πώποτε ἀπήντησα ἔθος ἦν τοῖς ἀρχαίοις τῶν βασιλέων τοῖς ἐνδόξοις διαδιδόναι χρήματα, ἅπερ ἐκαλεῖτο σπορίδες παρὰ τὸ διασπείρειν· τοῦτο δὲ φιλοτιμία ἦν. λέγει οὖν ὅτι οὔτε μισθοὺς ἔταξα ἐμαυτὸν δέχεσθαι παρὰ τῶν μαθητῶν, οὔτε εἰ διδόασιν, ἔδραμον.

144,3 τὴν Σωκράτους εἴτε χρὴ σοφίαν εἴτε φιλοσοφίαν λέγειν ὁ Σωκράτης οὐκ ἔλεγεν ἑαυτὸν σοφὸν, ἀλλὰ φιλόσοφον, δηλῶν τοῦ τὸ φιλεῖν

διδάσκεσθαι τὰ σοφὰ, τουτέστι τὰ μαθήματα, οὔπω δὲ σοφὸν γενέσθαι. κατὰ οὖν τὸν Σωκράτην διαφέρει σοφία φιλοσοφίας.

144,5 μηδ᾽ ἐπὶ τοῖς βουλομένοις ὠνεῖσθαι ποιεῖν ἑαυτὸν ἐμπορίαν καλεῖ τὸ δέχεσθαι μισθόν. ὥστε δουλείαν αὐτοῦ καταψηφίζεσθαι ὁ γὰρ ἐλλόγιμος ἔχων πρὸς πολλοὺς μαθητὰς δοκεῖ δουλεύειν αὐτοῖς.

144,6 ἐγὼ μὲν οὖν, ὅπερ λέγω, περὶ τούτων ἀντὶ τοῦ ὃ λέγω καὶ ἔχω. τοῦτο εἶπε, δεικνὺς ὅτι ἀληθεύει.

144,7 τῇ μεγαλοπρεπείᾳ μεγαλοπρέπειά ἐστιν, ὡς Ἀριστοτέλης ὁρίζεται, ἀρετὴ ἐν δαπανήμασι μεγέθους ποιητική. κυρίως δὲ εἶπε τὴν λέξιν· ἐπὶ γὰρ χρημάτων δεῖ λέγειν μεγαλοπρέπειαν. ὁρῶ δὲ ὅτι πολλὰ τῶν πόλεών ἐστιν σημείωσαι· ὡραῖα ταῦτα ὅρα. συγγνωμονικῶς λύει τὴν ἀντίθεσιν. ἐφολκίοις δὲ λέγει, τοῖς ἁμαρτήμασι. φησὶ δὲ, ὥσπερ ἀνάγκῃ τὰ μικρὰ πλοῖα ἕπονται τοῖς μεγάλοις, οὕτω καὶ τὰ ἁμαρτήματα ἀκολουθεῖ ταῖς πόλεσιν.

144,8 ὥσπερ ἐφόλκια ἀκόλουθα. οἷς ἀνάγκη συγχωρεῖν οἷς ἁμαρτήμασι· ταῦτα γὰρ ἐφόλκια καλεῖ. καὶ γὰρ καὶ τὰ σώματα, —τό τε χεῖρον καὶ τὸ βέλτιον ὥσπερ, φησὶν, ὅλα τὰ σώματα ἐκ τῶν αὐτῶν στοιχείων σύγκειται, καλεῖται δὲ σῶμα καλὸν οὐ διὰ τὸ ἀμοιρεῖν τῶν ἑτέρων στοιχείων, ἀλλὰ διὰ τὸ πλεῖον ἔχειν τὸ καλὸν, ὡσαύτως δὲ καὶ τὰ φαῦλα σώματα, οὕτω καὶ αἱ πόλεις οὐκ ἀπαλλάττονται μὲν τῶν ἀτόπων, τῷ δὲ πλείονα ἔχειν χρηστὰ προσαγορεύονται καλαὶ, καὶ τῷ πλείονα ἄτοπα φαῦλαι.

144,9 ἐκ τῶν αὐτῶν κεκρᾶσθαι δηλονότι στοιχείων, θερμοῦ, ξηροῦ, ὑγροῦ καὶ ψυχροῦ. τὸ δὲ κρίνεσθαι ἀντὶ τοῦ νομίζεσθαι. ἀπὸ κοινοῦ δὲ τὸ ἀκούω.

144,10 τούτῳ κρίνεσθαι νομίζεσθαι ἀκούω.

144,12 κἀν τῷδε τῷ παντὶ ἀντὶ τοῦ κόσμῳ· δεικτικὸν δέ ἐστι. δεινῶς δὲ ἐπεχείρησεν ἀπὸ τῆς παραθέσεως τῆς μείζονος, ὅτι οὐκ ἄτοπον καὶ ἐν πόλει εἶναι φαῦλά τινα, ὥσπερ ἐστὶ καὶ ἐν τῷ κόσμῳ τινὰ χείριστα.

144,13 πολλὰ ἂν εὕροις, οἷς ἥκιστα ἂν ἡσθείης ψῦχος, θερμότητα, κρύος, θάλπος, ἐπικλύσεις, βροντὰς, ἀστραπάς.

144,14 οὐ κατηγορεῖς διὰ ταῦτα τοῦ παντὸς ἀντὶ τοῦ ὅλου. λέγει δὲ ὅτι οὐ διὰ τὸ μέρος διαβάλλεις τὸ πᾶν.

144,16 ἐφειλκύσθαι ἀντὶ τοῦ ἀκολουθεῖν. πάλιν δὲ τὴν φύσιν αἰτιᾶται, ὅτι ἀνάγκη ἐν ταύτῃ καὶ φαῦλά τινα εἶναι. τί δὴ θαυμαστὸν, εἰ καὶ Ἀθήνησί τι τῶν πάντων οὕτως ἔσχεν τῷ κόσμῳ παραβάλλει τὰς Ἀθήνας. ἀπὸ δὲ τοῦ καθολικοῦ ἦλθεν ἐπὶ τὸ μερικώτερον.

144,17 καὶ συνεχώρησαν οἱ προεστῶτες μετάθεσις αἰτίας. τὰ καλούμενα χρώματα. δεινῶς τὴν συγχώρησιν οὐ μόνον Περικλεῖ, ἀλλὰ καὶ ἑτέροις περιάπτει. ταῦτα δὲ χρώματα καλεῖται· ὅπερ ἐστὶ μετάθεσις αἰτίας· μεθίστησι γὰρ τῆς ἀταξίας αὐτῶν τὴν αἰτίαν τοῖς ἀναγκαίοις τῆς φύσεως.

144,19 ἅμα δὲ εὐλαβούμενοι, μή τι καὶ χεῖρον ἐξεργάσαιντο ἄλλο χρῶμα, τὸν φόβον, ἐξεῦρε, λέγων, μήπως ἄρα καὶ νεωτερισμόν τινα ἐπινοήσωσι πραγμάτων.

145,2 ἀνθρώπους τοσούτους τὸ πλῆθος, καὶ οὕτως ὀξεῖς, καὶ χρημάτων τοσούτων παρόντων τὸν φόβον διὰ τοῦ πλήθους ἐμφαίνει, καὶ τοῦ ἤθους αὐτῶν χρημάτων εὐπορίας.

145,3 εἰ μηδεὶς αὐτοῖς μετεδίδου τὰ μέτρια ἠναγκάζοντο γὰρ κλέπτειν. καλῶς δὲ ἡ προσθήκη τῶν μετρίων. δηλοῖ γὰρ ὅτι οὔτε τὸ πᾶν ἐδίδου, ἀλλὰ τὸ διδόναι μικρὰ καὶ τὸ θράσος κατέπαυε, καὶ τὰ χρήματα διεφύλαττε. συγγνωμονικῶς δὲ ἀπολύει τὴν διαβολήν.

145,5 ὅστις τοῦ μετρίου ποιεῖται λόγον ἢ τοῦ τὰ μέτρια φυλάττειν, ἢ τοῦ τὰ μέτρια διδόναι, ὅπερ ἄμεινον· ἐπειδὴ καὶ ἄνω εἶπεν, εἰ μηδεὶς αὐτοῖς μετεδίδου τὰ μέτρια.

145,6 ἢ τί χρῆν ἢ φόρους ἔτι λαμβάνειν ὁμοῦ καὶ τὴν δυναστείαν ἐμφαίνει, καὶ τὴν εὐπορίαν δηλοῖ· διὸ καὶ ἐπιφέρει, τί χρῆν φόρους λαμβάνειν.

145,7 οὐ τὸν μισθὸν ἐγκαλεῖς, ἀλλὰ τὴν ἀρχὴν μεταστατικῶς ἀπολογεῖται εἰς τὴν ἀρχὴν φέρων τὸ ἔγκλημα. Ἀττικῶς δὲ εἶπε τὸν μισθὸν ἐγκαλεῖς. δι' αὐτὴν γὰρ διαφόρους ἐκλέγοντες πλουτοῦσιν. μεταστατικῶς δὲ ἀπολογεῖται εἰς τὴν ἀρχὴν μεταφέρων τὸ ἔγκλημα.

145,8 ἐπεὶ ὅτι γε ἀναγκαῖον ἐν πόλει μισθὸς πάλιν συγγνωμονικῶς ἀπολογεῖται, εἰς τὸ ἀναγκαῖον φέρων τὸ πᾶν.

145,10 εἷς ὁ τῶν Ἑλλήνων ἄριστος ἐξαρκεῖ μοι ἀναγκαίως ὁ ἔπαινος, καὶ ἡ τοῦ προσώπου σύστασις, ἵνα δόξῃ ἀληθῶς λέγειν. τῇ γὰρ εὐδαίμονί τε καὶ ἀγαθῇ πόλει δεινῶς κατὰ ἦθος εὐδαίμονα καλεῖ τὴν πόλιν, ἣν καὶ αὐτὸς ἀσύστατον ὁμολογεῖ, ἔργοις οὖσαν ἀδύνατον, καὶ τὸν Πλάτωνα οἰκιστὴν λέγει αὐτῆς, λόγῳ μόνον ὄντα, καὶ οὐ πράγμασιν.

145,13 εἰ δὲ μὴ ἀργύριον μηδὲ χρυσίον ἀντιπῖπτον λύει ἀναγκαίως· ἀλλ᾽ οὐκ ἀργύριον, φησὶν, ἔταξα αὐτοῖς. ὁ δὲ τῇ διαφορᾷ τοῦ μισθοῦ λύει τὸ ἔγκλημα, λέγων τὸ ὁπωσδήποτε μόνον τετάχθαι μισθόν.

145,14 πρὸς γὰρ τὰ σχήματα τῶν πολιτειῶν σχήματα καλεῖ τὰ εἴδη τῶν πολιτειῶν.

145,15 οὐδὲ γὰρ εἰ Βυζάντιοι σιδήρῳ νομίζουσι ῥητορικῶς καὶ δριμέως δείκνυσι πολλὰς ἰδέας νομίσματος, καὶ χρυσὸν, καὶ ἄργυρον, καὶ μέγα, καὶ εὐτελῆ, τὸ πᾶν δὲ μισθόν. νομίζουσι δὲ λέγει, ἀντὶ τοῦ νόμον ἔχουσι, τουτέστι πολιτεύονται καὶ συναλλάττουσιν.

145,16 οὐδ᾽ ἧττόν τι εἰκὸς ὑπάρχει. φέρειν λαμβάνειν. οὐδέ γε οἱ Καρχηδόνιοι σκύτεσιν σκυτίνοις Καρχηδόνιοι νομίσμασιν ἐπολιτεύοντο ἐκ τῆς Διδοῦς· ἐκείνη γὰρ φυγοῦσα διὰ τὸν φόνον τοῦ ἀδελφοῦ ἐκ τῆς Τύρου αἰτεῖ τὸν βασιλέα μεταδοῦναι αὐτῇ γῆς ὅσον δέρμα βοὸς ἐπέχει τόπον. ὁ δὲ ῥᾳδίως ἐπένευσε. κατατεμοῦσα οὖν ἐκείνη τὸ σκῦτος κύκλῳ χωρίον τι ἀπολαμβάνει, καὶ πόλιν κτίζει τὴν Καρχηδόνα. οἱ οὖν Καρχηδόνιοι τὸ συμβὰν ἀεὶ τιμῶντες σκυτίνοις νομίσμασιν ἐπολιτεύοντο. τοῦτο δὲ λέγει οὐχ ὅτι σκύτινα νομίσματα εἶχον, ἀλλὰ βύρσας παρεῖχον, ὡς πολύθηρον οἰκοῦντες χωρίον, καὶ οὕτως ὃ ἐβούλοντο ἐδέχοντο.

146,1 τουτὶ τὸ πολιτεύεσθαι. οὐδὲ γὰρ τὰς τροφὰς ἅπασι τὰς αὐτὰς αἱρεῖσθαι νόμος οὐ μία, φησὶν, ἐστὶν ἰδέα τροφῆς, ἀλλὰ διαφέρει πρὸς ἑαυτήν. πάλιν δὲ τῇ διαφορᾷ τῆς τροφῆς κατασκευάζει τὸ εἶναι μισθὸν, κἂν διάφορος τυγχάνῃ.

146,3 μὴ τίς ὁ μισθὸς, ἀλλ᾽ ὅμως εἰ μισθὸν εἴρηκας δεῖ σκοπεῖν. εἰ μὴ καὶ ὁ Εὔνεως προῖκα τὸν οἶνον ἔπεμπε τοῖς Ἀχαιοῖς εἰς ἄτοπον ἀπάγει τὸν λόγον διὰ τοῦ προσώπου τοῦ Εὐνέου. λέγει δὲ ὅτι οὐ παρὰ τοῦτο, φησὶ, προῖκα ἐδίδου τὸν οἶνον, ἀλλ᾽ ἀντὶ ἀργυρίου ἕτερα πρὸς ἀμοιβὴν ἐδέχετο.

146,4 τοῖς Ἀχαιοῖς τοῖς ἐν τῇ Τροίᾳ. διέλυον ἀπεδίδοσαν.

146,5 ἀλλ᾽ οὐδ᾽ αὐτὸς ταῦτά γε ἠλαζονεύετο ὡς προῖκα φιλοτιμούμενος ὅτι σίδηρον ἀπεδέχετο. ἠλαζονεύετο ὑπερεφρόνει. Περικλῆς τοίνυν οὐκ αὐτὸς κοψάμενος νόμισμα σχήματα μεταστατικά. μεταστατικὰ πάλιν τὰ σχήματα τῆς ἀπολογίας· μεταφέρει γὰρ καὶ ἐπὶ τὸ νόμισμα καὶ τὸν Σόλωνα τὴν αἰτίαν.

146,9 οὐδ᾽ ἀπὸ τῶν ἐκείνου χρόνων ἤρξατο τῷ χρόνῳ πάλιν λύει τὸ ἔγκλημα. τὸ δὲ τῶν νομοθετῶν ὄνομα σεμνὸν ὂν λέγει. ἐμφαίνει δὲ τὸν Σόλωνα, ἢ Πολιοῦχον· οὗτος γὰρ ἔταξε καὶ βουλευτικὸν μισθὸν καὶ διδακτικόν. αἰνίττεται δὲ καὶ εἰς Πλάτωνα· διὸ καὶ ἀρίστως εἶπεν. ἀλλὰ καὶ τῶν νομοθετῶν τις ᾔδει ταῦτα ἤγουν σὺ, ὦ Πλάτων. ἐνταῦθα τὸν Σόλωνα λέγει, ἢ Πολιοῦχον· οὗτος γὰρ ἔταξε καὶ βουλευτικὸν μισθὸν καὶ διδακτικόν. αἰνίττεται δὲ καὶ εἰς Πλάτωνα. ἐποίησε γὰρ καὶ οὗτος νόμους. μεταστατικῶς δὲ ἀπολογεῖται· μεταφέρει γὰρ τὴν αἰτίαν ἐπὶ τοὺς νομοθέτας.

146,12 ἃ νῦν αὖ δείκνυται τὰ τοῦ μισθοῦ λέγει. πῶς ἄν τις ῥᾳον ἐχρήσατο ἄνθρωπος λόγοις οὐ λέγει ὅτι δυνατὸς λέγειν, ἀλλ᾽ ὅτι ῥᾳδίως κέχρηται τοῖς λόγοις, οὐ τῇ ἀληθείᾳ χρώμενος.

146,13 εἴ τις ἐστὶν ἁπλούστερος, ἢ δικαιότερος τρόπος ἐξετάσεως οὐκ ἄλλος λόγου φησὶν, ἀλλὰ τὴν κρίσιν καὶ τὴν ἐξέτασιν.

146,15 ἢ καὶ βαρβάρων ὑπερβολικῶς τὰ τῶν βαρβάρων εἰσήγαγε πρόσωπα. ἢ αὐτὸν ἰδεῖν καὶ σκέψασθαι τὸν Περικλέα ποῖός τις ἦν δεινῶς ὁ Ἀριστείδης τὸν ἑαυτοῦ τρόπον τῆς ἐξετάσεως δικαιότερον ἀποφαίνεται τοῦ Πλάτωνος, ἐκ τοῦ βίου τοῦ Περικλέους τὴν ἀπόδειξιν ποιούμενος.

146,16 ὁ γὰρ τοῦ Ξενοφῶντος λόγος ἐρρῶσθαί μοι δοκεῖ θαυμασίως ἀπὸ τοῦ συμφοιτητοῦ Πλάτωνος τὴν ἀπόδειξιν ἔλαβεν, ἀπὸ ἐνδόξου προσώπου πιστούμενος τὰ λεγόμενα. ὥσπερ γὰρ, ἔφη, τοὺς παιδοτρίβας πρῶτον γὰρ οἱ παιδοτρίβαι τῇ φωνῇ σημαίνουσι τὰ σχήματα, εἶτα καὶ ἔργῳ δεικνύουσιν.

146,19 ποῖόν τινα παρεῖχεν ἑαυτὸν παράδειγμα ὡς πρὸς τὸν παιδοτρίβην εἶπε παράδειγμα.

146,20 κατὰ τοῦτο τὸ μέρος κατὰ τὸ φιλοχρήματόν φησι. τοῦτο δὲ εἶπεν ὡς πρὸς τὰ ἄλλα αὐτοῦ κατορθώματα πολλὰ ὄντα.

147,1 ἀνελεύθερον ἀντὶ τοῦ μικρολόγον καὶ φιλάργυρον· ἐλεύθερον γὰρ ἐκάλουν οἱ παλαιοὶ τὸν μεγαλόψυχον. φῶμεν καὶ τοὺς ἄλλους διδάσκειν ταὐτὰ καὶ διαφθείρειν, καὶ παραπλησίους αὑτῷ ποιεῖν πρὸς πάντα ἄνθρωπον αὐτὸν συγκρίνει μᾶλλον, ὡς μὴ ἔχων εὑρεῖν παραπλήσιον.

147,4 ὥσπερ ἂν εἰ λέγοις τὸν Ῥαθάμανθυν ἐθίζειν τοὺς ἀνθρώπους ἐπιορκεῖν βαρέως κατηγορεῖ τοῦ Ῥαθαμάνθυος, ὡς διδάσκοντος ἐπιορκίαν. λεληθότως δὲ πρὸς αὐτὸν συγκρίνει τὸν Περικλέα. ὅμοιον δὲ πρόσωπον ὥσπερ ἔλαβε τῇ πόλει τὸν Περικλέα.

147,6 καὶ σὺ δείξας οὖν καλῶς τὸ δείξας, ἀντὶ τοῦ ἔλεγχε, μὴ συκοφάντει.

147,9 καὶ οὐκέθ᾽ αὕτη Ξενοφῶντος ἡ εἰκὼν ἀντὶ τοῦτο τὸ λεχθέν. ἀντὶ τοῦ λεχθέν. ὥσπερ γὰρ, φησὶν, οἱ γραμματισταὶ ἐν τῷ Πρωταγόρᾳ τοῦτο φησίν.

147,10 τοῖς μήπω δεινοῖς γράφειν τοῖς μὴ οὖσι δυνατοῖς εἰς τὸ γράφειν, ἀλλ᾽ ἀπείροις.

147,11 οὕτω δὴ καὶ ἡ πόλις λείπει τὸ ποιεῖ. πόλιν δὲ λέγει τὴν πολιτείαν τοῦ Πλάτωνος.

147,13 ἐν οἷς οὐδὲν ἦν ἀνελεύθερον τοῦτο πρὸς τὸ φιλάργυρον. ἐπ᾽ αὐτοῦ τοῦ βίου ἤτοι τοῖς ἔργοις. δεικνὺς ἑαυτὸν καὶ παρέχων σκοπεῖν, ὁποῖός τις ἦν ἐν τοῖς ἔργοις δηλονότι, καὶ λόγοις καὶ ἔργοις, ὁποῖός τις ἦν.

147,14 πότερ᾽ οὖν εἰς κάλλος αὐτοῖς ζῆν ὑπέγραφε κατεχρήσατο τὴν παραβολὴν, εἰς κάλλος ζῆν εἰπὼν, οὐ γράφειν· ὅπερ ἐστὶ προτιμότερον.

147,15 τὴν χεῖρα ὑφεικότας ὑφεικότας λέγει ἀντὶ τοῦ προτείναντας· ἀπὸ μεταφορᾶς τῶν μεταιτῶν, ὡς καὶ Δημοσθένης «Σὺ δὲ ἐκεῖ προτείνας καὶ ὑποσχών.»

147,16 τὸν δὲ βίον καθ᾽ ἑκάστην ἑώρων δήπου τὴν ἡμέραν τοῦτο εἶπε δεικνὺς ὅτι οὐκ ἐλάνθανεν αὐτοὺς ὁ τοῦ Περικλέους βίος, ἀλλ᾽ ᾔδεσαν, ὥστε Ἀθηναίων, οὐ Περικλέους ἐστὶ τὸ κατηγόρημα.

147,18 φέρε δὴ καὶ περὶ τῶν ἄλλων ἁπασῶν αἰτιῶν τῶν προειρημένων λέγει καὶ προαποδειχθέντων. ἐντεῦθεν δέ ἐστιν ἡ ἀνακεφαλαίωσις τοῦ λόγου. ἐντεῦθεν τῶν ἐπιλόγων ἄρχεται, ποιούμενος ἀνακεφαλαίωσιν ὡς εἴρηκε.

147,19 καὶ συγκεφαλαιωσώμεθα πάντα ἀνακεφαλαίωσις. ἐν βραχεῖ καλῶς εἶπεν ἐν βραχεῖ· τοῦτο γὰρ ἴδιον ἀνακεφαλαιώσεως. ῥητορικῶς δὲ ἑκάστην συντρέχων λύει. μερικοὶ δέ εἰσιν οἱ ἐπίλογοι.

148,3 ἢ γὰρ ὄναρ λέγεις, ἢ γρῖφον ἀμφότερα ψευδῆ, καὶ τὸ ὄναρ καὶ τὸ γρῖφος. γρῖφος δέ ἐστιν οὐχ, ὡς ἔνιοί φασι, ταὐτὸν τῷ αἰνίγματι· διαφέρουσι γὰρ, ὅτι τὸ μὲν αἴνιγμα ὁμολογεῖ τις ἀγνοεῖν, τὸ δὲ γρῖφον ἀγνοεῖ δοκῶν ἐπίστασθαι· οἷον αἴνιγμα μέν ἐστι τὸ τί δίπουν, τὸ τί τρίπουν, τί τετράπουν; ἐνταῦθα δῆλον τὸ ἐρώτημα. γρῖφος δὲ, οἷον Ἕκτορα τὸν Πριάμου Διομήδης ἔκτεινεν ἀνήρ. ἐνταῦθα δοκεῖ μὲν εἰδέναι τὸ ῥηθὲν, ἀγνοεῖ δὲ ὅτι Διομήδης ἦν ἀνὴρ ὁ Ἀχιλλεύς· ἐκείνην γὰρ ἔσχε μετὰ τὴν Βρισηίδα. ὅθεν καὶ τὸ, ὃν οὐκ ἔκτεινε Διομήδης, ἔκτεινεν ἀνὴρ Διομήδης.

148,4 πῶς γὰρ οὐκ ἄτοπον ἀντὶ τοῦ παράδοξον. νῦν γὰρ ἄτοπον λέγει τὸ παράδοξον.

148,5 τὸ γοῦν καθ᾽ αὑτὸν καλῶς ἡ παρατήρησις τὸ καθ᾽ ἑαυτὸν, ἵνα δείξῃ τὴν φύσιν Ἀθηναίων αἰτίαν οὖσαν, καὶ εἰ ἦσαν τοιοῦτοι, ὡς αὐτοῦ βιαζομένου μὲν, μὴ δυνηθέντος δέ.

148,6 ἀνδρείους, μεγαλοπρεπεῖς τὸ ἀνδρείους πρὸς τοὺς δειλοὺς, τὸ μεγαλοπρεπεῖς πρὸς τοὺς φιλαργύρους καὶ ἀνελευθέρους. εἰ μή τι καὶ

κατὰ Σωκράτους χρὴ πιστεύειν ὥσπερ κατὰ Σωκράτους ἄχθεται, ὅτι ἀδίκως αὐτοῦ κατεψηφίσαντο Ἀθηναῖοι. λελῃθότως δὲ πάλιν ἐπαίρει τὸν Περικλέα, τῷ διδασκάλῳ Πλάτωνος συγκρίνων αὐτόν.

148,9 τὰ παλαίσματα τὰ παλαίσματα εἶπεν, ὡς πρὸς τὰ εἰρημένα παραδείγματα, τὸν παλαιστὴν, καὶ τὸν γραμματιστὴν, οἷς τὸν Περικλέα παραβάλλει.

148,10 ἔτι τοίνυν τῶν ἀνωτέρω οἱ ἐπίλογοι ἐντεῦθεν. πάλιν τὸ ἀνακεφαλαιωσόμενος. λέγει δὲ, δι' ὀλίγου συστείλωμεν.

148,11 ἐκ τῶν πεφηνότων ἀντὶ τοῦ ἐκ τῶν ἤδη ἀποδειχθέντων. λέγει δὲ τῶν αὐτῷ ἀπολελογημένων. Πλάτων εἶπε μὴ δεῖν κολακεύειν ταῦτα γὰρ πάντα Πλάτων ἐν τοῖς Νόμοις εἴρηκε.

148,12 πλείστῃ παρρησίᾳ χρησάμενος φαίνεται ἡ γὰρ παρρησία ἐναντία ἐστὶ τῇ κολακείᾳ· ἡ μὲν γὰρ κολακεία ἔχει τὸ ἡδὺ, ἡ δὲ καὶ τὸ λυπηρὸν πολλάκις. ὁ δ' ἐν καιροῖς τοιούτοις ἐμάχετο, οἷς ἀρτίως ἡμεῖς ἐπεδείκνυμεν ἐμφαίνει τὴν νόσον.

148,13 μὴ ζητεῖν ἀποπιμπλάναι τὰς ἐπιθυμίας πάλιν τὸ τῆς κολακείας. ἀπὸ κοινοῦ δὲ τὸ Πλάτων εἶπεν.

148,15 ὁ τὸν νόμον τιθεὶς νομοθέτην καλεῖ τὸν Πλάτωνα, διὰ τὸ ὁρίσασθαι. τοῦτο γὰρ ἴδιον νομοθέτου. τοῦτο δὲ εἶπε, διότι διαίτης τὴν μέσην τάξιν ᾑρεῖτο, οὔτε ἀγεννῆ οὔτε ἀνελεύθερον. ἐνταῦθα δὲ δεινῶς κατασκευάζει, ὅτι ἀπὸ φύσεως ὁ Περικλῆς ὑπῆρχε τοιοῦτος, οὐχ ἑτέρῳ ἑπόμενος. ὁ δ' ἀφ' ἑστίας ἀρξάμενος τῆς αὐτὸς αὐτοῦ τοῦτο παρόμοιόν ἐστιν ἐπὶ τῶν ἐξ ἀρχῆς ἀγαθῶν ἢ πονηρῶν· ὥσπερ καὶ ἀπὸ γραμμῆς. ἢ ὅτι μύησις ἦν, ἣν ἐμυοῦντο οἱ καθαροὶ Ἀθηναῖοι. παροιμία ἐπὶ τῶν ἐξ ἀρχῆς χρηστῶν ἢ φαύλων λεγομένη, ὥσπερ καὶ τὸ ἀπὸ γραμμῆς. καλῶς δὲ προσέθηκε τῆς αὐτὸς αὐτοῦ, ἵνα δείξῃ ὅτι ἐκ φύσεως τοιοῦτος ἦν.

148,18 ἢ τίνα χρῆν ὑπὲρ ἐκείνου πρῶτον εἰπεῖν, εἴ τις ἐπητιάσατο, ἢ Πλάτωνα τοῦτο λέγει, ὡς εἴ τις ἐμέμψατο Πλάτωνι, ὡς οὐ καλῶς νενομοθετηκότι, πῶς τις ἂν ὑπὲρ αὐτοῦ τὸν Περικλέα προύτεινε, λέγων ὡς ἃ Πλάτων ὕστερον ἐνομοθέτησε, ταῦτα Περικλῆς ἐπὶ τοῦ βίου πᾶσιν ἔδειξεν. οὐκοῦν ἐπειδὴ Περικλῆς χρηστὸς, καὶ Πλάτων ἀγαθὸς νομοθέτης.

149,3 οὔτε γὰρ τοὺς φόρους Περικλῆς εἰς ἄπειρόν ἐστιν ὁ ἐξαγαγὼν προσλαμβάνει ἀντιπῖπτον· ἀλλ᾽ Ἀριστείδης ἐστὶν ὁ τοὺς φόρους τάξας. ὁ δὲ ῥητορικῶς λέγει ὅτι οὐκ ἔστιν Ἀριστείδης ὁ εἰς ἄπειρον τάξας τοὺς φόρους· τὸ γὰρ ἐξαγαγὼν ἀντὶ τοῦ αὐξήσας ἐστίν. εἰς Ἀλκιβιάδην δὲ ἀποτείνεται, τὸν μαθητὴν τοῦ Σωκράτους, ὡς τοῖς φόροις προσθέντα· καὶ γὰρ ἐπὶ τοσοῦτον ηὔξησε τοὺς φόρους ἐπ᾽ ἐκείνου, ὥστε τοὺς νησιώτας τὰ ἑαυτῶν τέκνα πωλοῦντας μόλις τελεῖν. ὁ ἐξαγαγὼν αὐξήσας.

149,4 τὸν ἑταῖρον εὑρήσεις τὸν σεαυτοῦ Ἀλκιβιάδην.

149,5 ἐκεῖνος γάρ ἐστιν ὁ πρὸς τοσοῦτον προαγαγὼν τοὺς φόρους, ὅσον οὐδὲ βουλομένοις φέρειν ἐξῆν ὑπερέβαινε γὰρ ἡ ποσότης τοῦ φόρου. τοὺς φόρους δὲ ἀντὶ τοῦ ἐν τοῖς φόροις. σημαίνει δὲ τὸ μὴ εἶναι φιλάργυρον. τὰ τέκνα γὰρ πωλοῦντες οἱ νησιῶται ἐτέλουν. τοὺς φόρους ἐν τοῖς φόροις.

149,7 οὔτ᾽ ἐνταῦθα εἰς τοὺς φόρους.

149,8 ἑαυτοῖς προστίθεσθαι ἀντὶ τοῦ κτήσασθαι. ἔοικε δὲ εἰς Σικελίαν αἰνίττεσθαι. ὥστε τῷ προτέρῳ πολέμῳ κεκρατηκότας αὐτοὺς πρότερον λέγει τὸν πόλεμον τὸν πρὸ τοῦ Πελοποννησιακοῦ, περὶ οὗ καὶ ἐπιφέρει. δεινῶς δὲ εἶπε τὰ ὑπὸ Πλάτωνος κατηγορηθέντα ὑπὲρ αὐτοῦ ἐν καιρῷ ἀπολογεῖσθαι, ὡς μιμητὴν αὐτὸν ὄντα τῶν Πλάτωνος παραγγελμάτων. περὶ τούτων ἡμᾶς ἐδίδαξεν ὁ συγγραφεύς.

149,11 πρὸς ταῦθ᾽ ὁρῶν καλῶς προσέθηκε τὸ πρὸς ταῦτα ὁρῶν, ἵνα μὴ εἴπῃς· καὶ πόθεν ᾔδεις, εἰ ζῶντος Περικλέους οὐκ ἐδυστύχουν οἱ Ἕλληνες.

149,13 οὐκ ἂν εἰς ἔσχατον κακῶν ἐξοκεῖλαι τοὺς Ἕλληνας σημαίνει τὸ παντελῶς. εἶπε δὲ τοῦτο, ὡς ἐπὶ τῶν ναυαγούντων· ἐξοκεῖλαι γάρ ἐστι τὸ ταῖς πέτραις προσαράξαι τὴν ναῦν. ἔστιν οὖν μεταφορικὴ ἡ λέξις. ἐπειδὴ τοὺς ἄνδρας τῶν Λακεδαιμονίων εἶχον Ἀθηναῖοι τοῦτο λέγει, ἐπειδὴ Θουκυδίδης εἶπεν ὅτι τοῖς Λακεδαιμονίοις πρεσβευομένοις οὐκ ἐβούλοντο τοὺς ἄνδρας παρασχεῖν.

149,14 Πύλον ἡ τῆς Σφακτηρίας καὶ Πύλου πόρθησις ἀποθανόντος Περικλέους ἐγένετο. αὐτοὺς τοὺς τῇ Σφακτηρίᾳ. ἐλευθέρως δὲ ἀντὶ τοῦ

μεγαλοψύχως. ἐλευθέρως μεγαλοψύχως.

149,15 οὐδὲ γὰρ αὐτὸν τὸν πόλεμον πλεονεξίας ἕνεκα αὐτοῖς προελέσθαι συνεβούλευσεν ὥσπερ ἀντιπῖπτον λύει· πῶς οὖν αὐτὸς τὸν πόλεμον συνεβούλευσεν;

149,16 τοῦ μὴ τῶν ὑπαρχόντων ἀποστῆναι ἀντὶ τοῦ ἀποστερηθῆναι. οὕτω καὶ Δημοσθένης· τῶν ἀρχαίων ἀπέστησαν.

149,17 πόλεμον ἐξ εἰρήνης ᾔδει δέχεσθαι τοῦτο δηλοῖ τὸ μὴ εἶναι αὐτὸν δειλόν.

149,18 καὶ καιρὸν εἰρήνην ἄγειν, οὐδαμοῦ τὸν πόλεμον προῃρεῖτο τοῦτο δηλοῖ τὸ μὴ εἶναι αὐτὸν πολεμοποιόν.

149,19 καίτοι ταῦτ᾽ ἐστὶν ἀνδρίας, εὐβουλίας, δικαιοσύνης, τῶν καλλίστων ἐπιδείγματα ἐξηγεῖται τὰ προειρημένα, ἀνδρείας μὲν, διὰ τὸν πόλεμον, εὐβουλίας δὲ ἀντὶ τοῦ φρονήσεως, δικαιοσύνης δὲ, διὰ τὸ προτιμᾶν τὴν εἰρήνην.

150,1 τὴν ἐπωνυμίαν, ἣν ἔσχεν ἐκεῖνος ἐν τοῖς Ἕλλησιν τὸ κληθῆναι λέοντα πρὸ τοῦ τεχθῆναι, ἢ τὸ κληθῆναι Ὀλύμπιον. εὗρε καὶ ἐκ τῆς ἐπωνυμίας ἐγκωμιάσαι τὸν Περικλέα· δίδωσι γὰρ ἡ τέχνη καὶ ἐκ τῶν ὀνομάτων ἐγκωμιάζειν. λέγει δὲ τὸ κληθῆναι αὐτὸν Ὀλύμπιον.

150,2 μαρτύριον μέγιστον εἶναι τοῖς ὑπὲρ αὐτοῦ λόγοις γράφεται οὕτως· μέγιστον εἶναι τὴν ἐκείνου σεμνότητα καὶ τοῦ διὰ πάντων κρατεῖν.

150,3 ἢ τῆς μὲν Ἀριστείδου δικαιοσύνης σύμβουλον τὴν ἐπωνυμίαν ποιούμεθα τοῦτο λέγει, ὅτι Πλάτων ἐθαύμασε τὸν Ἀριστείδην διὰ τὴν ἐπωνυμίαν. τὸ ἢ ἐνταῦθα ἐρωτηματικόν. τοῦτο δὲ εἶπεν, ὅτι Πλάτων ἐθαύμασε τὸν Ἀριστείδην διὰ τὴν ἐπωνυμίαν, ἧς ἠξίωτο.

150,5 ἣν οὐκ ἀφ᾽ ἑνὸς τῶν τῆς ἀρετῆς μορίων, ἀλλ᾽ ἀπὸ πάντων συλλήβδην ἐκτήσατο τοῦτο εἶπεν, ἵνα μὴ εἴπῃ τις· ἀλλ᾽ Ἀριστείδης παρὰ τοῦ δήμου τῆς ἐπωνυμίας ηὐτύχησεν. ὁ δὲ λέγει ὅτι οὗτος παρὰ τοῦ πλήθους τῶν ἀρετῶν τὴν ὀνομασίαν ἐκτήσατο, καὶ οὐχ ὡς Ἀριστείδης ἀπὸ μόνης τῆς δικαιοσύνης.

150,6_9 ὅτι γὰρ οὐκ ἀτιμαστέον αὖ—ὁ διδάσκων καὶ λέγων ἐστὶν ἀντιπῖπτον λύει· καὶ πῶς δυνατὸν πολλοὺς ἀληθεύειν; ἐπειδήπερ τὸ πλῆθος Ὀλύμπιον τὸν Περικλέα ἐκάλεσαν. ἔστι δὲ ἡ τῶν πολλῶν ψῆφος οὐ πολλοῦ τινος ἀξία, ἵνα μή τις ἀντιπέσῃ τῷ ῥήτορι, λύει τὸ ἀντιπῖπτον διὰ τῆς τοῦ Πλάτωνος μαρτυρίας.

150,8 ἀλλ' ἔνι τι κἀν τούτοις εὔστοχον ἀντὶ τοῦ ἁρμόδιον· λέγει γὰρ μὴ ψευδεῖς εἶναι τὰς τῶν πολλῶν δόξας.

150,10 ἃ πάντες ᾄδουσι οὐχ ἁπλῶς λέγουσιν, ἀλλὰ ᾄδουσι καὶ ὑμνοῦσιν.

150,12 καὶ μὴν οὐδ' ἐκεῖνό γε ἔστιν εἰπεῖν, ὡς ἄρα φαύλως ἀντιπῖπτον πάλιν λύει· ἀλλὰ κολακεύοντες αὐτὸν Ἀθηναῖοι οὕτως ἐκάλεσαν ὄντες ἐν ἀτυχίαις.

150,14 ὥσπερ χρόνῳ ὕστερόν ἐσθ' ἃ καὶ παρ' ἀξίαν συνεχώρησαν ταπεινωθέντες Δημήτριος βασιλεὺς Μακεδονίας γενόμενος μετὰ τὸν Ἀλεξάνδρου θάνατον, ἀπὸ αἰγῶν ὧν ἐκέλευσεν Ἀθηναίοις εὔχεσθαι αὐτῷ καὶ προσκυνεῖν ὡς θεῷ· ἢ ὅτι μετὰ τὸν Πελοποννησιακὸν φαύλως διεγένοντο μετὰ τὴν ἀξίαν ὑπείκοντες. ἢ ὅτι μετὰ τὴν ἐν Ἑλλησπόντῳ ἀτυχίαν εἰργόμενοι ἐν τῷ ἄστει, ἵν' ἀντέχωσιν, ἐψηφίσαντο τοὺς ἀτίμους ἐντίμους εἶναι· ἄλλοι δὲ, ὅτι παρέδωκεν ὁ δῆμος τὰ πράγματα πεντακισχιλίοις.

150,16 ὡς ἂν ἡμεῖς, ὦ Πλάτων, μεγίστην φαῖμεν τὸ ἡμεῖς πρὸς τοὺς ῥήτορας ἀποτείνεται, πρὸς σύγκρισιν τῶν φιλοσόφων· μέγιστον γὰρ οἱ ῥήτορες λέγουσι τὸ δυνατὸν, οἱ δὲ φιλόσοφοι τὸ τῷ μεγέθει προῦχον καὶ εὐτυχές. ἢ ὅτι οἱ μὲν φιλόσοφοι, ὅτε δικαιοπραγεῖ πόλις, οὕτως αὐτὴν καλοῦσιν, οἱ δὲ ῥήτορες, ὅτε πολέμων ἀπήλλακται. τὸ ἡμεῖς λέγει διὰ τοὺς ῥήτορας· οὗτοι γὰρ τότε μεγίστην τὴν πόλιν καλοῦσιν, ὅτε δυνατή ἐστιν ἐν πολέμοις, καὶ τῶν ἐχθρῶν ὑπερέχει, οἱ δὲ φιλόσοφοι, ὅτε δικαιοπραγεῖ, κἂν καὶ τῶν πολεμίων ἥττων ᾖ. τὸ δὲ οὐδέν γε τοῦτο βλάβος τῷ λόγῳ λέγει, ἐπειδὴ εἶπεν ἄν τις αὐτῷ ὡς εἰ καὶ δυνατὴ ἐν πολέμοις ἦν, ἀλλ' οὐκ ἐδικαιοπράγει· πρὸς τοῦτο οὖν ἀπολογούμενος λέγει ὡς μὴ τοῦτο νῦν λογισώμεθα, ἀλλ' ὅτι οἱ οὕτως ἔχοντες μέγα φρονοῦσιν.

150,18 τότε τοίνυν αὐτὸν προσεῖπον Ὀλύμπιον ὅτε ἦσαν δυνατοὶ καὶ μέγα ἐφρόνουν, ὅπερ οὐκ ἔστι κολακεύοντος.

151,2 περιετρέπετο καὶ οὕτως ὁ λόγος Πλάτωνι ἀντὶ τοῦ εἰς τὸ ἐναντίον ἐτρέπετο· αὐτὸς γὰρ εἶπε κόλακα Περικλέα.

151,3 οὔτ' Ἀθηναίους Περικλῆς οὔτ' Ἀθηναῖοι Περικλέα ὅτε ἀπέδειξε τῷ λόγῳ, τότε ἀναιρεῖ τὸ αἰσχρὸν, ἵνα μὴ διαβάλῃ τοὺς Ἀθηναίους.

151,5 ἄρχειν δ' ἐπιτηδειότατον καὶ ἱκανώτατον ἀντὶ τοῦ πολιτικὸν ὄντα καὶ πεποιημένον ἀρχήν. ὑπερπεφυκότα ἀντὶ τοῦ τῇ φύσει ὑπερέχοντα. ἔπαθόν τι Ὁμηρικὸν, καὶ παραπλήσιον αὐτὸν τοῖς θεοῖς ἐνόμισαν Ὅμηρος γὰρ τοὺς προύχοντας τῶν ἡρώων τὸν μὲν Διὶ μῆτιν ἀτάλαντον καλεῖ, τὸν δὲ θεοείκελον, τὸν δὲ ἄλλο τι τοιοῦτον.

151,6 εἶθ' ὃν οἱ χρώμενοι τὸ χρῶμαι μετὰ αἰτιατικῆς. κακῶς πρόσκειται τὸ Ὅμηρον, ἀλλὰ μᾶλλον οὕτως· εἶθ' ὃν οἱ χρώμενοι, καὶ ἑξῆς.

151,7 τοῦτον ἡμεῖς Θεαρίωνι—γραφώμεθα τῆς αὐτῆς πάλιν συνάπτει ἑαυτὸν διὰ τὸ φορτικόν.

151,8 οὐκ οἶδ' ὅτῳ τῷ τρίτῳ τῷ Σαράμβῳ. καὶ οὐκ οἶδ' ὅτῳ τὸ εὐτελὲς ἐμφαίνει τοῦ προσώπου. λέγει δὲ Σαράμβωνα τὸν κάπηλον. αὕτη δὲ ἡ χάρις ἐστὶ ῥητορικὴ, τὸ τοὺς τελευταίους δοκεῖν ἀγνοεῖν· ὡς καὶ ὁ Δημοσθένης «Καὶ τὸ τέλος τοῦ νεανίσκου· οὐκ ἔχω γὰρ τὸ ὄνομα.» τὸ εὐτελὲς ἐμφαίνει τοῦ προσώπου τὸ περιλαβεῖν ἀόριστον πρόσωπον. λέγει δὲ Σαράμβῳ τῷ καπήλῳ. αὕτη δὲ ἡ χάρις—καὶ Δημοσθένης—ὄνομα. Σάραμβον τὸν κάπηλον λέγει, οὗ διὰ τὸ εὐτελὲς ὥσπερ ἑκὼν ἐπιλανθάνεται. ἔθος γὰρ τοῦτο ῥητορικὸν τὰ εὐτελῆ τῶν προσώπων δοκεῖν ἀγνοεῖν.

Ὑπόθεσις Κίμωνος.

Κίμων Μιλτιάδου γέγονε παῖς. ἔδοξε δὲ τὸ πρῶτον εὐήθης εἶναι τὴν φύσιν· ὅθεν καὶ ὀρφανὸς γενόμενος μέχρι πολλοῦ ὑπὸ ἐπιτρόπου ἦν. τοῦτον ὁ Δημοσθένης φησὶν ἐν τῷ κατὰ Ἀριστογείτονος, ὅτι τὴν πάτριον μετεκίνησεν ἐφ' αὑτὸν πολιτείαν· καὶ παρὰ τρεῖς μὲν ἐψηφίσαντο ψήφους, τὸ μὴ θανάτῳ ζημιῶσαι· πεντήκοντα δὲ τάλαντα ἐπράξαντο.

Δίδυμος δέ φησιν οὐχ ὅτι ἐλακώνιζεν, ἀλλ᾽ ὅτι Ἐλπινίκῃ τῇ ἀδελφῇ συνῆν. αἴτιοι δὲ τῆς διαβολῆς οἱ κωμικοὶ, καὶ μάλιστα Εὔπολις ἐν Πόλεσι. γυναῖκα δὲ εἶχεν Ἰσοδίκην. Καλλίας δὲ, ὁ υἱὸς αὐτοῦ, κατέβαλλεν ὑπὲρ αὐτοῦ πεντήκοντα τάλαντα· κατέβαλε δὲ ἐπὶ τὸ πρὸς γάμον λαβεῖν τὴν Ἐλπινίκην. ἐξοστρακισθεὶς δὲ κατῆλθε, καὶ στρατηγήσας ἐνίκησεν ἐπ᾽ Εὐρυμέδοντι, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τέθνηκε δὲ τὸ Κήτιον τῆς Κύπρου πολιορκῶν. Ἔφορος δὲ ἐν τῇ πρώτῃ φησὶν ἐκτῖσαι αὐτὸν τὰ πεντήκοντα τάλαντα, γήμαντα γυναῖκα πλουσίαν. υἱοὺς δὲ ἔσχεν ἓξ, ὧν τοὺς μὲν τρεῖς ἀπὸ ἐθνῶν, ὧν προυξένισεν, ὠνόμασε, Λακεδαιμόνιον, Ἠλεῖον, Θετταλὸν, τοὺς δὲ τρεῖς ἀπὸ ὀνομάτων τῆς συγγενείας, Μιλτιάδην, Κίμωνα καὶ Πεισιάνακτα.

151,9 ἀλλὰ νὴ Δία ὁ Κίμων φαῦλός τις ἄνθρωπος ῥητορικῶς τὴν ἀρχὴν ἐποιήσατο, ἐκ προοιμίου αὔξων τὰ τοῦ Κίμωνος. ἔστι δὲ τὸ σχῆμα κατ᾽ ἦθος. ῥητορικῶς τὸ χωρίον εἰργάσατο. ἐκ προοιμίου δὲ αὔξει τὰ Κίμωνος. ἔστι δὲ τὸ σχῆμα κατὰ ἦθος. τοιοῦτος, οἷον ἀπεύξαιτ᾽ ἄν τις μὴ γενέσθαι παιδίον αὐτῷ ἐπειδὴ ὁ Κίμων ἐδόκει εὐήθης εἶναι, ὡς καὶ αὐτὸς Ἀριστείδης ὁμολογεῖ. ἐν εὐχῆς οὖν μέρει τὴν ὑπόνοιαν ἀπολύεται. οὐ παρέλκεται δὲ τὸ μὴ, ἀλλ᾽ ἔθος τὸ ἀπεύχεσθαι συντάττεσθαι.

151,10 ἀλλὰ τούτου γε καὶ χάριν ἄν τις Πλάτωνι δικαίως ἔχοι ἐκ τοῦ ἐναντίου καθάπτεται τοῦ Πλάτωνος, καὶ χάριν αὐτῷ φησιν, οὐ μέμψιν, ἔχειν. ἐδόκει γὰρ μᾶλλον στρατηγὸς ὁ Κίμων, ἀλλ᾽ οὐ ῥήτωρ.

151,12 νῦν δὲ ἀκριβῶς τὸ τοῦ Ὁμήρου διπλοῦν τὸν ἔπαινον ἐργάζεται Κίμωνος. δεινῶς δὲ ὁ Ἀριστείδης οὐκ ἔχων εἰπεῖν περὶ Κίμωνος πλεῖστα ἐγκώμια, περιστέλλει τὴν ἀπορίαν τῷ σχήματι τοῦ προοιμίου, οὐκ ἔχων μὲν εἰπεῖν, παραιτούμενος δὲ διὰ τὴν αἰδῶ τὴν πρὸς Πλάτωνα.

151,17 ὥσπερ ἂν εἰ πλέων καὶ παρὸν ἐξ οὐρίας κομίζεσθαι, εἶτα ὑφιέμην ὑπὸ δειλίας αὔξει διὰ τῆς παραβολῆς τὸν Κίμωνα. ὅτι δυνάμενος νικῆσαι τὸν Πλάτωνα, παραιτοῦμαι διὰ τιμήν. εἶτα παρέλκον. εἶτα ὑφιέμην ὑπὸ δειλίας τὸ εἶτα παρέλκεται. ὑφιέμην δὲ ἀντὶ τοῦ ὑπειχόμην καὶ ἐπεῖχον ἐμαυτόν. εἰπὼν δὲ τὸ ἐξ οὐρίας ἐπήγαγε τὸ ὑφιέμην, ἀπὸ μεταφορᾶς τῶν

χαλώντων τὰ ἱστία. ὑφιέμην οὖν ἀντὶ τοῦ ἐπεῖχον. κυρίως δὲ ἡ λέξις ἐπὶ πιπτόντων κεῖται.

152,2 φειδοῖ τοῦ προειληφότος ἀντὶ τοῦ προλαβόντος. τὸ δὲ προλαβεῖν λέγεται καὶ ἐπὶ τοῦ τόπου καὶ ἐπὶ χρόνου· ἐπὶ μὲν οὖν τῆς παραβολῆς τὸ προειληφότος ἔλαβεν ἐπὶ τόπου, ἐπὶ δὲ Πλάτωνος ἐπὶ χρόνου. περιστέλλει δὲ τὴν ἀπορίαν τῷ σχήματι τοῦ προοιμίου, ὡς ἔχων μὲν εἰπεῖν, αἰδούμενος δέ. μηδὲν ἀπηχὲς τὸ ἀπηχὲς εἴρηται ἐκ μεταφορᾶς τῶν μελῶν. ἔστι δὲ τὸ ὑβριστικόν. ἡ λέξις κατὰ μεταφορὰν εἴρηται ἀπὸ τῶν μελῶν. δηλοῖ δὲ τὸ ὑβριστικὸν, καὶ ἔξω τοῦ καλοῦ, καὶ τραχύτερον εἰς ἀκοὴν, καὶ οἷον τοῦ ῥυθμοῦ καὶ μέλους καὶ τοῦ τεταγμένου παρηλλαγμένον καὶ ἐκπεπτωκότος. Δείναρχος μέμνηται τῆς λέξεως ἐν τῷ πρὸς Κηφισοκλέα. ἀπηχὲς οὖν ἀντὶ τοῦ ἄμουσον καὶ ἄφθογγον.

152,3 τυχεῖν εἰπὼν ἡ μετοχὴ ἀντὶ ἀπαρεμφάτου. ἀντὶ ἀπαρεμφάτου μετοχὴν εἶπεν. τὸ δὲ τυχεῖν συνταττόμενον κεῖται καλῶς. μηδ’ ὡσπερεὶ θρασύνεσθαι δοκεῖν πλέον δοκεῖ αἰσχύνεσθαι Πλάτωνα τῆς ἀπολογίας τῶν ἀνδρῶν.

152,4 οὐδὲ γὰρ ἐλάττονος ἄξια χάριτός μοι τὰ πρὸς τοῦτον φιλοσοφίας γὰρ αὐτῷ μετῆν οὐκ ὀλίγης, ὡς ἐν τῷ τέλει φησὶ τῆς κοινῆς ἀπολογίας.

152,6 προέσται τὸ δίκαιον ἀμφοτέροις τῷ Πλάτωνι καὶ τοῖς στρατηγοῖς· ἐκείνους γὰρ εἰς ἓν ἔθηκε μέρος.

152,7 τῶν κομψῶν πανούργων. κομψοὺς ἐκάλουν τοὺς στωμύλους καὶ εὐτραπέλους, καὶ κολακευτικοὺς, καὶ δραστηρίους ἐκ τούτου.

152,8 οἱ μηδὲ τὰ πατρῷα ἐθελήσαντες αὐτῷ παραδοῦναι μέχρι πόρρω τῆς ἡλικίας ἐπίτροποι μέχρι γὰρ τεσσαράκοντα ἐτῶν διετέλεσεν ἐπιτροπευόμενος, διὰ τὸ εὔηθες καὶ ἀτελὲς τῶν τρόπων. τοὺς γὰρ φραγμοὺς ὑπανεώγνυ τοῖς βουλομένοις ὀπωρίζεσθαι τῶν αὐτοῦ, καὶ τὴν οἰκίαν τοῖς ἀριστοῦσιν αἱρεῖσθαι. ἔδοξε δὲ ὁ Ἀριστείδης ψέγειν μᾶλλον ἢ ἐπαινεῖν, ὀνομάζων εὐήθη. ἀλλὰ Δημοσθένους τὸ ἐπιχείρημα· τὸ γὰρ ἧττον ὁμολογῶν τὸ μεῖζον ἀπολύεται. Δημοσθενικῶς ἐπιχειρεῖ λέγων τὸ ἔλαττον ἀτύχημα, τὴν εὐήθειαν, ἵνα ἐντεῦθεν τὸ μεῖζον κρύψῃ τὴν

προσοῦσαν τοῖς ῥήτορσι κολακείαν καὶ κομψότητα· ἐπειδὴ γὰρ τοὺς μὲν φραγμοὺς τῶν ἀγρῶν ὑπανεώγνυ τοῖς βουλομένοις ὀπωρίζεσθαι, τὴν δὲ οἰκίαν τοῖς ἀριστεῖσθαι αἱρουμένοις, μέσως τεσσαράκοντα ἐτῶν διετέλεσεν ἐπιτροπευόμενος, διὰ τὸ εὔηθες καὶ ἀφελὲς τῶν τρόπων.

152,9 ἀρχαῖον ἀντὶ τοῦ ἀφελῆ. Δημοσθενικὴ δὲ ἡ λέξις. εἴρηται δὲ ἐν Φιλιππικοῖς «Νῦν δὲ ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα»· καὶ πάλιν «Οὕτως ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς.» λέγει δὲ ὅτι οὕτως ἐνόμιζον μωρὸν καὶ μᾶλλον ἀφελῆ· τοὺς γὰρ ἀφελεῖς καὶ ἔξω τῆς πολλῆς καὶ ἀκριβοῦς τῶν πραγμάτων πείρας ἀρχαίους ἐκάλουν.

152,10 λογίσασθαι περὶ πραγμάτων δεινὸς ἀνὴρ τὴν σύνεσιν ἐμφαίνει τοῦ ῥήτορος καὶ τὴν φρόνησιν. διὰ δὲ τοῦ εἰπεῖν δεινὸς ἀνὴρ τὸ ἀνδρεῖον ἐμφαίνει.

152,11,12 τοιοῦτος, οἷος μὴ μόνον παρ᾽ Ἀθηναίοις—ἐφεξῆς ἂν εἴη λέγειν κατὰ τὸ ἀληθὲς ἐλακώνιζεν ὁ Κίμων, ὥστε καὶ τὸν υἱὸν αὐτοῦ προσαγορεῦσαι Λακεδαίμονα, ὡς Θουκυδίδης ἐν τῇ πρώτῃ «Λακεδαίμων τε ὁ Κίμωνος.» ὁ δὲ Ἀριστείδης ἐκάλυψεν αὐτὸ εἰπὼν ὅτι δι᾽ ἀρετὴν, ἣν εἶχεν, οὐ μόνον παρ᾽ Ἀθηναίοις, ἀλλὰ καὶ παρὰ Λακεδαιμονίοις ἐθαυμάζετο. Λακεδαιμονίοις δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ διὰ τὸ χαίρειν αὐτοῖς Πλάτωνα· πανταχοῦ γὰρ μετὰ τὴν αὐτοῦ τὴν πολιτείαν ἐπαινεῖ Λακεδαιμονίων.

152,15 ἃ δ᾽ ἐστὶν ὡσπερεὶ κεφάλαια—ταῦτ᾽ εἰρήσεται πάλιν ὡς ἔχων μὲν πολλὰ εἰπεῖν, τὰ δὲ κεφαλαιωδέστερα ἐπιλεξάμενος.

152,16 εἰ μὲν γὰρ ἅπαντα ταῦθ᾽ ἡμῖν σημείωσαι· ὡς ἀναγκαῖα καὶ ὡραῖα ταῦτα. εἰ μὲν γὰρ ἅπαντα ταῦθ᾽ ἡμῖν ἐστι διακονία εἰς ἄτοπον ἀπάγει τὸν λόγον, οὐχ ὅτι τοῦτο ἔλεγε Πλάτων, ὅτι ταῦτα διακονία τυγχάνει, ἀλλ᾽ ὡς τοῦτο αὐτὸ κατασκευάζοντος τῷ λέγειν, διάκονος Κίμων. ὅρα δὲ πῶς τὰ καθόλου τῆς πολιτείας πλεονεκτήματα ἴδια ποιεῖται τοῦ Κίμωνος, οὐχ ὅτι πάντα εἶχεν ὁ Κίμων, ἀλλ᾽ ἀπὸ τῶν καθολικῶν κατασκευάζει τὸ μερικόν. λῆμμα δὲ τὸ ὅτι διακονία ταῦτά ἐστιν. ἐκ τούτων κατασκευάζει τὸ ἄτοπον, διὰ τῶν ἐναντίων, ὅτι ἡ πολιτεία διακονία ἐστίν. εἰς ἄτοπον ἐπάγει τὸν λόγον, οὐχ ὅτι τοῦτο ἔλεγε Πλάτων, ὅτι ταῦτα διακονία, ἀλλ᾽

ὡς τοῦτο αὐτὸ κατασκευάζοντος, τῷ λέγειν περὶ τῶν τεσσάρων τούτων ὅτι διάκονοι ἦσαν.

153,1 ἐπέτειον ἐν ἑνὶ ἔτει. τὴν ἐνιαύσιον. καὶ Δημοσθένης «Ὁ δὲ νόμος ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα.» προβουλεῦσαι καὶ τοῦτο ἀξίωμα καὶ ἐν τῇ βουλῇ καὶ ἐν τῷ δήμῳ.

153,4 καὶ ἔτι γ' εἰ βούλει πρότερον οἰκίας ἄρχοντα ἐπὶ τὸ ἀπορώτερον ἐξάγει τὸν λόγον. μέρη δὲ τῆς φιλοσοφίας, ἠθικὸν, οἰκονομικὸν καὶ πολιτικόν· πρῶτον οὖν τοῦ οἰκονομικοῦ τὸ ἠθικόν. μὴ ἄρχειν μᾶλλον ἢ δουλεύειν τοῦτο τὸ ἀπαρέμφατον οὐκ ἔστι πρὸς τὴν ἐπανάληψιν, ἀλλ' αὕτη μέν ἐστι διὰ μέσου, τοῦτο δὲ πρὸς τὰ ὄπισθεν αὐτῆς ἀπαρέμφατα ἀποδίδοται. τὸ τοῦ κωμῳδοποιοῦ—δοῦλος ὁ δεσπότης ὁ γὰρ κωμικὸς σχετλιάζων τοῦτο εἰσάγει, ὅ τε Ἀριστοφάνης καὶ ὁ Μένανδρος.

153,5 εἰ ταῦθ' οὕτως, ὥσπερ ἔφην, ἔχει ἐπανάληψις. τὸ σχῆμα ἐπανάληψις. διὰ δὲ τὸ μῆχος τῆς ἀποδόσεως τῇ ἐπαναλήψει ἐχρήσατο.

153,8 κἂν εἴ γε τὴν ἀρχὴν δουλείαν εἶναι εἰ γὰρ τὴν ἀρχὴν δουλείαν λέγομεν, τί κωλύει καὶ τὴν δουλείαν ἡμᾶς ἀρχὴν εἰπεῖν; ὄντων γὰρ ἐναντίων τῶν πραγμάτων, ἐναντία καὶ τὰ ὀνόματα. τὰ ἐναντία διὰ τῶν ἐναντίων ὁρίζεται· ἀκολουθεῖ γὰρ τῷ ἐξ ἀρχῆς ἐπιχειρήματι.

153,10 κἀκ τούτου περίεισιν ἡμῖν ἡ θέσις περιστρέφεται· ὥσπερ ἐγένετο ἡ ἀρχὴ δουλεία, οὕτως ἀντιστρεφόμενος καὶ γίνεται ἡ δουλεία, ἣν λέγεις, ἀρχή. θέσις δὲ ἡ τῶν ὀνομάτων κλῆσις.

153,13 τῶν ἐναντίων πραγμάτων—τοῦ πράγματος τὸ πραγμάτων εἶπε δι' ἄμφω ταῦτα, τήν τε δειλίαν καὶ τὴν ἀρχήν· τὸ δὲ πράγματος, ἐπειδὴ ἓν ἕκαστον τούτων τοτὲ μὲν ἀρχὴ, τοτὲ δὲ δουλεία, ὡς ἔδειξεν, ἀποκαθίσταται. καὶ μὴν οὐδὲ ὅ τι λοιπὸν ἀκολούθως ἀποδέδωκε πρὸς τὸ πρῶτον μὲν ἔγωγε οὐχ ὁρῶ.

153,14 τούτων περιῃρημένων τοῦτο ἐπήγαγεν, ὡς ἤδη ἀποδειχθέντος τοῦ πράγματος. εἰ γὰρ μὴ προστησόμεθα ἡ ἀπόδοσις πρὸς τὸ ἄλλο τι ἢ τῶν ἀψύχων ἐγγύτατα ζῆν λείπεται.

153,16 οἰκέται ἐνταῦθα οὐ λέγει δούλους, — ἀνόητον γὰρ τοῖς μεγάλοις οὕτω τάξαι τοὺς οἰκέτας — ἀλλ᾽ ὡς Ξενοφῶν, τοὺς οἰκείους οὕτως ἐκάλεσεν.

153,17 ἀλλ᾽ οὕτω τὸ οὕτω ἢ παρέλκεται, ἢ ὡς βούλεται Πλάτων. καθεδούμεθα ὥσπερ ἐν μέσῳ τῷ ἀέρι ἀντὶ τοῦ κρεμάμεθα. πῶς γὰρ δυνατὸν ἐν μέσῳ τοῦ ἀέρος καθέζεσθαι;

154,1 πῦρ ἀμαθύνει καῖον φθείρει.

154,4 τῶν ἀψύχων ὡς βαρύτερον ὂν τῶν ἀψύχων, ἔθηκε τὸ ζῶντα μὴ κινεῖσθαι. ὧδε δὲ ἡ ἀπόδοσις τοῦ εἰ γὰρ μὴ προστησόμεθα.

154,6 τί μαθὼν, ὦ φίλη κεφαλὴ, αὐτὸς ἐνταῦθα δείκνυσιν αὐτῷ περιπίπτοντα τὸν Πλάτωνα καὶ μαχόμενον. αὐτὸς ἡμῖν τοὺς διακόνους μιμῇ ἠθικὸς πάλιν ὁ λόγος. μιμεῖται δὲ πάλιν τῷ λόγῳ τὸν Πλάτωνα.

154,7 λέγεις μὲν καὶ τυραννίδα συντελεῖν εἰς νόμων θέσιν ἐπειδὴ σκληρόν τι καὶ λυποῦν ὁ νόμος, διαφέρει τυραννικῆς ἐξουσίας εἰς τὸ ἀναγκάσαι πεισθῆναι τοῖς νόμοις. πάλιν δείκνυσι τὸν Πλάτωνα μαχόμενον ἑαυτῷ, εἴ γε διαβάλλει τὴν τυραννίδα. ἐπαινεῖ δὲ αὐτὴν εἰς νόμων θέσιν· ὁ γὰρ νόμος σκληρὸς καὶ λυπηρός. χρείαν οὖν φησι τυραννίδος εἰς τὸ ἀναγκάσαι πεισθῆναι τοῖς νόμοις. τυραννίδα τὴν βασιλείαν ἐνταῦθα καταχρηστικῶς λέγει· διότι γὰρ ὁ νόμος σκληρὸς, δεῖται τυραννίδος, εἰς τὸ ἀναγκάσαι πεισθῆναι αὐτῷ. εἰς νόμων θέσιν ἤγουν νομοθεσίαν.

154,9 τὸ πολυύμνητον δὴ τοῦτο τὸ ἐξάκουστον. δηλοῖ δὲ ὅτι καὶ Πλάτων τοῦτο ἐποίησε.

154,10 δύναμις πολιτικὴ ἀντὶ τοῦ δυναστεία· τὸ δὲ πολιτικὴν ὡς πρὸς ἀντιδιαστολὴν εἶπε τῆς τυραννίδος.

154,11 ἐν γὰρ αὐτοῖς, οἷς πολιτεύῃ καὶ νομοθετεῖς πάλιν εἰς τὴν Πολιτείαν αἰνίττεται καὶ τοὺς Νόμους, οὓς συνεγράψατο. ἀφορίζεις μὲν φύλακας τῇ πόλει, οἵτινες πάλιν μαχόμενον αὐτῷ τὸν Πλάτωνα δείκνυσι.

154,13 τιμὰς ἢ τὰς ταφὰς λέγει καὶ τοὺς ἐπιταφίους λόγους, ἢ τὰς χοὰς, ἢ ὅτι τοῖς παισὶ παρεχώρουν τὰς τῶν πατέρων τιμάς.

154,15 εὐθηνοῖ ἀντὶ τοῦ εὐτυχοίη· εὐθηνίαν γὰρ καλοῦμεν καὶ οἱ παλαιοὶ τὴν εὐπραγίαν.

154,17 κινδυνεύσειν ἅπαντα κίνδυνον δηλοῖ τὸν πόλεμον. τὰ δὲ πάντα τοῦ μαχομένου εἰσίν.

154,19 οὐδ᾽ ἐν Καρῶν σχήματι καὶ μοίρᾳ θρέψεσθαι πρῶτον βαρβάροις Κᾶρες ἐμισθοφόρησαν, παρὰ δὲ Ἕλλησιν Ἀρκάδες.

155,1 ὀλίγου καὶ ταῦτα μισθοῦ γένος μισθωτὸν πρὸς πολέμους εἰς θάνατον ἐπιτήδειον. καὶ ταῦτα τοῦ ἐναντίου· ὁ μὲν γὰρ ἐπαινεῖ τὸν μισθὸν, ὁ δὲ ἔλαβεν ἐπὶ ἀδικίαν καὶ ὕβριν τῶν φυλάκων. φιλοτιμίαν δὲ ἔοικε τὸ κέρδος καλεῖν, ὅτι καὶ πρὸ ὀλίγου μισθὸν εἶπεν. ἀεὶ δὲ κατ᾽ ἐξοχὴν φιλοτιμίαν τὴν εὐδοξίαν καλοῦσι.

155,2 οὐκ ἄχρηστος ἡ σπουδὴ, οὐδ᾽ ἀνελεύθερος οὐκ ἄχρηστος, ἀντὶ τοῦ οὐκ ἀνωφελής. οὐκ ἄχρηστος δὲ, πρὸς αὐτοὺς τοὺς φύλακας.

155,3 κατεσκευάσθαι τοιαύτην φυλακὴν πόλει τὸ καὶ μισθὸν λαμβάνειν, καὶ ὀλίγον καὶ παρ᾽ ὧν ἔχειν τάξιν. ἔοικε δὲ αὐτοὺς τοὺς φύλακας αἰνίττεσθαι μάρτυρας παρεῖναι τῷ Κίμωνι.

155,5 ἐκ τούτων ἐκ τῶν εἰρημένων περὶ τῶν φυλάκων.

155,6 ὡς ἐλευθεριώτατα τὰ ἐναντία τῷ διακόνῳ καὶ τῇ ἡδονῇ.

155,7 σχεδὸν ὥσπερ σοι τὰ τῆς πολιτείας ἔχει τῆς ἀκινδύνου ταύτης καθάπτεται λεληθότως τοῦ φιλοσόφου, ὅτι αὐτὸς μὲν ἐν λόγοις φιλοσοφεῖ, Κίμων δὲ μετὰ τοῦ κινδύνου. τὸ δίκαιον ἐτήρησε, καὶ ἀκινδύνως εἰπὼν δοκεῖ μὲν ἐπαινεῖν, ἀκίνδυνον δὲ καλῶν καὶ ἀσφαλῆ διαβάλλει λεληθότως. ἀκινδύνου λέγει, ἢ ὡς καλὴν, ἢ ὡς γραφεῖσαν μόνην, καὶ οὐκ εἰς ἔργον προχωρήσασαν, ἢ πολιτείας λέγει τὴν τοῦ Πλάτωνος διαγωγήν.

155,9 ἐκ δυοῖν τοῖν ἐσχάτοιν ὅροιν ἀντὶ τοῦ τῶν ἄκρων. ὅρων δὲ λέγει, ἀντὶ τοῦ ἀποδείξεων, ἢ κανόνων.

155,11 ἐκεῖνος γὰρ συμβάσης μὲν ἐν Πελοποννήσῳ ταραχῆς οὐ φαύλης, οὐδὲ μικρᾶς τινος αὔξει πανταχόθεν τὸν Κίμωνα, ἀπὸ τῆς Πελοποννήσου, ἀπὸ τοῦ καιροῦ, ἀπὸ τῆς ταραχῆς, ἀπὸ τοῦ σεισμοῦ.

155,12 ὥστε καὶ Λακεδαιμονίους εἰς πᾶν ἐλθεῖν, τῶν Εἱλώτων ἐπαναστάντων εἰς πᾶν ἐλθεῖν, ἀντὶ τοῦ περὶ παντὸς κινδυνεῦσαι· λέγει δὲ βίου. λείπει δὲ κινδύνου. τὴν δὲ ἱστορίαν ἔχεις παρὰ Θουκυδίδην ἐν τῇ πρώτῃ, ὅτι Εἵλωτες εἰς Ἰθώμην ἀπέστησαν.

155,13 ὁπλίτας, οὓς σὺ τιμᾷς, ὦ Πλάτων αὐτὸς ἐξηγήσατο τὸ θεώρημα τοῦτο, ὁπλίτας εἰπών· καὶ γὰρ ὁ Πλάτων εἶπεν ὅτι εὐψυχότεροί εἰσιν οἱ ὁπλῖται· τὰ δὲ ναυτικὰ διαβάλλει.

155,14 ἔσωσε μὲν τὴν πόλιν αὐτοῖς καὶ τὴν χώραν τοῦτο παρ᾽ ἱστορίαν· ἀπελθὼν γὰρ ὑπωπτεύθη, καὶ ἄπρακτος ἐπανῆκεν οἴκαδε.

155,15 κατέστησε δὲ ἐν καταστάσει ἐποίησεν. ἔστι δὲ ἡ λέξις ἐπὶ γαλήνης.

155,16 συμμάχους συμμάχους τοὺς Λακεδαιμονίους καλεῖ, ἐπειδὴ σὺν αὐτοῖς ἐπολέμησε τῷ Πέρσῃ. οἱονεὶ τοὺς πεζομάχους. λέγει δὲ Λακεδαιμονίους. συμμάχους δὲ εἶπεν αὐτούς, ἐπειδὴ σὺν αὐτοῖς ἐπολέμησαν τῷ Πέρσῃ. πρὸς δὲ τοὺς βαρβάρους ὅρα πῶς συγκριτικῶς παραβάλλει αὐτὸν καὶ πρὸς τὸν Θεμιστοκλέα καὶ πρὸς τὸν πατέρα.

155,17 οὐκ εἰσὶ τῶν Ἑλλήνων οὐδενὶ πλείους, οὐδὲ ὀνομαστότεραι πράξεις ἐν τῇ ὑπερορίᾳ καλῶς εἶπεν ἐν τῇ ὑπερορίᾳ τὰ γὰρ Θεμιστοκλέους μείζονα ἦν, ἀλλ᾽ ἐν τῇ Ἀττικῇ γενόμενα. καλῶς ἡ παρατήρησις καὶ προσθήκη τῆς ὑπερορίας· τὰ γὰρ—γενόμενα.

155,18 τῆς ἀνδρίας ἅμα καὶ τῆς ὑποθέσεως ἀνδρείαν μέν φησι τὸ ἐν τῷ κινδύνῳ μετὰ λογισμοῦ θράσος, ὑπόθεσιν δὲ τὴν αἰτίαν τοῦ πολέμου, καὶ οἷον ἀρχὴν καὶ πρόφασιν. ἢ ὑπόθεσιν καλεῖ τὴν αἰτίαν, σημαίνων τὸ δίκαιον· οὐ γὰρ ἀρκεῖ πρὸς ἔπαινον ἡ ἀνδρεία, ἐὰν μὴ προσῇ καὶ τὸ δίκαιον.

156,2 ὑπ᾽ ἐκείνων τῶν βαρβάρων. λέγει δὲ ὅτι ὑπὲρ τῶν θεῶν αὐτοὺς ἐτιμωρεῖτο.

156,5 οὐδὲ τοῖς θεοῖς αἰσχρῶς ἔχειν τὴν χάριν ὁ γὰρ δειλὸς σωθεὶς τῇ φυγῇ χάριν ὁμολογεῖ τοῖς θεοῖς τῆς σωτηρίας, ὥσπερ καὶ τούτου παρ᾽ ἐλπίδα τετυχηκώς.

156,6 ἀλλ᾽, ὃ ποιηταὶ καὶ νομοθέται καὶ παροιμίαι καὶ ῥήτορες, καὶ πάντες κελεύουσιν, ἀμύνεσθαι τοὺς ὑπάρξαντας, τοῦτο εἰσηγεῖτο διαφόρως κατασκευάζει τοῦ πολέμου τὸ δίκαιον· καὶ ὅτι ἀμυνόμενος ὁ Κίμων ἐπεξῆλθε· καὶ ὅτι πᾶσα τέχνη ἐπαινεῖ τὸ πραχθέν. Ὅμηρος
«Ἄνδρες ἐπαμύνασθαι, ὅτι τις πρότερος χαλεπήνῃ.»
Σόλων· τὸν ἄγοντα βίᾳ τἀμὰ, εὐθὺς ἀμυνόμενος κτεῖναι, ἢ ὡς πένητα γνῶναι. παροιμία, τὸν ξύοντα ἀντιξύειν. Δημοσθένης· «Ἀμύνασθαι τὸν εἰς ὑμᾶς ὑπάρξοντα.» καὶ ἐγὼ δὲ οὐκ αὐτὸς ἄρχων, ἀλλ᾽ ἀμυνόμενος.

156,7 πρὸς τοῦτ᾽ ἦγεν αὐτοὺς ὅρα πάλιν πῶς ἄρχοντα αὐτὸν δείκνυσι τῶν Ἀθηναίων, οὐκ ἀρχόμενον παρ᾽ αὐτῶν.

156,8 οὐχ ὡς ἄν τις τὸ ἥδιστον θαυμασίως εἶπε, πρὸς τὰ ἐγκλήματα τοῦ Πλάτωνος ἁπαντῶν, ὅτι οὐ τοῦ ἡδέος γίνονται οἱ ῥήτορες. οὐ γὰρ ἦν, φησὶν, ἡδὺς ὁ πόλεμος, ὃν ᾑροῦντο ποιεῖν· ἀεὶ γὰρ ὁ Πλάτων διαβάλλει τοὺς τὴν ἡδονὴν διώκοντας. ἀλλ᾽ ὡς ἄν τις τὸ δικαιότατον λέγων δύο κεφαλαίοις διαιρεῖ τὸν λόγον, δικαίῳ καὶ συμφέροντι. εἰπὼν οὖν τὸ δίκαιον εὐθέως ἐπάγει τὸ συμφέρον. ἰστέον δὲ ὅτι τὸ μὲν δίκαιον ἀπὸ τῶν παρῳχημένων δεῖ γίνεσθαι, τὸ δὲ συμφέρον ἀπὸ μελλόντων. δυσὶ κεφαλαίοις χρῆται, δικαίῳ καὶ συμφέροντι· εἰπὼν οὖν τὸ δίκαιον εὐθέως ἐπάγει τὸ συμφέρον. ἰστέον δὲ ὅτι τὸ δίκαιον μὲν ἀπὸ τῶν παρῳχημένων, τὸ δὲ συμφέρον ἀπὸ τῶν μελλόντων δείκνυται. πρὸς δὲ τούτοις καὶ τῆς Ἑλλάδος φυλακὴν ἀντιπῖπτον λύει· ἀλλ᾽ οὐδὲν, φησὶν, ἔβλαψε τὴν Ἑλλάδα. ὁ δὲ λέγει· ἀλλὰ τῆς γνώμης αὐτοὺς καὶ τῆς βουλήσεως ἠμύνατο.

156,10 μηδὲν ἔτι τοιοῦτον ἐνθυμηθῆναι τοῦ λοιποῦ ἢ μηκέτι ἐπελθεῖν τῇ Ἑλλάδι, ἢ μηκέτι ὑπήκοον ἔχειν αὐτήν.

156,11 εἰς τὴν ἐκείνων ἐξῆγε τὸν πόλεμον τοῦτο πάλιν πρὸς τὸν Πλάτωνα ἀποτείνεται, λέγοντα ὅτι δεῖ τοὺς πολεμίους ἐπιόντας μόνον ἀμύνασθαι, ἀλλ᾽ οὐκ ἐπὶ τὴν πολεμίαν τοὺς πολεμιστὰς ἐξάγειν.

156,13 καὶ οἵστισι προσμίξειεν αὐτῶν ἀντιπῖπτον λύει· ἀλλὰ τοὺς ἄλλους ἔφευγεν. ὁ δὲ ἐπήγαγε· καὶ ὅστις προσμίξαιεν αὐτῷ. ἐπὶ δὲ Εὐρυμέδοντι ποταμῷ ναυμαχίας καὶ πεζομαχίας μνημεῖα ἔστησεν, ἀμφότερα ἡμέρᾳ μιᾷ νικῶν ηὔξησε πλέον τῷ καιρῷ, μιᾶς ἡμέρας δύο τρόπαια διηγούμενος. πεζομαχίαν δὲ εἴρηκε διὰ τὸ θαυμάζειν τοσοῦτον τὸν Πλάτωνα.

156,14 ὥστε τοῖς προτέροις ἔργοις συγκρίνει τὰ γενόμενα παρὰ Κίμωνος ἐν τῇ ἀλλοδαπῇ πρὸς τὰ γενόμενα ἐν τῇ Ἑλλάδι παρὰ Θεμιστοκλέους.

156,15 ὅμως τις ὕμνησεν αὐτῶν τὸν Σιμωνίδην λέγει· τὸ δὲ ὕμνησεν εἶπεν, ὡς τολμηρόν τι ποιήσεται. ὡς τολμηρόν τι ποιήσαντα. λέγει δὲ τὸν Σιμωνίδην. τοῦ δὲ οὐ πάντα καλῶς ἡ προσθήκη· οὐ γὰρ πάσας εἶχε τὰς πράξεις ὁ Εὐρυμέδων τοῦ Κίμωνος.

156,16 ἐξ οὗ τ’ Εὐρώπην Ἀσίας δίχα πόντος ἔκρινε, καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει ἐξ οὗ μακροῦ διεχώρισεν ἡ θάλασσα τήν τε Εὐρώπην καὶ Ἀσίαν, καὶ ὁ Ἄρης ἀκολουθεῖ ταῖς πόλεσι.

157,1 καὶ ταῦτα οὐκ ἀπεικότως παρύμνησεν ὁ Σιμωνίδης.

157,2 ἐκεῖνα μὲν γὰρ ἐν πύλαις τῆς Ἑλλάδος ἐκινδυνεύετο οὕτως μὲν καλεῖται ὁ τόπος ὁ μεταξὺ Θετταλίας καὶ τοῦ Πηνειοῦ. νοεῖται δὲ ὅτι καὶ ἐν ἀνάγκαις· ὅθεν καὶ παροιμία ἐπὶ τῶν κινδύνων, ἐν πύλαις ἡ μάχη.

157,3 τὰ μέν γε ἐν αὐταῖς πύλαις λεληθότως Λακεδαιμονίων καθάπτεται· τριακόσιοι γὰρ ἐξ αὐτῶν ἀπέθανον ἐν Πύλαις. σημαίνει τοὺς τριακοσίους, τοὺς Λακεδαιμονίων τοὺς ἀποθανόντας ἐν Πύλαις. λεληθότως δὲ τῶν Λακεδαιμονίων καθάπτεται.

157,6 οἱ δ’ εἰς πύλας ἀπαντήσαντες οὐδὲν πλέον εὐκαίρως, ἐπειδὴ τῶν πεζομαχούντων Λακεδαιμονίων ἐπαινέτης ὁ Πλάτων.

157,10 διὰ ταῦτα, φησὶ ὁ ποιητὴς δηλονότι, μιμεῖται τὸ σχῆμα τοῦ λόγου τοῦ Σιμωνίδου, ὡς ἐκεῖνος ἡμῖν διαλεγόμενος.

157,11 οὕτως ἀκριβής τις καὶ βέβαιος ἐκεῖνος φύλαξ ἦν τῆς Ἑλλάδος, οὐ μόνον τῆς ἑαυτοῦ πόλεως πάλιν πρὸς Πλάτωνα ἡ ἀπότασις.

157,14 τῷ φόβῳ τοὺς Ἕλληνας τὸ σχῆμα ἐλλειπτικόν. ἔστι δὲ Δημοσθενικόν· φησὶ γὰρ ἐκεῖνος «Τεθνᾶσι τῷ δέει τοὺς ἀποστόλους» ἀντὶ τοῦ τῶν ἀποστόλων· τῷ φόβῳ τοὺς Ἕλληνας ἀντὶ τοῦ τῶν Ἑλλήνων. ἐξ οὗ καὶ Δημοσθένης «Τεθνᾶσι τῷ δέει τοὺς ἀποστόλους» ἀντὶ τοῦ τῶν ἀποστόλων.

157,15 τῆς κάτω χώρας τῆς παραθαλασσίας, ἤγουν τῆς Ἰωνίας. τῆς παραθαλασσίας. λέγει δὲ τὴν Ἰωνίαν.

157,16 ὧν τἀναντία ὕστερον συνεχώρησαν Λακεδαιμόνιοι τὴν εἰρήνην λέγει τὴν ἐπὶ Ἀνταλκίδου λεγομένην, ὥστε τοὺς οἰκοῦντας τὴν Ἀσίαν Ἕλληνας δούλους εἶναι τοῦ βασιλέως.

157,17 οἷς ἡ τῶν εἰς τοὺς πολέμους ἐμπειρία καὶ ἕξις πρόσκειται μόνη ἐμπειρία ἐστὶν ἡ μετὰ πλήθους χρόνου ἀπὸ τῶν πραγμάτων εἴδησις· ἕξις δὲ μόνιμος, καθ᾽ ἣν ἔχομεν πρὸς τὰ πάθη ἢ εὖ, ἢ κακῶς. ὥς φησιν Ἀριστοτέλης

157,18 τοσούτῳ κρεῖττον Κίμων ἐφύλαξε τοὺς Ἕλληνας ὅσον, φησὶν, ηὔξησε, τοσοῦτο πλέον ἐφύλαξε. λέγων δὲ καὶ πράττων ἀντὶ τοῦ συμβουλεύων καὶ πολεμῶν.

158,1 ἆρ᾽ οὖν ταῦτα ἂν οὕτω κατείργαστο τὸ σχῆμα ἐλεγκτικόν· πάλιν γὰρ ἐπάνεισιν εἰς τὸ κατηγορούμενον· καὶ κολακείας γὰρ κατηγοροῦντο.

158,3 εἰς ὅσον ἐξῆν καλὸν τὸ εἰς ὅσον· δημοκρατία γὰρ ἦν, καὶ οὐκ ἐν αὐτῷ μόνῳ τὰ τῆς ἀρχῆς. τὸ δὲ ἦγε πάλιν ὡς ἐπὶ διδασκάλου, ἀντὶ τοῦ ἐπαίδευεν.

158,6 οὐκ ἀσελγαίνοντας, οὐδ᾽ ὑβρίζοντας αὐτοὺς ἀσελγεῖς ἐκάλουν οἱ παλαιοὶ τοὺς ἑτοίμως ἔχοντας πρὸς ἅπασαν ἡδονήν· Σέλγοι γὰρ ἔθνος εἰσὶ σωφρονέστατον, ἀπὸ τῆς Σέλγης καλουμένης χώρας. ἔστι δὲ πόλις Παμφυλίας. ἀσελγεῖς οὖν ἐντεῦθεν οἱ μὴ σώφρονες. ἔστι δὲ ἡ λέξις καὶ ἐν τῷ κατὰ Μειδίου. ἐπὶ δὲ τοῦ αὐτοῦ νῦν τὴν ἀσέλγειαν καὶ τὴν ὕβριν ἔλαβεν.

158,7 ὡς οἷόν τι μάλιστα κοσμίους ὄντας καὶ τὴν τάξιν φυλάττοντας ὡς οἷόν τε εἰπεῖν· ὅτι μέλλει ἐν τῇ κοινῇ ἀπολογίᾳ λέγειν ὅτι ἐστασίασαν Ἀθηναῖοι. κατὰ κοινοῦ δὲ τὸ ὡς οἷόν τε. ὅ φησιν Ὅμηρος, αἰδουμένους κρατεῖν ἂν τῶν πολεμίων οἶμαι ἀλλήλους αἰδεῖσθαι κατὰ κρατερὰς ὑσμίνας. ὡς ἔνδοξον διέλαβε τοῦ ποιητοῦ τὸ πρόσωπον. φησὶ γὰρ «Ἀλλήλους αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.»

158,8 χρησίμους εἶναι κἀκείνῳ ὡς στρατηγῷ δηλονότι, αὐτοῖς δὲ, διότι ἐσώζοντο. κἀκείνῳ ὡς στρατηγῷ. σφίσιν αὐτοῖς διότι ἐσώζοντο.

158,9 τὸν τέκτονα τὸν τέκτονα νῦν καλεῖ τὸν οἰκοδόμον, ποιητικῶς ἀπὸ τοῦ τεκταίνειν πεποιημένου τοῦ ὀνόματος. τούτοις δὲ ὁ Πλάτων κέχρηται.

158,11 καὶ μὴν ὅτι καὶ τὸ πᾶν τοῦτο κόσμος ἐκλήθη λέγεις ὀρθῶς ἀνάγει ἐπὶ μεῖζον τὸ παράδειγμα, παρὰ Πλάτωνος δεξάμενος τὴν ἀρχὴν τοῦ λόγου· τοῦτο γὰρ αὐτὸς ἐν τῷ Γοργίᾳ εἶπε.

158,13 Κίμων τοίνυν τῆς τοῦ παντὸς ἐπωνυμίας τὸ γιγνόμενον τῇ πόλει διεσώσατο Θεόπομπος ἐν τῷ δεκάτῳ τῶν Φιλιππικῶν περὶ Κίμωνος· οὐδέπω δὲ πέντε ἐτῶν παρεληλυθότων, πολέμου συμβάντος πρὸς Λακεδαιμονίους ὁ δῆμος μετεπέμψατο τὸν Κίμωνα, νομίζων διὰ τὴν προξενίαν ταχίστην ἂν αὐτὸν εἰρήνην ποιήσασθαι. ὁ δὲ παραγενόμενος τῇ πόλει τὸν πόλεμον κατέλυσε. τὸ γιγνόμενον δὲ ἀντὶ τοῦ ἁρμόττον· μέρος γὰρ τοῦ παντὸς αἱ Ἀθῆναι. μέρος οὖν τοῦ κόσμου παρελάβοντο αὐταῖς ἀποχρῶν. τοῦ παντὸς δὲ, τουτέστι τοῦ κόσμου. μιμητὴν δὲ αὐτὸν λέγει τοῦ κόσμου γενόμενον.

158,15 κἀν ταῖς στρατείαις τοὺς ἑπομένους τοῦτο προσέθηκεν, ἵνα μὴ μόνον φιλοσοφοῦντα δείξῃ αὐτὸν ἐν πόλει, ἀλλὰ κἂν ὡς κινδύνοις ἀριστεύοντα. τὸ γὰρ ἐν πόλει μόνον εἶναι λαμπρὸν ἀκίνδυνόν ἐστιν ἀρετῇ. ἀλλ’ ἐξωστράκισαν αὐτὸν, ὅπως αὐτοῦ δέκα ἐτῶν τῆς φωνῆς μὴ ἀκούσειαν ὁ μὲν Πλάτων τὴν ἀντίθεσιν ἐπὶ διαβολῆς ἐδέξατο τοῦ Κίμωνος. ἔχει δὲ ἦθος νῦν ὁ λόγος ἐγκωμίου· οὐ γὰρ ἦν ἔγκλημα ἐξοστρακισμὸς, ὡς ἔγνωμεν ἐν τῇ πεντηκονταετίᾳ Θουκυδίδου περὶ Θεμιστοκλέους, ἀλλὰ διὰ φόβον τῆς γνώμης γινόμενος καὶ τοῦ φρονήματος τῶν ἀνδρῶν. φησὶ δὲ ὁ αὐτὸς συγγραφεὺς, καὶ διὰ κακίαν

ἐξοστρακίζεσθαι. λέγει δὲ ἐν τῇ ὀγδόῃ, περὶ Ὑπερβόλου ἡμῖν διηγούμενος.

158,16 καὶ πάλιν γε κατήγαγον ἔλυσε τὴν ἀντίθεσιν τῇ μετανοίᾳ· ἀντιτίθησι γὰρ τῇ φυγῇ τὴν κάθοδον.

158,18 ἃ μὲν οὐ δικαίως κατεψηφίσαντο, κατ᾽ ἀμφοτέρων λέγεις οὐ κατηγορῶν Ἀθηναίων καὶ Κίμωνος τὸν ἐξοστρακισμὸν ὁ Πλάτων ἔφησεν, ἀλλ᾽ ἐπ᾽ ὀνείδει μόνον τοῦ Κίμωνος· σοφίζεται δὲ ὁ ῥήτωρ διὰ τὴν ὕστερον Ἀθηναίων μετάνοιαν, ἵνα δείξῃ καὶ ἀμφοτέρων καθαπτόμενον Πλάτωνα. ἃ δ᾽ ὀρθῶς ἐβουλεύσαντο ἡ μετάνοια ὁμολογίαν ἔχει τοῦ ἁμαρτήματος.

158,19 τοῖς μὲν προαχθεῖσι ἀντὶ τοῦ ἀναγκασθεῖσι δίχα βουλῆς καταψηφίσασθαι.

159,1 σὺ δὲ, ὥσπερ τι κύριον ἐν τῇ κοινῇ ἀπολογίᾳ πλατύτερον περὶ τῆς καθόδου ἐρεῖ· ἡ γὰρ κοινὴ ἀπολογία λόγον ἀγῶνος ἐπέχει.

159,3 ἀλλ᾽ ὃ μὲν ἦν χαλεπώτερον πανταχοῦ τὴν βασκανίαν σημαίνει τοῦ Πλάτωνος.

159,4 ὃ πάντων ἀτοπώτατόν ἐστι τὸ καταψηφίσασθαι φυγὴν αὐτοῦ. κατηγορῶν αὐτῶν τῶν Ἀθηναίων κατηγορῶν Ἀθηναίων ὁ Πλάτων ἀγρίους αὐτοὺς ἐκάλεσε. ῥητορικὸν δέ ἐστι τὸ σόφισμα· ὁ γὰρ Πλάτων αὐτό φησι πεποιηκέναι αὐτούς. καὶ τό γε κάλλιον οἷον ἥλπιστο καταδουλοῦσθαι ὑπ᾽ αὐτοῦ. κατὰ ἦθος δέ· οὐδὲ γὰρ καλόν φησι. οὐ τὰ δεύτερα ταῦτα, ἀλλ᾽ ἐκεῖνα, ἅ τις ἂν χαίρων τῷ Κίμωνι οὐκ ἐνεκάλεσε γὰρ διότι κατήγαγον αὐτὸν, ἀλλ᾽ ὅτι τῶν ἀρχῶν ἐξωστράκισαν.

159,6 τὴν αἰτίαν ἐφ᾽ αὑτοὺς μετέθεσαν τῇ ἀφέσει τῆς φυγῆς.

159,7 οὐκ ἴσον τι νομίζεις εἶναι θέλει εἰπεῖν ὅτι καὶ μεῖζον. βιαίως δὲ ἐπεχείρησε κάλλιον εἶναι βιαζόμενος.

159,8 τὸ μὲν γὰρ καὶ τοῖς τυχοῦσιν ὑπάρχει δήπου τύχης γὰρ ἔργον ἐστί. λέγει δὲ τὸ ἐκβληθέντα κατελθεῖν.

159,9 κἀκεῖνο μὲν ἂν τῇ τύχῃ τις εἶχε λογίζεσθαι προεῖπε γὰρ καὶ τοῖς τυχοῦσι. λέγει δὲ πάλιν τὸ ἐκβληθῆναι.

159,11 καὶ τάχα ἄν τι καὶ ἄλλο τοιοῦτο φανείη ἥλπιστο γὰρ καταδουλοῦσθαι ὑπ᾽ αὐτοῦ.

159,12 οὐδέν ἐσθ᾽ ἕτερον, πλὴν τῆς ἀρετῆς, αἰτιᾶσθαι ἐπίτασιν ἔχει τὸ λεχθέν· ὥσπερ γὰρ ἱκέτας αὐτοῦ ἔδειξε τοὺς Ἀθηναίους. ἐπὶ καλοῦ δὲ νῦν καὶ τὸ τῆς αἰτίας ὄνομα.

159,13 σφῶν αὐτῶν καταγιγνώσκειν μᾶλλον ἠξίουν ἀντὶ τοῦ ἑαυτῶν· διὰ τῆς μετανοίας· αὐτῶν γὰρ δηλοῖ τούτων κατηγορίαν.

159,14 ὥστ᾽ εἰ μὲν αὐτὸν ἐφ᾽ ἑαυτοῦ δεῖ σκοπεῖν διλήμματον τὸ σχῆμα.

159,16 ὃ δὲ, πολλῶν καὶ μεγάλων ὄντων εἰς τοὺς ἀγῶνας τηρεῖ τὴν τελείαν ἀπολογίαν. μέλλει γὰρ εἰπεῖν ἐκεῖ ὅτι οἱ ἄλλοι οὔτε ἐξεβλήθησαν οὔτε κατήχθησαν.

159,18 σχεδὸν γὰρ ἐν ὀλίγοις τῶν πάντων καὶ τοῦτο θεραπεία· μόνον γὰρ αὐτὸν λέγει μὴ συνεμπίπτειν τοῖς ἄλλοις.

159,19 ἀντέχει τῷ λόγῳ τούτῳ τῷ λέγοντι τοὺς παῖδας τῶν ἀγαθῶν ἀνδρῶν φαύλους ἀποβαίνειν. καὶ οὐ συναγωνίζεται ἀντὶ τοῦ μάχεται. λόγος δὲ τῇ παροιμίᾳ, ἀνδρῶν ἡρώων τέκνα πήματα.

160,1 ὡς ἄρα τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν πάλιν μετὰ κολάσεως εἶπε. ὡς ἄρα τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν ὥσπερ εἱμαρμένον εἴη τοὺς υἱεῖς φαύλους ἀποβαίνειν οὕτω Δημοσθένης φησὶ, τῶν ἀγαθῶν ἀνδρῶν ὥσπερ εἱμαρμένον εἴη φαύλους ἀποβαίνειν τοὺς υἱεῖς. ἀλλὰ καὶ παροιμία, ἀνδρῶν ἡρώων τέκνα πήματα.

160,2 ὀλίγου τινὸς ἀντὶ τοῦ οὐδαμῶς. παρὰ τὸ ποιητικόν· παῦροι γάρ τε παῖδες ὁμοίιοι πατρὶ πέλονται. υἱὸς ὢν Μιλτιάδου ηὔξησε τὸν Μιλτιάδην, ἵνα πλέον ἐκ τούτου τὸν Κίμωνα. κληρονομῶν τοσούτου κινδύνου, τῆς ἐκείνου δόξης παραδόξως εἶπεν, οὐ χρημάτων κληρονομεῖν, ἀλλὰ κινδύνων. κίνδυνος γὰρ οὐ μικρὸς διάδοχόν τινα τῆς πατρῴας ἀρετῆς γεγενῆσθαι.

160,3 τῆς ἐκείνου δόξης τοῦτο εἶπε διὰ τὴν πατρῴαν ἀρετήν· τοσούτου γὰρ κινδύνου, φησὶ, κληρονομοῦσιν οἱ καλῶν πατέρων παῖδες γενόμενοι, ὅτι

τοῖς ἐξ ἀγαθῶν γενομένοις ἀνάγκη πρὸς τὴν δόξαν ἁμιλλᾶσθαι· τῶν πατέρων, ὡς μὴ ἐκείνων ἥττους φανῆναι.

160,5 ὥσπερ ἰχνῶν εἴχετο τῶν ἔργων τοῦ πατρὸς ἰχνῶν, ἀντὶ τοῦ βημάτων. ἔστι δὲ ἀπὸ μεταφορᾶς τῶν θηρευτικῶν κυνῶν. τὸ δὲ εἴχετο ἀντὶ τοῦ ἀντελάβετο.

ΜΙΛΤΙΑΔΗΣ. Ὑπόθεσις.

Ἡρόδοτος ἐν τῇ ἕκτῃ ἱκανῶς ἐξείργασται τὰ περὶ τὸν Μιλτιάδην, καὶ τὸν θεῖον αὐτοῦ, Μιλτιάδην τὸν Κυψέλλου τὸν πρῶτον ἄρξαντα Χερροννήσῳ, λέγων ὅτι Μιλτιάδης, ὁ στρατηγήσας ἐν Μαραθῶνι, Κίμωνος μὲν ἦν υἱὸς τοῦ Τισαγόρα, δέκατος δὲ ᾑρητο στρατηγὸς Καλλίμαχος, ὃς κατὰ νόμον ἰσόψηφος ἦν ἑκάστῳ τῶν στρατηγῶν. ἐδόκει δὲ τοῖς μὲν τῶν στρατηγῶν μὴ συμβάλλειν, τοῖς δὲ μάχεσθαι, ἐν οἷς ἦν καὶ Μιλτιάδης. ὡς δὲ προέλαβε τὸν πολέμαρχον, ἐνίκα τῇ γνώμῃ· παρεδίδοσαν μὲν γὰρ αὐτῷ τὴν ἐξουσίαν οἱ πρὸ αὐτοῦ πρυτανευόμενοι στρατηγοὶ καθέκαστον, αὐτὸς δὲ οὐ συνέβαλλεν, ἕως ἐπ᾽ αὐτὸν ἦκεν ἡ πρυτανεία τῆς ἡμέρας· καὶ τότε συμβαλὼν ἐνίκησεν, ἐπὶ ἄρχοντος Φαινίππου Ἀθήνησιν, ὑφ᾽ οὗ ἐψηφίσαντο Ἀθηναῖοι γραφῆναι τὴν Πεισιανακτείαν στοάν, ἥτις ὕστερον ἐκλήθη Ποικίλη. κατηγορηθεὶς δὲ ὑπὸ Ἀλκμαιωνίδων, ὅτι Νάξον, ἢ Πάρον, — ἄμφω γὰρ λέγεται — δυνηθεὶς ἑλεῖν, κατεχομένην ὑπὸ Περσῶν, οὐκ ἐβουλήθη, ἐκινδύνευσε μὲν ἀποθανεῖν, τεσσαράκοντα δὲ τάλαντα ἐζημιώθη, ἃ ἐξέτισε Κίμων. τέθνηκε δὲ μετὰ δύο ἔτη τῆς μάχης, ὡς οἱ πλείους ψηφίζονται ἐν τῷ δεσμωτηρίῳ.

160,8 περιήκει δ᾽ ἡμῖν ὁ λόγος εἰς αὐτὸν Μιλτιάδην δεινῶς εἶπε τὸ περιήκει ὡς ἐπὶ κύκλου τινός. ἀμέλει ἐπιφέρει τὸ περιήκει. ποῦ χοροῦ τάξομεν. ἔστιν οὖν ἡ λέξις τροπική. ὃν ἐγὼ μᾶλλον ἂν αἰσχυνοίμην ἐπαινῶν, ἢ ψέγων ὑπὲρ γὰρ ἔπαινον ἔχει τὴν ἀρετήν. διό φησι, καὶ αἰσχύνομαι ἐπαινέσαι. παραδόξως ἐπεχείρησεν· οὐδὲ γὰρ ὅτι ψέγειν εἶχεν, οὕτως εἶπεν, ἀλλ᾽ ὅτι μὴ κατ᾽ ἀξίαν ἐπαινεῖν αὐτὸν, ἴσον ἀποφαίνων τὸ ψέγειν τὸ μὴ δύνασθαι κατ᾽ ἀξίαν ἐπαινεῖν. μᾶλλον δὲ πλέον

160,9 οὕτω μοι δοκῶ πάντ᾽ ἂν ἔλαττον εἰπεῖν ἢ βούλομαι αὐτὸς ἐξηγήσατο τὸ ἄτοπον τοῦ νοήματος· οὐ γὰρ ἔχω, φησὶν, ἐπαινεῖν, ὡς βούλομαι.

160,10 εἰ γὰρ ἀναστὰς, λέγω, Πλάτων αὐτὸς ἀξιώσει κατηγορεῖν Μιλτιάδου ὡς εὐχόμενός ἐστιν ἀνάστασιν εὑρεῖν τὸν Πλάτωνα, ἵνα ἔχῃ πρὸς αὐτὸν ἀντιλέγειν. δόξειε δ᾽ ἂν ἀνόητον εἶναι τὸ λεγόμενον. εἰ ἀξιώσει, φησὶ, κατηγορεῖν. τί οὐ κατηγόρησε; καὶ τί ἀντιλέγεις; ἢ ἀπολογεῖται, δοκοῦσι δὲ ἀγνοεῖν τὸ ὄνομα τῆς κατηγορίας οἱ διαβάλλοντες. ἤδη γὰρ ἡμᾶς ὁ ῥήτωρ ἐδίδαξεν ὅτι κατηγορία ἐγκλήματα ἔχει· ὁ δὲ Πλάτων οὐκ ἐγκλήματα εἶπε κατ᾽ αὐτῶν, ἀλλὰ διαβολάς. λελῃθότως δὲ κωμῳδεῖ πάλιν τὸν Πλάτωνα. διὰ τούτου δὲ δηλοῖ ὅτι οὐδὲ τότε κατηγόρησεν ἂν αὐτοῦ, εἰ μὴ διὰ τὴν πρὸς Καλλικλέα φιλονεικίαν. τοῦ βελτίονος ἀντὶ τοῦ καλοῦ καὶ εὐδοξίαν φέροντος. συγκριτικὸν δέ ἐστιν ἀντὶ ἁπλοῦ.

160,12 Μιλτιάδην δέ φησι τὸν ἐν Μαραθῶνι δεινῶς πάλιν εἴρηκε τοῦτο. ὃ γὰρ Πλάτων κατὰ ἦθος διασύρων εἶπεν, οὗτος εἰς ἔπαινον περιστρέφει· ὁ γὰρ Πλάτων οὕτως εἴρηκεν ἐν τῷ Γοργίᾳ· Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο. καὶ εἰ μὴ διαπρυτανεύων, ἐνέπεσεν ἄν.

160,13 τοῦτό ἐστιν ἐγγυτέρω θρήνου τινὸς, ἢ μέμψεως θρῆνον ἐκάλεσεν αὐτοῦ τὴν μέμψιν· ὡσανεὶ ἔλεγε· τοῦτό ἐστι τὸ ῥῆμα θρηνοῦντος, ὅτι ἀπέθανεν.

160,14 ὥσπερ οὓς Σιμωνίδης εἰώθει τιμᾶν ἐν τοῖς ἐπιγράμμασιν πλέων ὁ Σιμωνίδης προσέσχε τινὶ τόπῳ, καὶ λείψανον εὑρὼν κοσμήσας ἔθαψε. καὶ κοιμηθέντι παρέστη τοῦ λειψάνου τὸ εἴδωλον, συμβουλεῦον μὴ πλεῖν. ὁ δὲ ἀναστὰς τοῖς ναύταις ἀνεκοινοῦτο. οἱ δὲ μὴ πεισθέντες ἀνήγοντο, αὐτὸς δὲ κατέμεινεν ἐκεῖσε. χειμῶνι δὲ χρησάμενοι ναυαγίῳ περιέπεσον. καὶ ἐπὶ τούτῳ τιμᾷ Σιμωνίδης αὐτὸν ἐπιγράμματι «Οὗτος ὁ Κίου Σιμωνίδεω
ἐστὶ σαωτὴρ, ὃς καὶ τεθνηὼς ζῶντι παρέσχε χάριν.»

160,15 μετέχει τοῦ καταλόγου ἀντιπῖπτον λύει· καίτοι οὖν ἀπολογῇ. ὁ δὲ φησὶ, μετέχει τοῦ καταλόγου τῆς διαβολῆς. τὸ δὲ περιέστηκε σημαίνει τὸ εἰς τοὐναντίον συνέβη, ἢ ἀντὶ τοῦ συνηρίθμηται τοῖς κόλαξι. περιέστηκεν αὐτῷ ἀντὶ τοῦ εἰς τοὐναντίον συνέβη, ἢ συνηρίθμηται τοῖς κόλαξι. τὸ

τῶν Πλαταιέων πάθος. τὸ τῶν Πλαταιέων τῶν ὑπ᾽ αὐτοῦ τότε κοσμηθέντων αἰνίττεται τὴν Μαραθῶνα· τότε γὰρ μόνοι οἱ Πλαταιεῖς ἀπήντησαν εἰς τὴν μάχην. τὸ δὲ κοσμηθέντων σημαίνει τὸ ὁπλισθέντων, ἢ στρατηγηθέντων. καὶ Ὅμηρος «Ἀτὰρ ἐπεὶ κόσμηθεν.» λέγει δὲ τὸ περὶ Πλαταιέων γενόμενον ἐρώτημα παρὰ Λακεδαιμονίων ἐν τρίτῃ Θουκυδίδου ἀνακόλουθον. δικασταὶ γὰρ ὄντες αὐτῶν ὡς κατήγοροι ἐβούλοντο αὐτοὺς ἀνελεῖν. ἠρώτων δὲ οἱ καθήμενοι πέντε δικασταὶ, τί τοὺς Ἕλληνας εὖ πεποιήκασι. πρὸς ὃ οἱ Πλαταιεῖς ἀπελογήσαντο, μηδενὸς κατηγοροῦντος αὐτῶν. αἰνίττεται τὴν ἐν Μαραθῶνι μάχην· τότε γὰρ μόνοι οἱ Πλαταιεῖς ἀπήντησαν εἰς τὴν μάχην. διὰ δὲ τοῦ εἰπεῖν τῶν ὑπ᾽ αὐτοῦ τότε κοσμηθέντων ἐμφαίνει ὅτι οὐκ ἂν ἄλλως ἐνίκων, μὴ παρόντος αὐτοῦ. λέγει δὲ νῦν τὸ περὶ Πλαταιέων γενόμενον ἐρώτημα παρὰ Λακεδαιμονίων ἐν τρίτῳ Θουκυδίδης ἀνακόλουθον. δικασταὶ ὄντες αὐτῶν, ὡς κατήγοροι ἐβούλοντο αὐτοὺς ἀνελεῖν. ἠρώτων δὲ οἱ καθήμενοι δικασταὶ, τί τοὺς Ἕλληνας εὖ πεποιήκασι. πρὸς ὃ οἱ Πλαταιεῖς ἔφησαν· οὐδεὶς τῶν Ἑλλήνων κατηγόρηκεν ἡμῶν δι᾽ οὐδεμίαν αἰτίαν πώποτε, δεικνύοντες ἐντεῦθεν τὴν σφετέραν αὐτῶν ἀρετήν. οἰκείως δὲ ἔχει τὸ τῶν Πλαταιέων παράδειγμα· ὡς γὰρ ἐκεῖνοι ἀνέγκλητοι ὄντες ὑπὲρ ἑαυτῶν ἠγωνίζοντο, οὕτω καὶ οὗτοι. κατηγορίας γὰρ οὐδεμιᾶς αὐτοῦ προειρημένης ἐνταῦθα καλῶς ἡμῖν τὸ ζητούμενον, ὅτι κατηγορίαν ὀνομάζει τὰ ἐγκλήματα.

161,1 ἐξ ἀνάγκης τρόπον τινὰ ἀγωνίζεται ἐπειδήπερ οὐ Μιλτιάδης ὑπὲρ αὐτοῦ, ἀλλ᾽ ὁ ῥήτωρ νῦν ἀγωνίζεται. ἔστι δὲ τρόπον τινὰ ἐκείνου ἀπολογία, ἣν ὑπὲρ αὐτοῦ ὁ ῥήτωρ ποιεῖται· ἃ γὰρ ἂν ἐκεῖνος ὑπὲρ ἑαυτοῦ, ταῦθ᾽ ὁ ῥήτωρ ὑπὲρ ἐκείνου προβάλλεται. διὰ τοῦτο εἶπε τρόπον τινὰ ἀγωνίζεται.

161,2 ἐν τοῖς διακόνοις αὐτοῦ πάλιν ψιλὴν ἐμφαίνει τὴν διαβολὴν, ὅτι διάκονον ἁπλῶς ὠνόμασε. φαίη τις ἂν τῶν δικανικῶν ἀνδρῶν καλῶς τὸ τὶς, ἵνα μὴ δοκῇ ἀπὸ τοῦ ἰδίου προσώπου λέγειν. ἀνύειν, οὖν, ᾧ βούλεται, καὶ τιμᾷ τὸν Πλάτωνα.

161,3 τάς τε δίκας καὶ τὰς γραφὰς δίκη καλεῖται κοινῇ μὲν τὸ περί τινος δικάζεσθαι, ἰδίᾳ δὲ ἐπὶ τῶν ἰδιωτικῶν συμβολαίων· γραφὴ δὲ κυρίως μὲν ἡ ἐπὶ τῶν νόμων κατηγορία, καὶ ἡ εἰς δικαστήριον κλῆσις. γραφὰς οὖν

εἶπε πάλιν, ὡς ἐπὶ ἀδικημάτων. ὁ δὲ Πλάτων διαβολὰς πεποίηται, οὐ κατηγορίαν. οὐχ ἁπλῶς δὲ εἶπε τὴν βλάβην, ἀλλὰ καὶ τὸ εἶδος αὐτῆς. δίκη ἡ περὶ ἰδιωτικῶν πραγμάτων κρίσις, γραφὴ δὲ ἡ περὶ δημοσίων.

161,7 ὃν τῶν ἄλλων διαφερόντως ἠξίωσας τιμῆσαι παραδόξως τιμὴν ἐκάλεσε τὸ φανερὰ ποιῆσαι δῆθεν τὰ ἐγκλήματα· ἐπὶ γὰρ καλοῦ τὸ τῆς τιμῆς ὄνομα λέλεκται. τὰς αἰτίας τῶν διαβολῶν.

161,8 πλείστας ἁπάντων ἀναθεὶς τὸ πλῆθος ἐμφαίνει τῶν διαβολῶν καὶ τῶν αἰτιῶν διὰ τῆς λέξεως. ἀργοὺς γὰρ, φησὶν, ἐποίησεν αὐτοὺς, καὶ λάλους, καὶ φιλαργύρους.

161,9 ἐποίει τοιούτους οἷον λάλους, ἢ φιλαργύρους, ἢ τὰ ἄλλα, ἅπερ εἶπεν ὁ Πλάτων.

161,11 τοῖς παρ᾽ ἡμῶν ἐπαίνοις.

161,12 τὸν ἐν Μαραθῶνι ἀγωνισάμενον. τοῦ χοροῦ τάξομεν ἐν ποίᾳ τάξει τοῦ χοροῦ. ποῦ χοροῦ τάξομεν ἐκ μεταφορᾶς τῶν Διονυσιακῶν χορῶν εἴρηται. ὅτε γὰρ εἰσῄεσαν οἱ χοροὶ, πλαγίως βαδίζοντες ἐποιοῦντο τοὺς ὕμνους, καὶ εἶχον τοὺς θεατὰς ἐν ἀριστερᾷ αὐτῶν, καὶ οἱ πρῶτοι τοῦ χοροῦ ἀριστερὸν ἐπεῖχον. ἐπεὶ οὖν εἶπε ποῦ χοροῦ, ἐπήνεγκε καὶ πρὸ τοῦ θεάτρου, εἶτα ἐπειδὴ ἐν μὲν χοροῖς τὸ εὐώνυμον τιμιώτερον, ἐν δὲ πολέμοις τὸ δεξιὸν, ἐπιφέρει πλήν γε οὐκ ἀριστεροτάτης. μᾶλλον ἢ τοῦ δεξιοῦ τοῖς Ἕλλησι κέρως· ἄμφω γὰρ ἔχει ῥήτωρ χρηστὸς καὶ στρατηγὸς ἄριστος. τάξιν τίνα κατά.

161,13 τὴν πρὸ τοῦ θεάτρου ἐν τῇ κρείττονι τάξει. δύο εἰσὶν ἀνδριάντες ἐν τῷ Ἀθήνησι θεάτρῳ, ὁ μὲν ἐκ δεξιῶν Θεμιστοκλέους, ὁ δ᾽ ἐξ εὐωνύμων Μιλτιάδου, πλησίον δὲ αὐτῶν ἑκατέρου Πέρσης αἰχμάλωτος. τινὲς μὲν οὖν φασιν ὅτι δύο ἀνδριάντες ἦσαν ἐν τῷ θεάτρῳ, εἷς μὲν Μιλτιάδου, ἕτερος δὲ Θεμιστοκλέους, καὶ λέγουσιν ὅτι Μιλτιάδου ἐξ ἀριστερῶν, ὁ δὲ τοῦ Θεμιστοκλέους ἐκ δεξιῶν. ἄμεινον οὖν ἡμᾶς ἐξεργάσασθαι ὅτι ὁ χορὸς, ὅτε εἰσῄει ἐν τῇ ὀρχήστρᾳ, ἥ ἐστι θυμέλη, ἐξ ἀριστερῶν αὐτῆς εἰσήρχετο, ἵνα εὑρεθῇ ἐκ δεξιῶν τοῦ ἄρχοντος. τοὺς οὖν καλοὺς τῶν χορευτῶν ἔταττον εἰσιόντες ἐν τοῖς ἑαυτῶν ἀριστεροῖς, ἵνα εὑρεθῶσι

πρὸς τὸν δῆμον ὁρῶντες. φησὶν οὖν οὕτως· τάξομεν τὸν Μιλτιάδην πρὸς τῷ θεάτρῳ, ὅ ἐστιν ἀριστερόν. εἶτα ἐπειδὴ τὸ ἀριστερὸν ἐν πολέμῳ οὐκ ἔστι χρηστὸν, ἀλλὰ τὸ δεξιὸν κάλλιον καὶ ἔντιμον νενόμισται, καὶ ἀνδρείας ἐστὶ τεκμήριον, φησὶν ὅτι ἐν τῷ πολέμῳ οὐκ ἀριστεροτάτης ἦν ὁ Μιλτιάδης, ἀλλὰ τοῦ δεξιοῦ κέρως ἡγεῖτο τοῖς Ἕλλησι. δύο δὲ προειπὼν τὸ ποῦ χοροῦ τάξομεν, ἢ τάξιν τινὰ, τὸ μὲν ὡς ἐν χορῷ, τὸ δὲ ὡς ἐν παρατάξει ἔλαβε· καὶ ἐκεῖ μὲν αὐτὸν ἀριστεροτάτην φησὶν, ἥτις τάξις ἀριστοῦ χορευτοῦ, ἐν δὲ τῇ παρατάξει δεξιοτάτην· αὕτη γὰρ τῶν ἡγεμόνων ἡ τάξις. πλήν γ’ ὅσον οὐκ ἀριστεροτάτης ἀνὴρ μᾶλλον ἢ τοῦ δεξιοῦ τοῖς Ἕλλησι κέρως τοῦτο εἶπεν, ἐπειδὴ γὰρ ἀριστερὰν, ὡς ἔφαμεν, τάξιν ἀπείληφεν ἐν τῷ θεάτρῳ. φησὶ γοῦν ὅτι τούτου μὲν ἐν τῷ θεάτρῳ δικαίως ἔτυχεν, ἄξιος δὲ οὐκ ἀριστεροτάτης ὁ ἀνὴρ τετάχθαι, τῆς δεξιᾶς ἐν τοῖς Ἕλλησι μετασχὼν τάξεως. πλήν γ’ ὅσον ἔνιοι φασὶν ὅτι οὐ μᾶλλον ἀριστεροτάτης ἐν τῷ θεάτρῳ Μιλτιάδης ἐστί.

161,14 εἴ γέ τις αὐτὸν ἐρωτῴη καὶ ἀναποδίζοι καθ’ ἕκαστον ἐξ ἀρχῆς ἰδική ἐστι λέξις τοῦ Πλάτωνος. εἴρηται δὲ ἐπὶ τοῦ ἀνακάμπτειν πολλάκις, τὸ αὐτὸ ἐρωτῶντα πολλάκις καὶ ἀναστρέφειν. καὶ Πλάτων δὲ τὸ αὐτὸ λέγει ῥῆμα πολλάκις.

162,1 ἐκ νέων εὐθὺς καλῶς τὸ ἐκ νέων, ἵνα δείξῃ αὐτὸν ἀεὶ γενναῖον, καὶ οὐ σχεδιάσαντα τὰ κατὰ Μαραθῶνα.

162,2 μετρίας καὶ ἀληθοῦς ἀποκρίσεως ἀντὶ τοῦ συμμέτρου καὶ καλῆς. ἀσφαλῶς δὲ προσέθηκε τὸ ἀληθοῦς, ἵνα μὴ δόξῃ ἐγκωμίου χάριν εἰρηκέναι.

162,3 παραγράψομεν τοῖς ἔπεσι Μιλτιάδου ἀποκρίσεις ἔπη λέγονται καὶ ἀνάπαιστοι καὶ ἴαμβοι, παρὰ τὸ ἕπεσθαι ἀλλήλοις. τοῦτο δὲ εἶπεν, ὡς καὶ τοῦ Μιλτιάδου τὴν σωφροσύνην διδάσκοντος καὶ τὴν δικαιοσύνην. τοῖς ἔπεσι τοῦ Ἀριστοφάνους. λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο ταῦτα Ἀριστοφάνης ἐν ταῖς Νεφέλαις φησὶν, ὡς ἀπὸ προσώπου τοῦ δικαίου λόγου, ἅπερ νῦν ὁ Ἀριστείδης προσέθηκε τῷ προσώπῳ τοῦ Μιλτιάδου, ὡς ἁρμόδια ὄντα αὐτῷ. τὴν ἀρχαίαν δὲ λέγει, τουτέστι τὴν ἀναστροφήν. ἀρχαίαν δὲ εἶπεν, ἵνα διαβάλῃ τὴν νεωτέραν.

162,5 πρῶτον μὲν ἔδει παιδὸς φωνὴν ταῦτα πάντα εἰς τοῦ Πλάτωνος τὴν Πολιτείαν αἰνίττεται. εἶτα βαδίζειν ἐν ταῖς ὁδοῖς εὐτάκτως ἐς κιθαριστοῦ τρεῖς ἐμάνθανον θέσεις, κιθαρίζειν, καὶ νεῖν, καὶ γράμματα. ὕστερον δὲ ἀπ᾽ αὐτῶν κιθαρίζειν εἰς παιδοτρίβου ἐβάδιζον.

162,6 τοὺς κωμήτας ὡς γὰρ ἴσμεν, πολλαχοῦ κατὰ δήμους καὶ χώρας ἔκειτο ἡ Ἀττική.

162,7 ὡς οὐ τὸ παναρμόνιον τὸ παναρμόνιον, τὸ μαλακὸν καὶ ἡδὺ καὶ ἐκ πολλῶν χορδῶν συγκείμενον. ἦσαν δὲ τρία μέλη, Λύδιον, Φρύγιον, Δώριον. ἐκ τούτου δὲ ποικίλον ἐμφαίνει. ἐξηγεῖται δὲ αὐτὸς, λέγων τὸ μὴ πρὸς ἡδονὴν, ἀλλὰ ἢ Παλλάδα περσέπτολιν. εἶδος δὲ τοῦτο ᾄσματος καὶ ἀρχή. τὸν δὲ ποιητὴν αὐτοῦ Ῥοῦφος καὶ Διονύσιος ἱστοροῦσιν ἐν τῇ Μουσικῇ Φρύνιχόν τινα, ἄλλοι δέ φασι Λαμπροκλέα, ἢ Στησίχορον. τὸ δὲ δεινὰν Παλλάδα γελοίως ἀντίκειται. τὸ γὰρ ᾆσμα οὕτως ἔχει· Παλλάδα περσέπτολιν κλεισοπολεμαδόκον, ἁγνὰν παῖδα Διὸς μεγάλου, δαμνοπῶλον, ἄιστον παρθένον. τὸ δὲ τηλέπορον ἢ τὸ πόρρωθεν ποριζόμενον, ἢ τὸ πόρρωθεν ἀκουόμενον. ὡς οὐ τὸ παναρμόνιον τὸ μαλακὸν καὶ τὸ ἡδὺ, τὸ ἐκ πολλῶν χορδῶν συγκείμενον. ἦσαν γὰρ μέλη τρία, τὸ Λύδιον, τὸ Φρύγιον, καὶ τὸ Δώριον. ἐκ τούτου δὲ τὸ ποικίλον ἐμφαίνει. ἐξηγεῖται δὲ αὐτὸς, λέγων τὸ μὴ πρὸς ἡδονήν.

162,8 ἀλλὰ ἢ Παλλάδα περσέπτολιν δεινὰν ταῦτα Ἀριστοφάνους ἐν αὐταῖς κείμενα ταῖς Νεφέλαις. εἶδος δὲ τοῦτο ᾄσματος καὶ ἀρχή. τὸν δὲ ποιητὴν αὐτοῦ Ῥοῦφος καὶ Διονύσιος ἱστοροῦσιν ἐν τῇ Μουσικῇ Φρύνιχόν τινα, ἄλλοι δέ φασι Λαμπροκλέα, ἢ Στησίχορον. τὸ δὲ δεινὸν γελοίως ἀντίκειται. τὸ γὰρ ᾆσμα οὕτως ἔχει, Παλλάδα περσέπτολιν κλεισοπολεμοδόκον, ἁγνὴν παῖδα Διὸς μεγάλα δαμνηπῶλον ἄιστον παρθένον. τηλέπορόν τι βόαμα ἢ τὸ πόρρωθεν ἀκουόμενον, ἢ τὸ πόρρωθεν ποριζόμενον.

162,9 εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτο βωμολοχεύσαιτο, ἀντὶ τοῦ κακουργήσειε, καὶ παρὰ τὸν βωμὸν ἐνεδρεύσειε. παρίσταντο γάρ τινες τοῖς βωμοῖς, καὶ εἴ γέ τι τοῦ θύματος ἐξέπιπτεν, ἥρπαζον καὶ κατήσθιον. ἢ ὅτι ἐν ταῖς τριόδοις οἱ τῆς Ἑκάτης ἵσταντο βωμοὶ, καὶ δραπετεύοντες οἱ

νέοι τὰς διατριβὰς ἐνήδρευον ἐκεῖ. ἢ κάμψειέ τινα καμπὴν τὰ μέλη δηλοῖ τὰ κεκλασμένα καὶ ἔκλυτα καὶ ἀποίητα πρὸς πόλεμον. καμπὴν οὖν λέγει μέλος τὸ κεκλασμένον. οὐ μὴν δῆλον ὡς πρὸς πόλεμον ἐχρῶντο τοῖς μέλεσιν. ὡς εἰ ἔλεγεν· εἰ δέ τις ἐν τῷ λέγειν παρὰ μέλος τι φθέγξοιτο. τὰ μέλη δηλοῖ τὰ κεκλασμένα καὶ ἔκλυτα. ἔστι δὲ ὅμοιον, ὥσπερ ἂν εἰ ἔλεγε παρὰ μέλος ᾖδεν.

162,11 καὶ τὰ ἄλλα δὴ καθ' ἕκαστον πρὸς τὸν ἄδικον λόγον ὁ δίκαιος λόγος. ὁ δὲ Ἀριστείδης εἰς Πλάτωνα αἰνίττεται τῷ εἰπεῖν τῶν δυσχερῶν ὄντων.

162,12 ἀλλ' οὖν τάδ' ἔνεστιν ἐκεῖνα, ἐξ ὧν ἄνδρας Μαραθωνομάχους ἡ ἐμὴ παίδευσις ἔθρεψε οὐδὲν σοφιστικώτερον τοῦ νοήματος, ὡς προμαντευομένου τοῦ κωμικοῦ Μιλτιάδου τὴν στρατηγίαν τοιαῦτα· ὁ Μιλτιάδης οὗτός ἐστιν ὁ δίκαιος λόγος. ἔστι δὲ τὰ ἰαμβεῖα ἐκ τοῦ αὐτοῦ δράματος. ὁ δὲ ῥήτωρ Μαραθωνομάχους εἰπόντος ἴσχυσεν ἁρμόσαι τοὺς λόγους εἰς Μιλτιάδην, ὡς αὐτοῦ κατὰ Μαραθῶνα ἀνύσαντος. πρεσβύτερος δὲ ὁ Μιλτιάδης τοῦ κωμικοῦ.

162,13 οὔτε ἄλλως φαῦλα ἀντὶ τοῦ οὐδὲ αὐτὰ καθ' ἑαυτὰ εὐτελῆ.

162,14 προστάτῃ κατ' ἐκείνους τοὺς χρόνους ὄντι καλῶς πάλιν προστάτην εἶπεν αὐτὸν, οὐ διάκονον, ὡς ὁ κατήγορος ἔλεξε. ταῦτα δὲ πάντα οὐχ ἁπλῶς, ἀλλὰ βαθέως ἐλέχθη. ἀντιπίπτοντα γὰρ ἀναιροῦσιν, ἵνα μὴ εἴποι, ἀλλ' ἐκ τύχης αὐτῷ γέγονε τὰ κατορθώματα. δεικνὺς οὖν ὅτι ἐκ πολλῶν ἦσαν τὸ ἀνδρεῖον μελετήσαντες.

162,15 τοῖς Ἀθηναίοις πάλαι πεπαιδευμένοις τουτέστι καὶ πρὸ τοῦ καιροῦ τοῦ ἀγῶνος καὶ πρὸ τῆς μάχης.

162,16 οὐ γὰρ ἐνῆν ἀπὸ κοινοῦ τὸ προσῆκον. τοῦτο δὲ εἶπεν, ἵνα μὴ δοκῇ τὸ τρόπαιον ἐκ τύχης. οὐ γὰρ ἐνῆν, οὐκ ἐνῆν αὐθημερὸν—ἐν τοῖς ὅλοις ἠγμένους ἐπειδὴ ὁ Πλάτων ἔλεγεν ὅτι κακῶς ἐτράφησαν ὑπὸ Μιλτιάδου, λέγει ὅτι, εἰ κακῶς ἦσαν ἀνατραφέντες, οὐκ ἂν ἐν ἡμέρᾳ μιᾷ ἐγένοντο ἀγαθοί. πάνυ δὲ δεινῶς δείκνυσιν αὐτὸν καὶ ῥήτορα καὶ στρατηγὸν, ἀνηγμένους λέγων.

163,1 ἔδει καὶ τροφῇ χρηστῇ, καὶ λόγοις ἐπιεικέσι, καὶ ἔθεσι μετρίοις καὶ δόξαις ταῖς βελτίσταις πόρρωθεν κατειλῆφθαι τουτέστιν ἐννοίαις καὶ ταῖς γνώμαις, καὶ τῷ νομίζειν αὐτοὺς εἶναι πολεμεῖν καὶ ἀγωνίζεσθαι καὶ μηδὲν νομίζειν καλοῦ καὶ τοῦ δικαίου κρεῖττον εἶναι.

163,2 οὔκουν Δολόπων γε οὐδεὶς ἐπ᾽ ἐκείνην τὴν ἡμέραν ἀπήντησεν Δόλοπες ἦν ἔθνος Θρᾳκικὸν, οἵτινες συνείποντο Δάτι καὶ Ἀρταφέρνει, ἡνίκα ἦλθον ἐπὶ Ἐρέτριαν καὶ Ἀθήνας, ἡνίκα ἐμαχέσαντο μετὰ Μιλτιάδου ἐν Μαραθῶνι. λοιδορεῖ δὲ αὐτοὺς ὁ ῥήτωρ, ἢ ὅτι προδόται ἐφάνησαν κατὰ τῶν Ἑλλήνων, στρατεύσαντες μετὰ τῶν βαρβάρων, ἢ ὅτι κακῶς ἦσαν ἡγμένοι καὶ ἐσκευασμένοι εἰς τὸν πόλεμον. θαυμασίως ὁ ῥήτωρ ἐκ τοῦ ἐναντίου προσώπου τὸ ἐπιχείρημα ἔλαβεν. οἱ γὰρ Δόλοπες ὡς προδόται διαβάλλονται, ἢ ὅτι κακῶς ἦσαν ἡγμένοι. τοῦτο δὲ παρὰ Δημοσθένους ὠφέληται· ἐν γὰρ τῷ περὶ στεφάνου εἶπε, πότερον ἐν τῇ Δολόπων τάξει καὶ Θετταλῶν συγκατακτᾶσθαι.

163,3 οὐ τοίνυν οὐδ᾽ ὁ τοῦ τῶν πολεμίων στρατοπέδου κύριος καὶ ἡγεμὼν Δάτις ἀντιπῖπτον λύει, ἵνα μή τις εἴποι· ἀλλ᾽ οἱ Δόλοπες οὐκ ἀπήντησαν διὰ τὸ ἀσθενές. λέγει οὖν ὅτι οὐδὲ τῶν ἀντιπάλων κύριος ἐτόλμησεν. οὐχ ὡς μόνον δὲ ὄντα σατράπην τὸν Δάτιν εἶπεν· οἵδε γὰρ καὶ Ἀριστείδης ὅτι δύο ἦσαν σατράπαι τοῦ βασιλέως, ὅ τε Δάτις καὶ Ἠνταφέρνης· ἀλλ᾽ ἐπειδὴ τὸν Δάτιν κύριον οἶδε πάντων τῶν πραγμάτων, διὰ τοῦτο αὐτὸν μόνον ὀνομάζει.

163,5 τοὺς ὑφ᾽ αὑτῷ τοσούτους ὄντας τὸ στρατόπεδον δηλοῖ. καίτοι προείρητό γε ὑπὸ τοῦ βασιλέως αὐτῷ στέρεσθαι τῆς κεφαλῆς τοῦτο προσέθηκεν, ἵνα μὴ εἴπῃ τις· ἀλλὰ κατεφρόνησε· προηπείλει γὰρ αὐτῷ θάνατον ὁ βασιλεὺς ἀμελήσαντι.

163,6 εἰ μὴ Ἐρετριέας καὶ Ἀθηναίους ἀγάγοι ἐπὶ τούτους γὰρ μόνους ἔδοξεν ἐκπέμπειν τὴν στρατιὰν, τῷ ἀληθεῖ ἐπὶ πάντας ἐκπέμπων. ἐντολαὶ δὲ πρόσκαιροι ἀντὶ τοῦ νεαροὶ καὶ πρόσφατοι.

163,8 πεπεικὼς ἦν Ἀθηναίους μηδένα δεσπότην πλὴν τῶν νόμων ἡγεῖσθαι τοῦτο καὶ Πλάτων ἐν τοῖς Νόμοις λέγει, ὅτι φόβος τῶν νόμων ὠφέλησεν αὐτούς.

163,10 χείροσι κυρίως φαύλοις καὶ δειλοῖς. ἐπεὶ ναύτας γε οὐκ ἂν ἐξαίφνης οὕτως αὐτοὺς ἐποίησεν εἴποι ἄν τις· τί δήποτε ναύτας ὠνόμασε, πεζομαχίας οὔσης, οὐ ναυμαχίας; φαμὲν οὖν ὅτι καθ' ὑπόθεσιν ἔλαβε τὸ νόημα. ἐπιφέρει γοῦν, εἰ καὶ ναύτας ἔδει γενέσθαι. ὁμοίως δὲ πάλιν καθ' ὑπόθεσιν ἐπήγαγε τὸ μουσικούς. τί μουσικῆς ἦν χρεία πρὸς μάχην;

163,11 οὐδὲ εἰ σφόδρα ἔδει ναύτας ἐκείνην τὴν ἡμέραν εἶναι ὡς ὑπὲρ πατρίδος ἀγωνιζομένους, καὶ ὑπὸ τῶν ἐσχάτων κινδυνευόντας. οὐδέ γε μουσικοὺς, οὐδέ γε ἱππικοὺς πρὸς τὸ καθόλου λέγει, καὶ πρὸς τὸν Μιλτιάδην καὶ τὸ προκείμενον. πρὸς τὸ καθόλου λέγει, οὐ πρὸς τὸν Μιλτιάδην. τὸ δὲ ὁπλίτας ἀγαθοὺς, ὡς πρὸς τὸν Μιλτιάδην, καὶ τὸ προκείμενον.

163,13 ἀλλ' ὥσπερ οἱ γεωργοὶ προσφόρως ἡ παραβολὴ πρὸς τὸν χρόνον τῆς ἐπικαρπίας τῶν πόνων. πολλοστῷ μηνὶ πολλοστῷ εἶπεν, ἐπειδὴ οὐχ ἅμα τῷ σπόρῳ καὶ τῶν καρπῶν ἀπολαύουσι. σημειωτέον δὲ νῦν τὸν χρόνον, ὅτι μετὰ πολὺν σημαίνει. ὁ δὲ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς τὸ πολλοστὸν εἶπεν, ἀντὶ τοῦ τὸ τυχόν.

163,14 τῶν σπερμάτων τὴν ἐπικαρπίαν τὴν τοῦ καρποῦ συναγωγὴν, καὶ τὸ κέρδος, καὶ τὴν ἀμοιβὴν τῶν πόνων. οὐχ ἅμα τῷ καταβαλεῖν ἀντὶ τοῦ σπείρειν. καὶ Μένανδρος
«Τἄλλα δ' ἄν τις καταβάλῃ.»

163,15 παλαιαῖς ὁμολογίαις διδαχαῖς. ὡς ἐπὶ συνθηκῶν εἶπεν ὁμολογίας, καὶ μελέτης τινός. ὁμολογίας δὲ λέγει, ταῖς διδαχαῖς. οὐκ ἐπὶ τῆς χρείας λαμβάνοντας τὰ μαθήματα ἀντὶ τοῦ οὐκ ἐν αὐτῷ τῷ καιρῷ τοῦ πολέμου. ὅρα δὲ πῶς πολλαχῶς τὸ ἀντιπῖπτον λύει τῷ μὴ δοκεῖν ἐκ τῆς τύχης εἶναι τὸ κατόρθωμα.

163,16 τὰ μαθήματα ἡ λέξις Θουκυδιδεία. κεῖται δὲ ἐν τῷ ἐπιταφίῳ «Καὶ οὐκ ἔστιν ὅπως ἀπείργομέν τινα μαθήματος, ἢ θεάματος.» ἀπὸ κοινοῦ δὲ τὸ πεπεικὼς ἦν Ἀθηναίους.

163,18 ἅπασα ἡ Ἑλλὰς κοινοῦ τοὺς καρποὺς ἐκομίζετο οἰκεία ἡ λέξις ὡς πρὸς τὴν παραβολὴν τῆς γεωργίας. λέγω δὲ τὸ ἐκομίζετο· ἐπειδήπερ ὑπὲρ ἁπάντων Ἑλλήνων ἠγωνίζετο.

163,19 ἐξαρκεῖν ἂν ἔμοιγε δοκεῖ τὸ ψήφισμα ἀντ᾽ εἰκόνος αὐτοῦ τῆς ψυχῆς ἅπασιν εἶναι τούτου μέμνηται Δημοσθένης ἐν τῷ παραπρεσβείας. ἐπιόντων γὰρ τῶν Περσῶν ἔγραψε μὴ περιμεῖναι τοὺς Ἕλληνας, ἀλλὰ καταλεῖψαι τὴν πόλιν τῷ θεῷ, πρεσβύτας δὲ καὶ γυναῖκας φυλάττειν τὰ τείχη, τὴν δὲ νεότητα πᾶσαν ἐπὶ Μαραθῶνα δραμεῖν. εἰκόνα δὲ τῆς ψυχῆς λέγει τὸ ψήφισμα. εἰκότως· αἱ γὰρ πράξεις εἰκόνες καὶ σύμβολόν εἰσιν. ἔγραψε δὲ εἰς τὸ ψήφισμα, αὐθημερὸν ἐξελθεῖν.

164,1 τῶν μὲν ἡμετέρων λόγων καὶ συγγραμμάτων τὸ φρόνημα καὶ τὴν ῥώμην ἀξιώσομεν εὐδοκιμεῖν πλαγίως πλήττει τὸν Πλάτωνα, ὡς ἐν τοῖς συγγράμμασι καὶ τοῖς λόγοις μόνον φρόνημα σώζοντα. δεινῶς δὲ οὐκ ἐπὶ μόνου τοῦ Πλάτωνος, ἀλλὰ καθόλου τῶν φιλοσόφων.

164,4 τῶν ἐπιεικεστέρων τῶν φιλοσόφων. καὶ ἀρίστων ἀνδρῶν.

164,5 τὸ ψήφισμα, ὃ παρ᾽ αὐτοὺς τοὺς κινδύνους συνεγράψατο τὸ μικρὸν ἀνωτέρω εἰρημένον. πάλιν δὲ λελεθότως καθάπτεται Πλάτωνος, ὅτι ἀκινδύνως φιλοσοφεῖ. ὃ παρ᾽ αὐτοὺς τοὺς κινδύνους συνεγράψατο ὡς συγγραφὴν εἶπε τὸ ψήφισμα, δηλῶν τὸ ὠφέλιμον αὐτοῦ.

164,6,7 εἰ προγόνους ἄξιον τιμᾶν, πῶς οὐκ ἄξιον Μιλτιάδην, ὥσπερ πρόγονον κοινὸν τῶν μετ᾽ ἐκείνους τοὺς χρόνους Ἑλλήνων; προγόνους εἶπεν, ἐπειδὴ ὁ Πλάτων ἐν τῷ δ′ λέγει τῷ Εὐθύφρονι περὶ ὁσίου διαλαμβάνων, ὡς δὴ πλεῖστον ἔχειν σέβας περὶ τοὺς πατέρας. καὶ ἀλλαχοῦ δὲ, ὅτι δεῖ προγόνους τιμᾶν. τοῦτον δὲ κοινὸν πρόγονον εἶπεν, ἐπειδήπερ ἀπὸ μεγίστων κινδύνων αὐτοὺς ἐρρύσατο. καὶ δῆλον ὅτι ὅμοια τῶν προγόνων αὐτὸς ἐχαρίσατο αὐτοῖς. οἱ μὲν γὰρ προήγαγον εἰς φῶς, ὁ δὲ παρέσχεν ἀπολαῦσαι τοῦ φωτὸς ἐλευθέρως καὶ ἀδεῶς.

164,7 μετ᾽ ἐκείνους τοὺς χρόνους τοὺς ὅτε ἔσωσε τοὺς Ἕλληνας· ἐκ τῶν γὰρ ὑπ᾽ ἐκείνου σεσωσμένων οὗτοι γεγόνασιν.

164,9 οὗτός ἐστι φανερώτατα τῶν ἄνω πάντων δηλονότι πρόγονος. καλῶς δὲ τὸ τῶν ἄνω πάντων εἶπε, προδιορθούμενος ἑαυτὸν, ἐπειδὴ μέλλει ἐξαίρειν Θεμιστοκλέα καὶ λέγειν ὡς οὐδείς πω τοιοῦτος γέγονεν· ὅ φησιν

ἐν τῷ Κίμωνι, οὐκ εἰσὶ τῶν Ἑλλήνων οὐδενί πω πλείους οὐδὲ ὀνομαστότεραι πράξεις ἐν τῇ ὑπερορίᾳ.

164,10 εἰ τοίνυν καὶ Σόλωνα καὶ Λυκοῦργον ἐπαινοῦμεν κατὰ τοὺς νόμους, οὓς ἔθηκαν φαίνεται πολλάκις ὁ Πλάτων ἐπαινέσας καὶ Σόλωνα καὶ Λυκοῦργον, ὡς νόμους πρὸς ἀνδρείαν νομοθετήσαντας. τοῦτο οὖν νῦν ἐπήγαγε, δεικνὺς τὸν Πλάτωνα ἑαυτῷ μαχόμενον.

164,11 πῶς οὐ δίκαιον Μιλτιάδην ἐπαινεῖν, ὃς ἔργῳ τοῦτον ἔθηκε τὸν νόμον μείζονα τὸν Μιλτιάδην καὶ τῶν νομοθετούντων ἀποφαίνει, ὅτι οἱ μὲν λόγῳ, οἱ δὲ δὲ ἔργῳ ἐνομοθέτησαν. χειρόνων δὲ, τῶν βαρβάρων, καθόλου τῶν φαύλων.

164,12 σκεψώμεθα γὰρ δὴ παρὰ τὸν Λυκοῦργον τὸν Μιλτιάδην ζητεῖται διὰ τί ἀνωτέρω Σόλωνος πρῶτον ἐμνήσθη, ἐνταῦθα δὲ τὸν Λυκοῦργον προτάττει, καίτοι Ἀθηναῖος ὁ Σόλων; φαμὲν οὖν ὅτι Λακεδαιμονίων ἐπαινέτης ὁ Πλάτων, καὶ διὰ τοῦτο πρὸς Λυκοῦργον αὐτὸν ἐξετάζει.

164,14 Λυκοῦργος μὲν τοίνυν μόνῳ Λυκούργῳ ἀντεξετάζει νῦν Μιλτιάδην, ἐπειδὴ οἶδε Πλάτωνα ἐπαινοῦντα τὸν Λυκοῦργον.

164,16 καθάπερ τις γυμναστὴς οἰκεῖον τὸ παράδειγμα· περὶ ἀνδρείας γὰρ διαλεγόμενος παρεισήγαγε γυμνασίαν.

164,17 Μιλτιάδης δὲ πρὸς τῷ τὰ βέλτιστα ἐθίσαι δείκνυσι καὶ τοῦ Λυκούργου τὸν Μιλτιάδην καλλίονα, σιωπῶν τότε βελτίονα αὐτὸν εἰπεῖν. λέγει γὰρ ὅτι ὁ μὲν ἀνδρείους αὐτοὺς ἐποίησεν, ὁ δὲ καὶ ποιήσας καὶ ὑπῆρχεν ἀνδρεῖος.

165,1 οὕτως οὐ πολλῷ τινι τοῦ Λυκούργου δεύτερος ἡμῖν φαίνεται γεγονὼς τοῦτο ἠθικώτερον· διὰ γὰρ τῶν πραγμάτων βελτίω ἀποφαίνων αὐτὸν, φησὶ τὸν τούτων μὴ πολὺ δεύτερον. ἠθικὸν οὖν τὸ σχῆμα· δέον γὰρ εἰπεῖν οὐ χείρω κρείττων ἦν· εἶπε δὲ οὐ πολλῷ χείρων ἦν.

165,3 ἐπιτηδεύμασι καὶ τέχναις κυρίως ἐπιτήδευμά ἐστι τὸ ἀγοράζειν καὶ μεταπωλεῖν. τέχνη δὲ, οἷον χαλκευτικὴ, καὶ σκυτοτομικὴ, καὶ τὰ τοιαῦτα. οἱ μὲν ὡς ἄρξαντες ἐτιμήθησαν ἀντὶ τοῦ ἀρχὴν ὑποδείξαντες, ὥσπερ ὁ Κόραξ τὴν ῥητορικήν.

165,4 οἱ δὲ ὡς ὑπερβαλόμενοι τουτέστι τέλειοι γενόμενοι, τῷ μιμήσασθαι δηλονότι τοὺς εὑρόντας. Ὅμηρον δ' ἐπαινοῦσιν, ὡς αὐτὸν ἀρξάμενόν τε καὶ ἀπεργασάμενον ὡς κάλλιστα ποίησιν ἀρχαιότατος δέ ἐστιν ὁ Ὅμηρος, ὡς ἴσμεν. εἰ δέ τις εἴποι· καὶ μὴν πρὸ αὐτοῦ γέγονεν Ὀρφεύς· λέγομεν ὅτι ὁ Ὀρφεὺς πρὸ αὐτοῦ γέγονε, τὰ δὲ δόγματα Ὀρφέως Ὀνομάκριτος μετέβαλε δι' ἐπῶν, χρόνῳ ὕστερον Ὁμήρου γενόμενος. καὶ Αἰσχίνης δὲ ἐν τῷ κατὰ Τιμάρχου φησὶ «Λέξω περὶ Ὁμήρου, ὃν ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν εἶναι τάττομεν.» τὸν Μιλτιάδην δὲ τῷ Ὁμήρῳ παραβάλλει, ἔνδοξον αὐτὸν ἀποδεικνὺς, καὶ ἔνδοξον παρατιθεὶς πρόσωπον, ἢ ὅτι κυρίως ποίησίς ἐστιν ἡ μετὰ μιμήσεώς τινος καὶ οἰκονομίας καὶ διασκευῆς καὶ μύθων ἐν ἔπεσι τάξις, ἅπερ ἐξαιρέτως Ὅμηρος ἐπετήδευσε, καὶ κατέδειξε πρῶτος. ὅσοι δὲ πραγματείας ἑτέρας ἔγραψαν, ἐποποιοὶ καλοῦνται· ἢ γὰρ περὶ ἀστρονομίας, ἢ φυσικάς τινας, ἢ ἱερὰς ἔγραψαν βίβλους. ὅτι δὲ καὶ ἀρχαιότερος μαρτυρεῖ καὶ Ἀνδροτίων καὶ Αἰσχίνης καὶ Ἡρόδοτος.

165,6 οὔκουν ὅσους γε ἀπὸ τῶν ἄλλων πόλεων ἔχομεν λέγειν θαυμασίως προσέθηκεν ἀπὸ τῶν ἄλλων πόλεων, ἵνα μὴ δείξῃ αὐτὸν καὶ Θεμιστοκλέους. ἀλλὰ πάλιν εἰς Λακεδαίμονα αἰνίττεται, εἰπὼν ἀπὸ τῶν ἄλλων πόλεων. Θεμιστοκλῆς γὰρ Ἀθηναῖος ὢν ὑπερεβάλλετο τοῦτον.

165,7 μὴ τῶν αὐτῶν ᾖ λείπει ἀνδρῶν. μήτε Ὅμηρον δέχεσθαι τῇ πόλει ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ λέγει ὅτι δεῖ, μυρίσαντας καὶ στέψαντας Ὅμηρον ἐκβαλεῖν τῆς πόλεως· μυρίσαι μὲν καὶ στέψαι, ὡς ποιητὴν, ἐκβαλεῖν δὲ, ὅτι ἔβλαπτε διὰ τῶν μύθων τοὺς νέους, λέγων «Οὐδέποτ' ἠρασάμην Ἰξιόνης ἀλόχου» καὶ «Ἦ ῥα καὶ ἀγκὰς ἔμαρπτε.» καὶ ἄλλως δὲ φιλοσωμάτους γὰρ τοὺς ἀνθρώπους ἐποίει λέγων· ὡς ἀπ' Ἀχιλλέως ἥρωος τηλικούτου βουλοίμην καὶ ἐπ' ἀρουρέων θητευέμεν ἄλλῳ ἀνδρὶ παρακλήρῳ· θέλει οὖν εἰπεῖν ὅτι οὐδὲν μέγα, εἰ σκώπτων Ὅμηρον διαβάλλει καὶ Μιλτιάδην.

165,8 εἶτα ἐρωτᾷ Πλάτων, τίνα βελτίω Μιλτιάδης ἐποίησεν τοῦτο οὐ περὶ μόνου Μιλτιάδου φησὶν, ἀλλὰ περὶ τῶν ἄλλων.

165,9 τίνα μὲν οὖν, ὦ Πλάτων, χείρω Μιλτιάδης ἐποίησεν ἐκ τοῦ ἀντικειμένου πρῶτον ἐρωτᾷ δεικνὺς ὅτι, εἰ καὶ μὴ βελτίους, ἀλλὰ χείρους μὴ ποιήσας, κακῶς ἀκούειν οὐκ ὤφειλεν. εἶτα ὅτι καὶ βελτίους ἐποίησεν ἀποδείκνυσι. σοφισμὸς δὲ ἡ ἀντερώτησις, καὶ ἐκ τῶν ἐναντίων ἡ λύσις. πρῶτον δὲ αὐτὴν λαμβάνει ἐξ ἀναιρέσεως τοῦ φαύλου, ὡς καὶ τοῦτο ἐπαινοῦντος τοῦ Πλάτωνος, τὸ μηδὲν βλάψαι.

165,12 καὶ δή σοι λαμπρῶς ἀποκρινοῦμαι τίνα βελτίω Μιλτιάδης ἐποίησε λαμπρῶς ἀντὶ τοῦ φανερῶς. καὶ Θουκυδίδης «Καὶ λελυμένων ἤδη λαμπρῶς τῶν σπονδῶν.» καὶ Δημοσθένης. ἐπειδὴ δὲ οὐκ ἦν ἐγκώμιον τέλειον τὸ μηδένα βλάψαι, ἀναγκαίως ἐπάγει καὶ τὸν ἔπαινον τοῦ Μιλτιάδου, καὶ τὴν ὠφέλειαν, ἣν ἐπαίδευσε τοὺς πολίτας. τοῦτο δὲ ἐπήγαγεν, ὡς ἐρωτήσας τὸν Πλάτωνα, τίνα ἔβλαψεν ὁ Μιλτιάδης, κἀκείνου μὴ δυναμένου ἀποδεῖξαι.

165,13 ὥσπερ οἱ περὶ μικρῶν ἔργων ἐρευνῶντες μικρὸν γὰρ δοκεῖ τὸ κατὰ μέρος ζητεῖν. εἴ μοι δίδως εἰπεῖν ὡς ὑποστελλόμενος λέγει ὁ Ἀριστείδης τὸν Πλάτωνα, ἢ ὡς προσλαμβάνων τὴν ὑπερβολὴν τῶν λεχθησομένων, ἢ τάχα τὸν φθόνον δηλοῖ πάλιν, ὡς διὰ τοῦτο μὴ βουλομένου τοῦ Πλάτωνος ὁμιλεῖν τὰς τοῦ ἀνδρὸς ἀρετάς.

165,14 ὡς πόλιν εἰπεῖν λέγω, καὶ ὡς δῆμον λέγω δεινῶς προσέθηκε τὸ ὡς· ἐπειδὴ γὰρ οὐ δυνατὸν ὠφελεῖν πόλιν ὅλην ἀκριβῶς ἐξ ἀρετῆς, διὰ τοῦτο εἶπε τὸ ὡς ἀπὸ τοῦ πλείονος ὁριζόμενος. ἀμέλει ἐπήγαγε πάλιν τὸ ὡς δῆμον· οὐ γὰρ δυνατὸς ὅλον δῆμον ὠφελεῖν.

165,15 ὡς τὸ κοινὸν εἰρῆσθαι ἀντὶ τοῦ ὡς λέγομεν τὸ κοινὸν ὠφέλησεν ἐν τῇ συνηθείᾳ. καίτοι ἀδύνατον τὸ κοινὸν καθολικῶς ὠφελεῖν. οὕτως οὖν, φησὶ, καὶ Μιλτιάδης τὸ κοινὸν ὠφέλησεν.

165,16 μηδὲ ὥσπερ τὰς τοῦ Γηρυόνου κεφαλὰς, ἴσους δι᾽ ἁπάντων οἵου δεῖν ἐφεξῆς εἶναι ὁ Ἡσίοδός φησι τὸν Γηρυόνα τρεῖς κεφαλὰς ἐσχηκέναι, λέγων τρικέφαλον Γηρυονῆα. ἀστείως δὲ ὁ Ἀριστείδης τῷ μύθῳ δείκνυσι τὸ παράδοξον, λέγων ὅτι οὐ δεῖ ἀπαιτεῖν Ἀθηναίους ἴσους πάντας εἶναι. διαβάλλει δὲ τὸ τοῦ Γηρυόνου ὡς ποιητικὸν καὶ οὐκ ἀληθές. ἀλλὰ καὶ χείρους τινὰς λίπε χείρους νῦν λέγει τοὺς ἐλάττονας, καὶ οὐ πάντας

ἴσους, ἐπειδήπερ οὐδὲ πάντες ὅμοιοί εἰσι. τὴν δὲ φύσιν αἰτίαν δείκνυσι λεληθότως, μεταστατικῶς ἀπολογούμενος, δι᾽ ἣν οὐκ ἠδύνατο Μιλτιάδης πάντας ποιῆσαι ἀγαθοὺς Ἀθηναίους.

166,1,2 οὔκουν οὐδ᾽ ἐν πόλει πάντες—ἴσοι καὶ παραπλήσιοι τὸ ἄνισον κατασκευάζει τῆς γνώμης, ἀπὸ τοῦ ἀνίσου τῶν σωμάτων.

166,3 οἱ μὲν χείρους χείρους τοὺς ἐλάττονας λέγει, καὶ τοὺς φαύλους. οὕτω καὶ δῆμος οὐκ ἄν ποτε εἷς ἀκριβῶς γένοιτο ἀντὶ τοῦ ἴσος καὶ ὅμοιος· ὡσανεὶ ἔλεγεν· οὐκ, ἐπειδὴ ἑνικὸν τοὔνομα ὁ δῆμος, ἤδη καὶ μίαν ἔχει τὴν γνώμην.

166,4 ἀνάγκη τοὺς μὲν χεῖρον, τοὺς δὲ βέλτιον ἔχειν πρὸς αὐτὸ τὸ πείθεσθαι τοῖς προεστῶσιν πάλιν μεταστατικῶς ἀπολογεῖται ἐπὶ τοὺς μαθητὰς μεταφέρων τὴν αἰτίαν τοῦ μὴ πεῖσαι, ὡς αὐτῶν μὴ πεισθέντων διδαχθῆναι τὰ χρήσιμα. προεστῶσι δὲ λέγει, τοῖς στρατηγοῖς, τοῖς δημαγωγοῖς. τοῖς πρώτοις τοῖς προεστῶσιν.

166,5 οἷου τοίνυν καὶ Μιλτιάδου θαυμασίως τὴν μετάστασιν ἐπὶ τὸν ἀκροώμενον μετήνεγκε. παραλλὰξ δὲ τὸ χεῖρον καὶ ἧττον, καὶ τὸ διάφορον τοῦ μέσου, δεικνὺς ὅτι οὐδὲ τὸ μέσον δύναται διόλου.

166,7 οὔτοι πάντας οὐδ᾽ ὁ ἥλιος οἷός τ᾽ ἐστὶ θερμαίνειν ἀπὸ τοῦ μείζονος ἡ ἀπόδειξις. μεσημβρίας δὲ, ἀντὶ τοῦ ἐν τῷ μέσῳ τῆς ἡμέρας. ὑπερβολικὸν καὶ καταβολῆς τῆς ἐπισημασίας, καὶ τοῦ σπέρματος, καὶ τοῦ νοσήματος. καὶ Δημοσθένης· ὅτι ὥσπερ περίοδος ἡ καταβολὴ πυρετοῦ. ὅταν γὰρ πλεονάζῃ τινὶ ψῦχος, κἂν ἐν ἡλίῳ καθίζοι, πλέον ῥιγοῖ.

166,8 τῆς καταβολῆς τοῦ πυρετοῦ.

166,10 οὐδὲ τοὺς ἵππους τοὺς Θετταλοὺς ἐφεξῆς ἅπαντας ἀρίστους εὑρήσεις, οὐδὲ τὰς κύνας τὰς Λακαίνας δεινῶς ὁ ῥήτωρ καὶ ἀπὸ τῶν λόγων τὸν λόγον τὸν ἑαυτοῦ συνίστησι. τοῦτο δὲ ἀπὸ χρησμοῦ εἴληπται· ἵππον γὰρ Θεσσαλὸν, Λακεδαιμονίην τε γυναῖκα. σώζεται δὲ τοὔνομα ἀντὶ τοῦ ἡ δόξα τοῦ γένους, καὶ οὐ τὸ μέρος, εἰ τύχοι, φαῦλον ἀναιρεῖ τὸ ὅλον.

166,12 πῶς ἔπραττον κατ᾽ ἐκείνους τοὺς χρόνους κοινῇ ὡς ὕστερον ἴσως μεταβληθέντων μετὰ Μιλτιάδην· χρόνος γὰρ πολὺς μεταξὺ βέβηκεν.

166,13 ὥσπερ που καὶ φαμὲν πόλιν εὐνομεῖσθαι καλοὺς νόμους ἔχουσαν. καίτοι γ᾽ οὐ δυνατὸν γενέσθαι πόλιν τοιαύτην, ἐν ᾗ πάλιν εἰς τὴν Πλάτωνος αἰνίττεται Πολιτείαν.

166,14 μηδ᾽ ἁμαρτάνει μηδεὶς ἐνταῦθα τὸ βούλεσθαι λέγειν, συλλογισμοὺς φιλοσόφους ἅμα καὶ σκώπτει. καὶ μὴν καθ᾽ ὑμᾶς τοὺς σοφοὺς ἔχοι τις ἂν ὅρα πῶς φανερῶς εἰς τὸν Πλάτωνα ἀποτείνεται. βούλεται δὲ δεῖξαι σοφιζόμενος τοὺς φιλοσόφους καὶ οὐκ ἀληθεῖς αὐτῶν τοὺς συλλογισμοὺς ὄντας· ἐχόμενα γὰρ ἀλλήλων λέγουσι· καὶ αὐτὸς τοῦτο ἐπάγων εὐθέως. ἐντεῦθεν δεικνύει τοὺς φιλοσόφους σοφιζομένους καὶ οὐκ ἀληθεῖς τοὺς συλλογισμοὺς ποιουμένους.

167,1 ἀλλ᾽ οὔτε τοῦτο οἶμαι δυνατὸν δείκνυσι τὸν συλλογισμὸν λόγῳ μὲν δυνατὸν γενέσθαι, ἔργῳ δὲ οὐδὲ ὅλως ἐνδεχόμενον.

167,2 τὸ κοινὸν σχῆμα τῆς πολιτείας ἐξετάζων πάλιν ἀπὸ τοῦ πλείονος καὶ τὸ μερικὸν συλλογίζεται. λέγει δὲ κοινὸν σχῆμα τὸ εἶδος αὐτό.

167,3 πρὸς τὰς ἄλλας πόλεις τὴν πόλιν κρίνων πόλιν λέγει τὴν Πολιτείαν, ἣν συνέγραψε. κρίνων δὲ, ἀντὶ τοῦ συνέγραψε. τὰ μὲν τοῖς νόμοις οἶμαι καὶ τοῖς ἔθεσι λογίζῃ τὰ μὲν λέγει, τὰ καλῶς πραττόμενα. ἄλλοι δὲ, ἀντὶ τοῦ ἅπερ ἕκαστοι κατὰ τοὺς ἑαυτῶν νόμους πράττουσι, ταῦτα ἐπαινεῖς, ὦ Πλάτων· ὡς ἔστιν ἔθος παρὰ Πέρσαις τὰς ἀδελφὰς γαμεῖν.

167,4 τὰ δὲ ταῖς τῆς φύσεως ἀνάγκαις ἀποδίδως μεταστατικῶς πάλιν ἐπὶ τὴν φύσιν μεταφέρει τὴν αἰτίαν τῶν φαύλων.

167,5 καὶ μὴ καθ᾽ ἕκαστον, ὥσπερ τοὺς θεσμοθέτας, ἀνακρίνῃς τοῦτο εἶπεν, ὅτι τὸ λεχθὲν κοινῶς εἶπε περὶ πάντων τῶν Ἑλλήνων. πολλὴ δὲ δοκιμασία ἐγίνετο τῶν θεσμοθετῶν Ἀθήνησιν, ὡς καὶ Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην· διὸ δοκιμασθέντας ἄρχειν, καὶ ἐν τῇ βουλῇ καὶ ἐν τῷ δικαστηρίῳ· ἄλλοι δέ φασιν ὅτι ἓξ οἱ πάντες ὄντες θεσμοθέται καθ᾽ ἕνα ἐδοκιμάζοντο.

167,10 σκόπει δ’ ἐξ ὧν αὐτὸς ὡρίσω πάλιν αὐτὸς συλλογίζεται ἐκ τῶν αὐτοῦ λόγων.

167,11 εἰ μή τι ἀπὸ τῆς ἀνάγκης συμβαίνοι ἀνάγκην λέγει τὴν ἀπόδειξιν· ἔστι γὰρ ὑπὸ τῆς ἀνάγκης συντίθεσθαί τινα καὶ μὴ βουλόμενον· οὐδὲ γὰρ, ἐὰν εἴπῃ τις τὸν λίθον ἀναίσθητον, ἀντιλέγει τις πρὸς αὐτόν.

167,12 τῇ ῥητορικῇ χρηστέον πρὸς τὸ δίκαιον ἀεὶ ὥστε οὐχ ἡ ῥητορικὴ φαῦλον, ἀλλ’ ὁ κακῶς αὐτῇ χρώμενος.

167,17 οὐ δικαίως μὲν ἅπαντα πραττόμενα ἐπαινεῖς, ὡς ἑτέρως δὲ ψέγεις; ὥσπερ εὐτελίζων ἐστὶ τὴν τοῦ Πλάτωνος Πολιτείαν, ὡς περὶ μόνον καταγινομένην τὸ δίκαιον, καὶ μήτε τὸ συμφέρον, μήτε ἄλλο τι χαρακτηρίζουσαν.

167,18 ἔχε δὴ κάτεχε, φησὶ, τὰ σὰ ῥήματα. μὴ γὰρ ὥσπερ ἐν νυκτομαχίᾳ τῶν φίλων ἁπτώμεθα ἐν τῷ Σικελικῷ πολέμῳ ἐβουλήθησαν προσελθεῖν τοῖς τείχεσι τῶν Συρακουσίων οἱ Ἀθηναῖοι· ὃ δὴ καὶ ἐποίησαν, προσελθόντες ἐν νυκτί· καὶ ἡγουμένου ἤρξαντο οἱ μὲν Δωριεῖς Μεσσηνίων οἱ ἐν Ναυπάκτῳ, ἢ καὶ Κερκυραῖοι, ἄλλην ἐν τῷ παιωνίζειν ἀφιέναι φωνὴν, ἑτέραν δὲ οἱ Ἀθηναῖοι. ταραχθέντες δὲ ἐπὶ τούτῳ μικροῦ δεῖν ἅπαντες ἀπώλοντο. λέγει οὖν ὁ Ἀριστείδης ὅτι, Πλάτων, βλέπε, μὴ, ὥσπερ οἱ Ἀθηναῖοι ἐπελθόντες τοῖς τείχεσι τῶν Συρακουσίων οὐδὲν ἔπραξαν διὰ τὴν ταραχὴν, πλὴν τοῦ διαφθεῖραι ἑαυτούς τε καὶ τοὺς φίλους, οὕτως καὶ σὺ κατηγορήσας τῶν τεσσάρων στρατηγῶν ἐξ ἀγνοίας ἅψῃ τῶν φίλων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· καὶ ἡμεῖς, φησὶ, φίλοι ἐσμέν σου, ὦ Πλάτων, καθὸ τοῦ δικαίου ἀμφότεροι μεταποιούμεθα, καὶ ὅτι αὐτὰ, σύ τε καὶ οἱ στρατηγοὶ πεπόνθατε. ὅρα οὖν μὴ ὥσπερ ἐν νυκτομαχίᾳ, τουτέστι μὴ ἀγνοοῦντες ὅτι τὰ αὐτὰ λέγομεν, καθ’ ἡμῶν αὐτῶν γενώμεθα.

167,19 τοὺς ἐπιόντας ἐχθρούς. τόν γε Ἕλληνα δήπουθεν ἀπὸ τοῦ προσώπου ἡ διαφορά· ὅτι δεῖ τὸν Ἕλληνα τοῦ Ἕλληνος πλείω ποιεῖσθαι λόγον· λείπει γὰρ τοῦτο, τοῦ Ἕλληνος ποιεῖσθαι λόγον. Μιλτιάδης τοίνυν ἄξιον ζητῆσαι διὰ τί οὐκ ὠνόμασε Περικλέα, ἢ Κίμωνα, ἢ Θεμιστοκλέα, ἀλλὰ Μιλτιάδην. καὶ λέγομεν· ἐπειδὴ τύραννος ἦν Χερρονήσου, τυράννου δὲ ἴδιον τὸ δεινὰ ποιεῖν, διὰ τοῦτο ὠνόμασε Μιλτιάδην.

168,1 οὐδὲν πρότερον τῆς κοινῆς σωτηρίας ἐποιήσατο δεινῶς· ὡσανεὶ ἔλεγεν· ὅρα, Πλάτων, Μιλτιάδην τὰ σὰ διαπραττόμενον.

168,2 οὐδ᾽ ἀνεβάλλετο εἰς ἕτερον καιρὸν τὴν ἀρετὴν δεῖξαι τὴν ἑαυτοῦ οὐχ ὥσπερ σὺ, ὦ Πλάτων, εἰς τὴν ὑστεραίαν ἀνεβάλου δηλώσειν τὰ περὶ τῶν στρατηγῶν, οὕτω καὶ Μιλτιάδης μετὰ χρόνον τὴν αὐτοῦ ἀρετὴν ἔδειξεν, ἀλλὰ παραχρῆμα. καίτοι παρῆν αὐτῷ, μὴ πρὸς τὸ βέλτιστον ἀντιπῖπτον λύει, ἵνα μὴ εἴπῃ τις· ἀλλ᾽ οὐκ ἠδύνατο. λύσις ἀντιπίπτοντος, ἵνα μὴ εἴπῃ τις· ἀλλ᾽ οὐκ ἐδύνατο.

168,3 ἀλλὰ ταὐτὰ τοῖς τυράννοις διώκοντι Δόλογγοι καὶ Ἀψίνθιοι ἔθνη ὅμορα περὶ τὸν Ἑλλήσποντον. οἱ δὲ Δόλογγοι κατεπολέμουν τοὺς Ἀψινθίους. ἐρωτῶσιν οὖν τοῖς Ἀψινθίοις τὸν θεὸν, πῶς ἂν ἀπαλλαγῶσι τῶν κακῶν, ἔχρησεν αὐτοῖς ὅτι τὸν πρῶτον ὑποδεχόμενον ὑμᾶς Ἀθήνησιν αὐτὸν ἐκεῖνον στήσατε τύραννον. ἀκούσαντες τοῦτο οἱ Ἀψίνθιοι ἤρξαντο περινοστεῖν τὰς πόλεις· καὶ τέλος ἐλθόντας αὐτοὺς εἰς Ἀθήνας ὑπεδέξατο ὁ Μιλτιάδης· ἐκ τούτου οὖν ἔγνωσαν ὅτι ὁ χρησμὸς τοῦτον δηλοῖ. εἶτα διελέχθησαν αὐτῷ περὶ τούτου. ὁ δ᾽ οὐκ ἠβουλήθη, ἀλλὰ λέγει Ἀψινθίους, ὅτι πέμψαντες εἰς Πυθίαν μάθετε ἀκριβέστερον εἰ περὶ ἐμοῦ λέγει ὁ χρησμός. πέμψαντες οὖν αὐτὸν εἶπεν ὅτι καὶ περὶ αὐτοῦ λέγει. ἀκούσας τοῦ χρησμοῦ πάλιν Ἀψινθίοις λέγει ὁ Μιλτιάδης ὅτι, ἐὰν κελεύσῃ πόλις, γίνομαι. κελευσάσης οὖν τῆς πόλεως, ἐγένετο τύραννος, καὶ ποταμοῦ ὄντος τοῦ διορίζοντος τοὺς Δολόγκους καὶ τοὺς Ἀψινθίους, ἐτείχισεν αὐτὸν, ὅπως ἂν μὴ βλάπτοιντο οἱ Ἀψίνθιοι ὑπὸ τῶν Δολόγκων. εἰ μὲν ἐβούλετο μετὰ Ἱππίου καὶ τῶν Πεισιστρατιδῶν συνεπιστρατεύειν ἐπὶ τὴν Ἑλλάδα ὁ Θουκυδίδης φησὶν ὅτι ἐκπεσὼν τῆς τυραννίδος ὁ Ἱππίας μνησικακῶν ἀνῆλθε πρὸς Δαρεῖον, ἔχων, εἰς τὸ προδοῦναι, καὶ ἔπεισεν αὐτὸν κατὰ τῆς Ἑλλάδος στρατεῦσαι. καὶ Ἡρόδοτος δὲ τὸ ὅμοιον λέγει. τύραννοι δὲ καὶ οἱ Πεισιστρατίδαι, ὡς ἴσμεν ἐκ τῶν Θουκυδίδου. ἐκβληθέντες δὲ παρὰ τῶν Ἀθηναίων ἐστράτευσαν κατ᾽ αὐτῶν. μετὰ Ἱππίου ἐκπεσὼν τῆς τυραννίδος ὁ Ἱππίας μνησικακῶν ἦλθε πρὸς Δαρεῖον, καὶ ἔπεισεν αὐτὸν κατὰ τῆς Ἑλλάδος στρατεῦσαι.

168,4 τῶν Πεισιστρατιδῶν τύραννοι καὶ οἱ Πεισιστρατίδαι· ἐκβληθέντες δὲ παρὰ τῶν Ἀθηναίων ἐστράτευσαν κατ᾽ αὐτῶν. εἰ δὲ ἐβούλετο μετ᾽

Ἀλευαδῶν ἐκ Θετταλίας ἀπὸ κοινοῦ τὸ συνεπιστρατεύειν.

168,5 οἶμαι δὲ οὐδ᾽ ἂν ἐκ Λακεδαίμονος τῶν ταὐτὰ βουλομένων ἠπόρησε εἰς Δημάρατον αἰνίττεται τὸν Λακεδαιμόνιον. δεινῶς δὲ καὶ καθαπτόμενος τοῦ Πλάτωνος ὠνόμασε Λακεδαιμονίων, ὧν ἦν ἐπαινέτης. εἰς Δημάρατον αἰνίττεται τὸν Λακεδαιμόνιον· οὗτος γὰρ τὰ τῶν τυράννων ἐφρόνει.

168,7 οὐ πρὸς αὐτοῦ ἀντὶ τοῦ οὐκ ἄξια ἑαυτοῦ, οὐδὲ πρέποντα ἑαυτῷ.

168,10 ἢ οὐδετέρου φήσομεν; λέγει γὰρ ὁ Πλάτων τινὰ μέσα εἶναι.

168,11,12 εἴπερ ἀληθὴς ὁ Πλάτωνος λόγος πάλιν τῷ Πλάτωνι μάρτυρι χρῆται. δείνως δὲ εἶπε τὸ εἴπερ. ὡσανεὶ ἔλεγε· μετέρχεται ἐπὶ τὴν ἀνδρείαν.

168,15 τότε Πέρσαις ὑποπεπτώκεσαν ἀντὶ τοῦ καταπεφρόνηντο καὶ μάταιοι ὑπῆρχον. ἐξ ἐντολῆς ἐξ ἐπιστολῆς, ἐξ ἐπιταγμάτων. ἐξ ἐπιστολῆς, ἢ ἐξ ἐπιτάγματος.

168,17 ὅτι οὐκ ἐδυνήθησαν εὑρεῖν αὐτοὺς ἐπειδὴ πάντες ἐξ ἐντολῆς ὑπέκυπτον δυστυχίαν, ᾐτήσαντο τὴν ἐπὶ στρατείαν καὶ ἑτέραν δυστυχίαν· ὅτι ἐκείνους οὐχ εὗρον· ἀμαξόβιοι γὰρ ὄντες καὶ πόλεις οὐκ ἔχοντες μετήγοντο εὐκόλως. ἀμαξόβιοι γὰρ ὄντες καὶ πόλεις οὐκ ἔχοντες μετήγοντο εὐκόλως. συλλογίζεται δὲ λοιπὸν καὶ συνάγει τὸ προκείμενον. σοφωτάτους δὲ εἶπε τοὺς Αἰγυπτίους, ὅτι τὰ ἐν οὐρανοῖς εἴδεσαν, καὶ τελεστικοὶ ὑπῆρχον. ηὔξησε δὲ τὴν σοφίαν αὐτῶν, ἵνα ἐξάρῃ πλέον τὰ ἐγκώμια τῶν Ἀθηναίων. Αἰγύπτιοι δὲ οἱ σοφώτατοι πάντων σοφωτάτους λέγει τοὺς Αἰγυπτίους, ὅτι τὰ ἐν οὐρανῷ ᾔδεσαν, καὶ τελεστικοὶ ὑπῆρχον. λέγει δὲ καὶ ἡ παροιμία· δεινοὶ μηχανὰς πλέκειν Αἰγύπτιοι. ηὔξησε δὲ τὴν σοφίαν αὐτῶν, σοφωτάτους πάντων εἰπὼν, ἵνα ἐξάρῃ τοὺς Ἀθηναίους καταπολεμήσαντας Πέρσην, ὃν οὐδ᾽ οἱ σοφώτατοι πάντων ὑπέστησαν.

168,18 μίαν τῶν πασῶν μηχανὴν οὐχ εὗρον δι᾽ ἧς ἐκφεύξονται τὸ μὴ δουλεῦσαι πρῶτον ἐπὶ Καμβύσου, καὶ ὕστερον ἐπὶ Δαρείου. Λιβύην δ᾽ οὐδεὶς λόγος ἦν ὁ διαιρῶν ἀπὸ τῆς Ἀσίας τότε καθ᾽ ἑαυτὴν εἶπε τὴν Λιβύην, ἐπειδή τινες τὴν πᾶσαν οἰκουμένην εἰς τρία διαιροῦσιν, Εὐρώπην, Ἀσίαν, Λιβύην.

169,1 ἀλλ᾽ ἦν ἅπαντα μία ἤπειρος ὡς Πέρσαις εἶναι τὸ ὑπερβατὸν οὕτως· ἀλλ᾽ ἦν τὰ πάντα Πέρσαις ὡς μία ἤπειρος εἶναι· ἀντὶ τοῦ ἤγοντο οἱ Πέρσαι τὰ πάντα μίαν εἶναι ἤπειρον. παρέλκεται δὲ τὸ εἶναι. εἶναι παρέλκον.

169,2 οἱ μὲν τὴν Ἀσίαν οἰκοῦντες, οἱ μὲν τὸ σχῆμα μερισμὸς καὶ ἐπιμερισμός. οἱ μὲν ἐκ τριγονίας ἐδούλευον ἀντὶ τοῦ ἀπὸ τρίτης γενεᾶς, οἱονεὶ ἀπὸ προγόνων. βούλονται δέ τινες τὴν γενεὰν κε′ ἐτῶν εἶναι. τὸν δὲ τρεῖς ἀριθμὸν ἐπὶ πλήθους ἐκδέχονται. σημαίνει οὖν ὅτι πρὸ πολλῶν ἐτῶν ἐδούλευον οἱ ἀπὸ Κύρου καὶ Καμβύσου.

169,3 Ἐρετριεῖς ἀντὶ τοῦ Εὐβοεῖς ὄντες· ἡ γὰρ Ἐρέτρεια πόλις ἐστὶ τῆς Εὐβοίας.

169,4 οἱ μὲν τὸ ὕδωρ καὶ τὴν γῆν ἐδεδώκεισαν τὴν γῆν λέγει καὶ τὴν θάλατταν. δηλοῖ δὲ τεκμήρια δουλείας, ταῦτα διδόντων, δι᾽ ὧν ἐτρέφοντο.

169,5 τοσοῦτον αὐτοὺς Ἐρετριέων εὐτυχεστέρους νομίζοντες, ὅσον ὕστεροι ταὐτὰ πείσεσθαι οὗτοι γὰρ ἤδη ἦσαν δεδουλωμένοι.

169,6 ὅσον ὕστεροι ταὐτὰ πείσεσθαι τουτέστι κέρδος ἡγούμενοι τὸ τελευταῖον παθεῖν. Λακεδαιμόνιοι δὲ, εἴτε ὑπὸ τοῦ πρὸς τοὺς Μεσσηνίους πολέμου ἔθος ἦν Λακεδαιμονίοις κατ᾽ ἔτος κόρας τινὰς πέμπειν ἐν τῷ Ἀπόλλωνος ἱερῷ, ἵνα ὕμνον ᾄσωσι τῷ θεῷ. ταύταις περιτυχόντες ἐβιάσαντο Μεσσήνιοι. μαθόντες τοῦτο Λακεδαιμόνιοι πέμπουσι πρὸς αὐτοὺς, δίκας βουλόμενοι λαβεῖν παρὰ τῶν δεδρακότων. ὡς δ᾽ οὐκ ἐπείθοντο, ἐπιστρατεύουσι Λακεδαιμόνιοι κατ᾽ αὐτῶν. τοῦτο δὲ γέγονεν ἐν τῷ Μηδικῷ πολέμῳ. μένοντες δὲ εἶπε τὴν πανσέληνον· ἐν γὰρ τῇ πανσελήνῳ στρατεύουσιν, ὡς πολλάκις ἔγνωμεν.

169,8 κατῃρκὼς ἐξ Ἐρετρίας, ὡς ἐπὶ τοῖς ἴσοις τῇ Ἐρετρίᾳ δῆλον· τουτέστιν ἐλπίζων τούτους λαβεῖν, ὡς τοὺς Ἐρετριέας.

169,10 ὅπως ἀσφαλῶς βιώσονται οἱονεὶ δουλεύσουσιν ἀσφαλῶς. ἔστι δὲ Δημοσθενικὸν τὸ ἐνθύμημα· λέγει γὰρ ἐκεῖνος «Ἀσφαλῶς δουλεύσειν.»

169,12 τὸν ἐκ πλείστου τοῖς ἀρίστοις λογισμοῖς ὡμιληκότα πάλιν τὸ Δημοσθενικὸν «Ἀλλὰ συλλελογισμένον ὀρθῶς.» δηλοῖ δὲ τὸ συνετόν.

ὅπως δεῖ σώζειν τε καὶ σώζεσθαι οὐχ ἁπλῶς τὸ δεῖ, ἀλλ᾽ ἀντὶ τοῦ ἐνδόξως.

169,13 τῶν ἐν ἐκείνοις τοῖς χρόνοις προστάντων καλῶς τὸ προστάντων, ἀντὶ τοῦ οὐ δουλευόντων.

169,14 ὅτι τὴν Ἑλλάδα ἔσωζον ὁπωσοῦν τὸ βραχὺ δηλοῖ τοῦ διαστήματος. ὃν σὺ λέγεις τὸν κυβερνήτην ὁ Πλάτων διαβάλλων τὸν Μιλτιάδην κυβερνήτῃ αὐτὸν παραβάλλει, λέγων ὅτι οὕτως τοὺς Ἕλληνας ἔσωζεν, ὡς ἔτυχεν, ὥσπερ κυβερνῆται. ἔστι δὲ τὰ κῶλα ταῦτα· ταὐτὰ γὰρ ἡ κυβερνητικὴ διαπραξαμένη τῇ ῥητορικῇ· ἀντὶ τοῦ ὥσπερ ὁ κυβερνήτης κινδυνεύων ὀδύρεται, καὶ παρακαλεῖ τοὺς συμπλέοντας συνάρασθαι αὐτῷ τοῦ κινδύνου, ἵνα, ὡς ἔτυχε, σώσῃ, οὕτω καὶ Μιλτιάδης παρεκάλει τὸν δῆμον, ἵνα, ὅπως ἔτυχε, σώσῃ αὐτόν.

169,16 εἰ μὲν γὰρ ἢ τὰ ὅπλα παραδόντας εἰς Λακεδαιμονίους αἰνίττεται τοὺς ἐν τῇ Σφακτηρίᾳ τὰ ὅπλα παραδόντας. τοῦτο δὲ καὶ ὄπισθεν εἶπεν «Οὐ γὰρ ἐνῆν αὐθημερὸν ἄνδρας ἀγαθοὺς γενέσθαι.» ἔμφασιν δὲ ἔχει τὸν Περσῶν βασιλέα, ἀντὶ τοῦ τὸν μέγαν.

169,17 οὐκ ἂν ἔγωγε συγχαίρειν ᾤμην δεῖν τοῦτο πάλιν πρὸς Πλάτωνα· ἔλεγε γὰρ ὅτι, ὅπερ ἤθελε τὸ πλῆθος, τοῦτο ἐποίουν.

169,19 τοῦ πρὸς ἡμέραν ὑπηρέτας μισθωτούς. ὥσπερ τοὺς πορθμέας ἀπὸ τοῦ ἥττονος. ὥσπερ τοὺς πορθμέας, οὐ μόνον, εἰ βούλει, τοὺς κυβερνήτας πορθμεὺς καλεῖται ὁ μικροὺς τόπους παραπλέων, ἤτοι κόλπους. τοῦ δὲ Πλάτωνος εἰπόντος, ἐὰν κυβερνήτης ἐξ Αἰγίνης σώσῃ τινά, δύο, οἶμαι, ὀβολοὺς ἐπράξαντο, ὁ Ἀριστείδης λέγει ὅτι, εἰ βούλει, πορθμέας ἀντὶ τοῦ κυβερνητῶν εἰπεῖν, τὸ εὐτελὲς σημαίνων· τῶν γὰρ πορθμέων εὐτελής ἐστιν ἡ τέχνη ὡς μηδὲ δεῖσθαι κυβερνητῶν· ἐν γὰρ τοῖς βραχέσι κόλποις ἢ τόποις ἄνευ πηδαλίων ναυτίλλονται. τὸ ἐπιχείρημα δὲ ἀπὸ τοῦ ἥττονος· ἥττων γὰρ ὁ πορθμεὺς τοῦ κυβερνήτου.

169,18 ἀπ᾽ αὐτῶν τῶν κηρύκων ἀρξάμενοι τῶν τοῦ βασιλέως. τῆς ἀποκρίσεως τὸν φόνον λέγει. ἐφόνευσε γὰρ τοὺς κήρυκας, ὡς καὶ ἐν τῷ

Παναθηναϊκῷ εἶπε. καινοπρεπῶς δὲ ἐνταῦθα ἀπόκρισιν εἶπε τὸν φόνον αὐτῶν.

170,1 μὴ λιπεῖν τὴν τοῦ φρονήματος τάξιν τροπική ἐστιν ἡ λέξις· ὡς γὰρ ἐπὶ πολέμου εἶπε τὴν τάξιν μὴ λιπεῖν αὐτούς.

170,2 καὶ οὐ τὰ ὅπλα ῥίψαντας ἀπὸ κοινοῦ προηγόρευον. οὐ τὰ ὅπλα ῥίψαντας, οὐδὲ τοῖς φόβοις εἴξαντας τουτέστι τοὺς γινομένους λειποτάκτας.

170,4 τοῖς χείροσι τοῖς βαρβάροις. λέγει δὲ αὐτοὺς χείρους διὰ τὴν δυσγένειαν τοῦ γένους αὐτῶν. εἰ ταῦτα λέγοντας ἐπανάληψις. τὸ σχῆμα ἐπανάληψις· ἐπανέλαβε δὲ διὰ τὸ διὰ μακροῦ εἶναι τὴν ἀπόδοσιν. ἐπὶ τὴν κρίσιν δὲ, ἀντὶ τοῦ ἐπὶ τὸν πόλεμον· πάλιν γὰρ ὡς ἐπὶ ἀγῶνος εἶπε τὴν κρίσιν.

170,5 δέχεσθαι τὸ ἐκβησόμενον, ὡς ἐπ᾽ ἀμφότερα ὁμοίως κερδανοῦντας ἡ λέξις Θουκυδιδεία. λέγει δὲ, ἢ νικῆσαι λαμπρῶς, ἢ πεσεῖν εὐκλεῶς· ἀμφοτέροις γὰρ ἕπεται τὸ καλόν.

170,6 οὐχ ὁρῶ, τίνα ταῦτ᾽ ἔχει διακονίαν ἀγεννῆ οὐχ ἁπλῶς ἡ προσθήκη τοῦ ἀγεννῆ· ἔστι γὰρ καὶ διακονία καλὴ, ὡς λέγει ὕστερον, τὸ διακονῆσαι τοῖς θεοῖς καὶ τοῖς κρείττοσιν, ἀγαθόν.

170,7 ἀλλ᾽ εἰ μὲν τοῦτο λέγεις δείκνυσι τὸ παράδειγμα τοῦ κυβερνήτου ὃ ἔθηκεν ὁ Πλάτων, οὐ πρὸς πάντα ὅμοιον ὂν, ἀλλὰ πρὸς ἕν τι, οἷον πρὸς τὸ σώζειν μόνον, κἂν ἀπῇ τὸ καλὸν καὶ τὸ ἔνδοξον.

170,8 καὶ πρὸς τοῦτον ἅπαντα ἔχει τέλος. λείπει τὸ ἔχει τέλος, ἵνα ᾖ οὕτως· καὶ πρὸς τοῦτον ἅπαντα ἔχει τέλος καὶ ἔκβασιν. πανταχόθεν δὲ αὔξει τὸν κυβερνήτην, ἵνα πλέον αὐξήσῃ τὸν Μιλτιάδην, ὅτι ὁ μὲν κυβερνήτης ὁπωσοῦν σώζει, ὁ δὲ Μιλτιάδης μετὰ καὶ τοῦ καλοῦ καὶ τοῦ ἐνδόξου.

170,9 τὰ τῶν Ἑλλήνων πράγματα καλῶς προσέθηκε τὸ πράγματα, αἰνιττόμενος ὅτι οὐ μόνους ἔσωζεν.

170,10 ὥσπερ Ὅμηρος τοῖς λέουσι καὶ τοῖς κάπροις, καὶ πολλοῖς τοῖς ἄλλοις πάλιν ἐκ τοῦ ἐνδόξου. ἔνδοξον πάλιν εἰσάγει πρόσωπον. οὐδὲ γὰρ, φησὶν, εἰ ἐκάλεσεν Ἀχιλλέα θυμολέοντα, ἤδη λέων ἦν Ἀχιλλεὺς, οὐδ᾽ εἶπε περὶ τοῦ Αἴαντος πάλιν, ὡς δ᾽ ὅ τις ὄνος, ἤδη καὶ ὄνος καθάπαξ ὁ Αἴας.

170,11 ὥσπερ Ὅμηρος τοῖς λέουσι—ἀλλ᾽ εἰς ὅσον προσήκει τῷ λόγῳ πρὸς τὴν χρείαν, λέγει, δεχόμενος καὶ πρὸς μέρος λέοντι καὶ κάπροις καὶ ὄνοις ἀπεικάζειν τὸ πρόσωπον οὐ καθάπαξ. ἐπ᾽ ἀμφοτέροις δὲ λέγει, τοῦ Μιλτιάδου καὶ τοῦ κυβερνήτου.

170,14 οὐδὲ αὐτὸς σὺ σαυτοῦ ἀποδέξῃ. δύο, φῄς, ὀβολοὺς λαβὼν, ἢ δραχμὰς, ὁ κυβερνήτης ἀπήλλακται ἕνα πλοῦν ἐπλήρωσε καὶ ἀνεχώρει. εὐτελίζων δὲ ὁ Πλάτων τὸν κυβερνήτην καὶ ἀπὸ τοῦ μισθοῦ διαβάλλει αὐτόν.

170,15 οἶμαι δὲ οὐκ ἀμφιβάλλων εἶπε τὸ οἶμαι, ἀλλὰ σύνηθες τοῖς ῥήτορσι τοῦτο τὸ ῥῆμα λέγειν, ἢ κατὰ παρολκὴν, ἢ κατὰ ἦθος.

170,16 εἰ χρὴ τἀληθὲς εἰπεῖν θεραπεύει πάλιν τὴν ὑπερβολὴν εἰπὼν εἰ χρή.

170,17 εἰς τὸ μέσον εἰς τὸ κοινόν. ἀντὶ τοῦ εἰς τὸ κοινὸν τῶν Ἑλλήνων. τοῦτο δὲ ἄνω εἶπε «Καὶ τὸ πάντας εὖ ποιεῖν ἐκ μέσου.» ὥσπερ σὺ φῄς τὸν Σωκράτη τοῖς νέοις ἦθος ἔχει ὁ λόγος· ἐδόκει γὰρ καὶ Σωκράτης μισθὸν δέχεσθαι, εἰ καὶ μὴ χρυσόν. ἔχειν γὰρ αὐτὸν ἔλεγον δύο πίθους, τὸν μὲν σίτου, τὸν δὲ οἴνου· καὶ τοῖς μαθηταῖς ἐκέλευεν ἐπιβάλλειν ἀεὶ τούτοις, ὅπως μὴ λείψωσιν.

170,18 ὑπερεῦγε, ὦ Πλάτων ὡσανεὶ ἔλεγε· μέχρι τούτου συγχωρῶ καλῶς εἰρῆσθαι τὰ λεχθέντα.

170,19 ἀλλ᾽ ἐῶ τοῦτο ἐπειδὴ ᾔσθετο ὁ Ἀριστείδης ὅτι σοφίζεται τὸν Πλάτωνα, σιωπᾷ τὸ σόφισμα λοιπόν. τεχνικῶς δὲ εἶπε τὸν κυβερνήτην πλείω ποιεῖν· τὸ γὰρ βελτίους κοινόν ἐστιν· ὁ δὲ Πλάτων βελτίους εἰς ἀρετὴν εἶπε. πρὸς τὸ χρήσιμον οὖν ὁ Ἀριστείδης ἔλαβεν, ὅτι καὶ ὁ κυβερνήτης βελτίω ποιεῖ τὰ ναυτικά.

170,20 Μιλτιάδης καὶ πρὶν εἰς τὸν κίνδυνον ἐμβαίνειν, ἅπαντας ἤσκει πρὸς τὸ βέλτιστον καλῶς προσέθηκε τοῦτο, ἵνα μὴ δόξῃ τύχης εἶναι τὸ κατὰ Μαραθῶνα κατόρθωμα.

170,21 ἰδιώτας ἐξαγαγὼν, ὡς εἰπεῖν, ἐπανήγαγε νικηφόρους δοκεῖ τοῦτο ἐναντίον εἶναι· εἰ γὰρ ἤσκει πρὸς τὸ βέλτιον, καὶ ὡς εἰπεῖν ὄπισθεν, ὅτι οὐκ αὐθημερὸν εὑρέθησαν ἀνδρεῖοι πρὸς τοὺς Πέρσας, ἀλλὰ

προμεμελετήκεσαν, πῶς νῦν λέγει ἰδιώτας; λέγομεν ὅτι ἰδιώτας ἐνταῦθα λέγει οὐ τῶν πολεμικῶν, ἀλλὰ νίκης· ἀμέλει καὶ τὸ ὡς εἰπεῖν προσέθηκε, κολάζων αὐτὸ τὸ ὑβριστικόν. ἢ ἰδιώτας λέγει οὐ μάχης ἀπείρους, ἀλλὰ τοιαύτης Μηδικῆς νίκης. καὶ Ἡρόδοτος ἐν τῇ ἕκτῃ λέγει ὅτι τότε πρῶτον Ἕλληνες ὑπέστησαν σχῆμα θεάσασθαι Μηδικόν.

171,2 ὃς πάλαι παρασκευάσας ἐκεῖσε τὸν ἀθλητὴν πάλαι εἶπεν, ὅτι καὶ ὄπισθεν εἶπεν, ἥσκει πρὸς τοὺς κινδύνους. ἐκεῖσε δὲ εἰς τὴν Ὀλυμπίαν δηλονότι. λέγει δὴ ἔχοντα ἐκεῖ τὴν διάνοιαν. εἶτα ἐξαγαγὼν λείπει τοὺς ἀγωνιστάς· τοῦτο γὰρ δεῖ ὑπακοῦσαι.

171,4 ἐπὶ τῆς αὐτῆς Ὀλυμπιάδος τῆς ἐν τῷ Μαραθῶνι δηλονότι. καλῶς τὸ ἐπὶ τῆς αὐτῆς Ὀλυμπιάδος, ἵνα μὴ δόξῃ ἐν ἄλλῳ πολέμῳ λέγειν αὐτὸν κεκρατηκέναι μικροτέρων. Ἡράκλεις τὸν Ἡρακλέα ὠνόμασε· καὶ γὰρ τῶν ἀγώνων ἔφορος Ἡρακλῆς.

171,5 οὐκ ἔνι τῷ κυβερνήτῃ πρὸς οὐδένα τῶν ἐμπλεόντων μάχεται πάλιν τῷ παραδείγματι.

171,6 οὐδ’ ὅτι ἐξεπίτηδες αὐτὸν εἰς τὴν θάλατταν ῥῖψαι καλῶς τὸ ἐξεπίτηδες· ἐν γὰρ ταῖς ἀνάγκαις καὶ τοῦτο συμβαίνει. αὐτὸν δὲ λέγει τινὰ τῶν ἐμπλεόντων. ἀλλ’ ὅσον τῶν σκευῶν ἐκβαλεῖν τὸ ὅσον μικρόν τι δηλοῖ· τὰ δὲ σκεύη ἀποβάλλειν ἐν τῷ χειμῶνι συμβαίνει.

171,7 ἄχρι τούτου κελεύειν ὁ κυβερνήτης κύριος ἄχρι, φησὶ, τοῦ ἐκρῖψαι τὰ σκεύη κύριός ἐστιν, οὐ μὴν καὶ τῆς σωτηρίας παραινεῖ καταφρονεῖν. ἴδιον δὲ τοῖς κυβερνήταις καὶ τὸ σώζειν.

171,8 τὸ δὲ σύμπαν σώζειν ἀντὶ τοῦ μηδὲν πλέον τοῦ σώζειν, μηδὲ ἐρωτᾶν, εἰ δικαίως, ἢ ἀδίκως, καὶ τὰ τοιαῦτα.

171,11 εἰ καὶ τεθνάναι δέοι, τολμᾶν ὑπὲρ πατρίδος, καὶ ἱερῶν, καὶ τάφων, καὶ πολιτείας εὔλογον αἰτίαν εἰσάγει τῆς τελευτῆς· πολλὰ γὰρ ἐπήγαγεν, ὧν ὁ στερόμενος θάνατον ἀγαπᾷ.

171,12 καὶ γάρ τοι ὅσοι μὲν τοῦτ’ ἐπείσθησαν αὐτῷ, σεμνοὶ σεμνῶς κεῖνται τινὲς λέγουσιν ὅτι κακῶς εἶπε τὸ ὅσοι αὐτῷ ἐπείσθησαν. διαβάλλει γὰρ τοὺς

Ἀθηναίους, φησὶ, τοὺς καὶ μαθητὰς αὐτοῦ γενομένους, καὶ αὐτὸν δὲ, ὡς τοιούτους ἔχοντα μαθητάς. λέγομεν οὖν ὅτι εἰς Λακεδαιμονίους πάλιν ἀποτείνεται, ἐπειδήπερ εἰς μάχην οὐκ ἀπήντησαν, οὐδὲ ὑπήκουσαν συναχθῆναι μετὰ Ἀθηναίων, τὴν πανσέληνον ἀναμένοντες, ὅσοι δὲ ἐπείσθησαν αὐτῷ τῷ Μιλτιάδῃ, φησί. λέγει δὲ τὸ καλῶς ἀποθανεῖν.

171,13 κάλλιστα δὴ πάντων Ἑλλήνων καταλύσαντες τὸν αἰῶνα, μνημεῖον τῆς ἀρετῆς τὸν τάφον κεκτημένοι εἰς τοὺς Λακεδαιμονίους αἰνίττεται. Θουκυδιδείως δὲ εἶπεν, οὐ σώματος μνημεῖον, ἀλλ᾽ ἀρετῆς.

171,14 ὑπὸ γῆς ὄντες, τὴν γῆν φυλάττοντες αὐτὴν, ἀλλ᾽ οὐχ ὑπ᾽ αὐτῆς ἐχόμενοι ὡς ἐπὶ θεῶν εἶπε τινῶν· οἱ γὰρ ἀγαθοὶ θεοὶ τῶν ἀνθρώπων κείμενοι ἐν γῇ, οὐχ ὑπ᾽ αὐτῆς φυλάττονται, ἀλλ᾽ αὐτοὶ μᾶλλον φυλάττουσιν αὐτὴν, ὥσπερ θεοί. ἐπιφέρει γοῦν τὴν Ἡσιόδου δόξαν· καὶ οὗτοι, φησὶ, φυλάττουσι τὴν γῆν, τῷ φόβῳ τῆς ἀρετῆς αὐτῶν τοὺς πολεμίους ἀπελαύνοντες.

171,15 τῆς Ἡσιόδου προσρήσεως ἐγγύτατα ἥκοντες μετέχειν λείπει ἡ εἰς πρόθεσις, ἵν᾽ ᾖ ἡ σύνταξις οὕτως· τῆς Ἡσιόδου προρρήσεως πλησίον ἐλθόντες εἰς τὸ μετέχειν αὐτῆς.

171,17 πλὴν ὅσον οὐ δαίμονας, ἀλλὰ δαιμονίους καλῶν ἀσφαλῶς ὁ ῥήτωρ προσέθηκε τὸ πλὴν, ἐπειδὴ οἶδε διαφορὰν δαίμονος καὶ δαιμονίου· δαίμων γὰρ οὗτος ὁ δαίμων, ἀπὸ τοῦ δαΐζειν τῆς προσηγορίας λαχών· δαιμόνιος δὲ ὁ μετέχων τινὸς δυνάμεως, οἱονεὶ δαίμων τις ὤν. ὁ μὲν οὖν Ἡσίοδος, ὡς ποιητὴς, εἶπε δαίμονας ἁγνοὺς, ὁ δὲ, ὡς ῥήτωρ, ἀσφαλῶς ἐκόλασε τὸ λεχθέν.

172,1 τὸν ἐν Κολωνῷ κείμενον Οἰδίπουν λέγεται Οἰδίπους μετὰ τὰς συμφορὰς ἐλθεῖν εἰς Ἀθήνας· οἱ δὲ θεοὶ ἐλεήσαντες αὐτὸν δεδώκασιν αὐτῷ δόκησιν τοῦ σώζειν τὴν Ἀττικήν. ἄλλοι δέ φασιν ὅτι πολλῶν κακῶν αἴτιος γεγονὼς τοῖς Θηβαίοις, διά τε τὸν φόνον τῶν παίδων ἐναγὴς ὑπάρχων ἐκβάλλεται τῆς πόλεως καὶ ἐλθὼν τὸν Κολωνὸν, καὶ τελευτήσας ἐκεῖ θάπτεται. ἐλθόντων δέ ποτε Θηβαίων φαίνεται Ἀθηναίοις κελεύων ἀντιπαρατάξασθαι, καὶ συμβαλόντες ἐνίκησαν. στρατευσάντων δέ ποτε Θηβαίων κατὰ Ἀθηναίων, ἐπιφαίνεται Οἰδίπους Ἀθηναίοις, κελεύων

αὐτοὺς ἀντιπαρατάξασθαι Θηβαίοις θαρρούντως· καὶ συμβαλόντες ἐνίκησαν αὐτούς. θαυμασίως ἐπήγαγε τὸν Οἰδίπουν· ἐπειδὴ γὰρ εἶπεν ὅτι νεκροὶ ὄντες τὴν γῆν φυλάττουσιν, εἰκότως ἐχρήσατο τούτῳ τῷ παραδείγματι, ὅτι καὶ Οἰδίπους καὶ νεκρὸς ὢν σώζει τὴν Ἀττικήν. τὸν δὲ Κολωνὸν λέγουσιν οἱ μὲν τόπον εἶναι τῆς Ἀττικῆς, οἱ δὲ Δῆλον. λέγεται δὲ Οἰδίπους μετὰ τὰς—ἐνίκησαν. ἢ εἴ τις ἄλλοθί που τῆς χώρας ἐν καιρῷ τοῖς ζῶσι κεῖσθαι πεπίστευται εἰ μὲν μετὰ τοῦ ἄρθρου λέγομεν, τουτέστι τῆς χώρας, δηλοῦμεν τὸν Θησέα· ἔν τινι γὰρ καιρῷ ἐξεβλήθη παρὰ τῶν Ἀθηναίων Θησεύς· καὶ ἐκβληθεὶς ἀνῆλθε πρὸς τὸν Λυκομήδην ἐν τῇ Σκύρῳ ὡς πρὸς φίλον. ὁ δὲ Λυκομήδης φοβούμενος μὴ ὁ Θησεὺς ἐκβάλῃ αὐτὸν τῆς βασιλείας, φονεύσας ἐκεῖσε ἔθαψε· μετὰ τοῦτο ἔλαβον οἱ Ἀθηναῖοι χρησμὸν, μετενέγκαι τὰ ὀστᾶ τοῦ Θησέως. ἀκούσαντες τὸν χρησμὸν ἀγνοεῖν ποῦ εἴη τὰ ὀστᾶ τοῦ Θησέως ἔφασαν. ὁ δὲ θεὸς εἶπεν ὅτι ἐγὼ ὑμῖν ἡγεμόνα πέμπω. εἶτα ἐξελθόντες καὶ φθάσαντες περὶ τὴν Σκύρον ἐθεάσαντο ἀετὸν καταπτάντα καὶ ὀρύσσοντα τὴν γῆν. οἱ δὲ ἐνόησαν ὅτι ἐκεῖ εἰσι τὰ ὀστᾶ τοῦ Θησέως, καὶ λαβόντες ἔθαψαν ἐν τῇ Ἀττικῇ. ἐὰν δὲ ἐκτὸς τοῦ ἄρθρου λέγωμεν, ἄλλοθί που χώρας, δηλοῖ τὸν Ὀρέστην· ποτὲ γὰρ Λακεδαιμόνιοι καὶ Τεγεάται ἐπολέμουν πρὸς ἀλλήλους, καὶ ἤροντο τὸν θεὸν Λακεδαιμόνιοι πῶς ἂν περιγένωνται. ὁ δὲ ἔχρησεν οὕτως· Ἀρκαδίην μ’ αἰτεῖς, μέγα μ’ αἰτεῖς, οὔτοι δώσω· πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν, οἵ γε ἀποκωλύσουσιν· ἐγὼ δὲ οὔ τοι μεγαίρω. δώσω δέ τοι Τεγαίην ποσσίκροτον ὀρχήσασθαι, καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι. ἀκούσαντες τὸν χρησμὸν Λακεδαιμόνιοι συνέβαλον, καὶ ἡττηθέντες ἐλήφθησαν παρὰ τῶν Τεγεατῶν, οἳ καὶ πέδας αὐτοῖς βαλόντες ἐποίησαν τὴν γῆν γεωργεῖν. ἡττηθέντες οὖν οἱ Λακεδαιμόνιοι πάλιν ᾔτησαν δεύτερον χρησμόν. ἔστι δὲ οὗτος, Ἔστι τις Ἀρκαδίης γαίης λευρῷ ἐνὶ χώρῳ, ἔνθεν ἄνεμοι πνείουσι δύο κρατήρων ὑπ’ ἀνάγκης, καὶ τύπος ἀντίτυπος, καὶ πῆμ’ ἐνὶ πήματι κεῖται· ἔνθ’ Ἀγαμεμνονίδην κατέχει φυσίζωος αἶα, τὸν σὺ κομισάμενος γαίης ἐπὶ τάρροθος ἔσῃ. ἀκούσαντες τὸν χρησμὸν τοῦτον οἱ Λακεδαιμόνιοι ἐσπείσαντο πρὸς τοὺς Τεγεάτας. εἶτα ἐν τῇ εἰρήνῃ ἔτυχε Λίχαν τινὰ ἀγαθοεργὸν Λακεδαιμόνιον — ἀγαθοεργοὶ δὲ καλοῦνται παρὰ Λακεδαιμονίοις πέντε τῶν ἱππέων, οἵτινες ἐξήρχοντο τοῦ βαθμοῦ, καὶ

ἐσχόλαζον ἐπὶ γνώσει τῶν παρ᾽ ἑτέροις νομίμων ἀγαθῶν — καθέζεσθαι ἐν χαλκείῳ τῆς Τεγαίας, εἶτα θαυμάζειν πῶς ἀνέρχεται τὸ πῦρ. τὸν δὲ χαλκέα ἐρωτῆσαι τί καθέζεται ἐκπληττόμενος. τὸν δὲ εἰπεῖν ὅτι θαυμάζω διὰ τὸ οὕτως ἀνέρχεσθαι τὸ πῦρ. τὸν δὲ χαλκέα τοῦτο ἀκούσαντα, ὅτι ἐὰν ἀκούσῃς ὃ βούλομαι λέγειν, θαυμάσαι ἔχεις. εἶδον γὰρ, φησὶν, ἐν τῷ οἴκῳ τούτῳ σορόν τινα ἐννέα ὀργυιῶν, καὶ ἀπιστῶν εἰ τοιοῦτός ἐστιν ὁ κείμενος ἐν τῇ σορῷ, εἶτα ἀποκαλύψας καὶ εὑρὼν ὅτι καὶ τὸ σῶμα ἐννέα ὀργυιῶν ἐστιν, ἑωρακὼς ὁ Λίχας ἤρξατο συλλαμβάνειν τὸν χρησμὸν τὸν λέγοντα, Ἔστι τις Ἀρκαδίης, καὶ τὰ ἑξῆς· καὶ ἀναμνησθεὶς ᾔσθετο ὅτι τὸ χαλκεῖον σημαίνει ὁ χρησμός· εἶτα εἶπε τῷ χαλκεῖ· μίσθωσόν μοι τὸν οἶκον ἐπ᾽ ὀλίγου χρόνου. μισθωσαμένου οὖν τὸν οἶκον, καὶ λαβόντος τὰ ὀστᾶ Ὀρέστου, ἐλήφθησαν οἱ Τεγεάται.

172,4 διετήρησαν ἅπασαν τὴν Ἀττικὴν πῶς φυλάττουσιν, εἰρήκαμεν, τῷ φόβῳ τῆς ἀρετῆς τοὺς βαρβάρους ἀπείργοντες. τὸ δὲ οἷς αὐτοὶ παρέσχοντο, ἀντὶ τοῦ οἷς ἐπεδείξαντο.

172,5 οἷς αὐτοὶ παρέσχοντο οἷς ἐπεδείξαντο.

172,6 ὁποίους τινὰς εἶναι δεῖ, καιρῶν ὁμοίων ἐπιστάντων πῶς δεῖ καταφρονεῖν βαρβάρων. καιρῶν δὲ ὁμοίων ἀντὶ τοῦ κινδύνων βαρβαρικῶν καὶ Ἑλληνικῶν.

172,6,7 ὅτε καὶ τοῖς τελευτήσασιν αὐτῶν οὐ χαμάζε ἔπεσε τὸ κέρδος τοῦτο ἐπήγαγεν, ὡς δείξας αὐτοὺς φύλακας τῆς Ἀττικῆς καὶ τῆς Ἑλλάδος. τὸ δὲ χαμάζε Ὁμηρικόν ἐστιν· καὶ γὰρ Ὅμηρος, ὅτε βούλεται δεῖξαι, δόρυ, ἢ βέλος, ὅτι ἄπρακτον ἐρρίφη, λέγει ὅτι χαμάζε ἔπεσεν.

172,7 ἀπέλαυσαν τῆς διανοίας καὶ αὐτοὶ τῆς ἑαυτῶν καὶ οἱ ἄλλοι πάντες τῆς ἐκείνων ἡ γὰρ διάνοια αὐτῶν ἦν σῶσαι τὴν πόλιν. σωθείσης οὖν αὐτῆς καὶ αὐτοὶ τῆς ἑαυτῶν διανοίας ἀπέλαυσαν καὶ οἱ ἄλλοι τῆς αὐτῶν.

172,9 καὶ τὸν Ἡρακλέα καὶ τὸν Πᾶνα ὅπλα γὰρ ἦν ἀνακείμενα ἐν τοῖς Ἡρακλείοις, ἅπερ εὑρέθη ἐξαίφνης ἔξω θυρῶν κείμενα. δεινῶς δὲ ὁ Ἀριστείδης τὴν βοήθειαν τῶν θεῶν μαρτυρίαν ποιεῖται τῆς Μιλτιάδου ἀρετῆς. τὸ δὲ κατὰ τὸν Πᾶνα ἔστι τοῦτο· ἀπεστάλη Φιλιππίδης τις ὑπὸ

Ἀθηναίων, ἡμεροδρόμος ὢν, ἐν τοῖς Περσικοῖς, συμμαχίαν αἰτῆσαι παρὰ Λακεδαιμονίοις. ἀπιὼν δὲ ἄπρακτος ἐκ τῆς Λακεδαιμονίων ἤκουε φωνῆς τινος ἐπιβοῶντος αὐτῷ. ὡς δὲ πλησίον ἐγένετο, ἀκούει λέγοντος τοῦ Πανὸς, εἰπεῖν Ἀθηναίοις ὡς ὀλιγωροῦσιν αὐτοῦ, καὶ ταῦτα φροντίζοντος. ἡνίκα δὲ ἐστράτευον, εἶδον αὐτὸν ἡγούμενον, καὶ βωμὸν ἱδρύσαντο καὶ θυσίας ἐπετέλεσαν. τὸν Πᾶνα Φιλιππίδης τις ἀπεστάλη ὑπὸ Ἀθηναίων ἡμεροδρόμος εἰς Λακεδαίμονα, συμμαχίαν αἰτήσων παρὰ Λακεδαιμονίων. ὑποστρέφων δὲ ἄπρακτος ἤκουε φωνῆς τινος, ὡς δὲ πλησίον ἐγένετο, ἀκούει λέγοντος τοῦ Πανὸς, εἰπεῖν Ἀθηναίοις ὅτι ὀλιγωροῦσιν αὐτοῦ, καὶ ταῦτα φροντίζοντος περὶ αὐτῶν ἡνίκα ἐστράτευον· εἶδον γὰρ αὐτὸν ἡγούμενον. διὰ τοῦτο Ἀθηναῖοι καὶ βωμὸν αὐτοῦ ἱδρύσαντο καὶ θυσίας ἐτέλεσαν.

172,11 ἢ Πινδάρῳ φασὶν εἰς τὴν μουσικὴν τὸ τὸν αὐτὸν τοῦτον θεὸν ὀρχήσασθαί τι τῶν ἀσμάτων αὐτῷ λέγεται ὅτι μέλη ποιοῦντος τοῦ Πινδάρου ποτὲ ἐν Θήβαις τερφθεὶς ὁ Πὰν ὠρχήσατο αὐτῷ. ἄλλοι δὲ, ὅτι ᾄσμα σκεψάμενος Πίνδαρος ἔμελλεν ἐπιδείκνυσθαι· καὶ εἶδεν ὄναρ τὸν Πᾶνα λέγοντα αὐτῷ τὸ ᾄσμα, καὶ λαβὼν εὐθὺς ἀνέθηκε τῷ θεῷ. οἱ δὲ ὑπομνηματισταὶ λέγουσιν ὅτι ἐν τῇ κρεουργίᾳ τοῦ Πέλοπος ὠρχήσατο ὁ Πάν. ἔχομεν δὲ τοῦτο ἐν τῇ πρώτῃ νίκῃ. λέγεται ὅτι Πινδάρου μέλη ποιοῦντός ποτε ἐν Θήβαις τερφθεὶς ὁ Πὰν ὠρχήσατο αὐτῷ. ἄλλοι δὲ λέγουσιν ὅτι ᾄσμα σκεψάμενος ὁ Πίνδαρος Πανὸς ἔμελλεν εἰπεῖν καὶ ἐπιδεῖξαι, καὶ εἶδε κατ' ὄναρ τὸν Πᾶνα ἐπιστάντα λέγειν τὸ ᾄσμα· ὃ λαβὼν εὐθὺς ἀνῆκε τῷ θεῷ.

173,1 φησὶν ὁ Πλάτων.

173,3 ἀλλαχοῦ καὶ λόγον αὐτὸν εἶναι λέγει, ἤτοι λόγου δὲ ἀδελφὸν ζητεῖται πῶς λέγει τὸν Πᾶνα λόγον, ἢ λόγου ἀδελφόν. λέγομεν ὅτι τὰ πάντα διὰ λόγου συνέστη. τὰ δὲ πάντα ἐστὶν ὁ Πάν· ἀδελφὸς ἄρα ὁ Πὰν τοῦ λόγου· μᾶλλον δὲ ὁ Πὰν λόγος. διὸ καὶ Ἑρμοῦ υἱὸς ὁ λόγος ὁ ἔντεχνος καὶ παρὰ τοῦ θεοῦ διδόμενος εἰς παίδευσιν. ζητεῖται πῶς λέγει τὸν Πᾶνα λόγον, ἢ λόγου ἀδελφόν. λέγομεν οὖν ὅτι πάντα κατὰ λόγον συνέστη· τὰ δὲ πάντα ἐστὶν ὁ Πάν· ἀδελφὸς ἄρα ὁ Πὰν τοῦ λόγου. πάλιν δὲ ὁ Πὰν λόγος, ἐπειδὴ Ἑρμοῦ ἐστιν, ὥς φασιν, υἱὸς πᾶς λόγος ἔντεχνος· ἤδε ὅτι ὁ Πὰν μουσικὸς, πᾶς δὲ λόγος εὔμουσος καὶ ἐμμελῶς σύγκειται.

173,3,4 φαίνεται τοίνυν οὗτος οὕτως—φαῦλον περὶ τοὺς λόγους ὄντα ῥητορικῶς κατασκευάζει ὁ Ἀριστείδης ὅτι οὐκ ἂν ὁ Πὰν, λόγος ὢν, συμπαρῆν τῷ Μιλτιάδῃ, εἰ μὴ ᾔδει καὶ αὐτὸν ῥητορικὸν ὄντα· θεὸς γὰρ οὐ χαίρει φαύλῳ.

173,5 ἄτεχνον τριβὴν ὥσπερ ἂν εἰ ἐμπειρίαν τινὰ καὶ γυμνασίαν· λέγει δὲ τοῦτο, ὅτι οὐ μόνον ῥήτορα αὐτὸν οἶδεν, ἀλλὰ καὶ στρατηγόν.

173,6 τὸν Μιλτιάδην καὶ τοῦ λέγειν τεχνίτην, καὶ τὴν ἀνδρίαν ἐπὶ τῶν ἔργων τοῖς λόγοις παραπλήσιον ἆρά γε στρατηγήσαντες, φησὶν, οἱ δύο θεοὶ τῷ Μιλτιάδῃ, ὅ τε Ἡρακλῆς καὶ ὁ Πὰν, ἔδειξαν αὐτὸν καὶ τοῖς λόγοις σοφὸν καὶ τῇ δυνάμει ἀνδρεῖον· ὁ γὰρ λόγος, φησὶν, ἐστὶν ὁ Πὰν, ἡ δὲ ἀνδρεία ὁ Ἡρακλῆς.

173,7 ἆρά γε ἢ πρὸς ἀνθρώπων ἢ πρὸς θεῶν βέλτιον περὶ Μιλτιάδου τι βλασφημεῖν ὁ λόγος σχετλιαστικός. πρὸς θεῶν δὲ εἶπε διὰ τὸν Πᾶνα καὶ τὸν Ἡρακλέα.

173,8 Ἀθηναίους μὲν ἐκ τούτων τῶν ἔργων ἱδρύσασθαι τῷ Πανὶ τὸν νεὼν, οὐ πρότερον συννοήσαντας φασὶν ὅτι πρὸ τοῦ Μαραθῶνος οὐκ ᾔδεσαν Ἀθηναῖοι τὸν Πᾶνα θεὸν, ἀλλ᾽ ἐκ τῆς συμμαχίας θεὸν νενομίκασι. συννοήσαντας δὲ ἀντὶ τοῦ οὐ πρότερον ἐν νῷ λαβόντας ἱδρύσασθαι βωμόν.

173,10 ὥστε καὶ τὴν ὑπάρχουσαν αὐτῷ δικαίως τιμὴν τὸ καθ᾽ αὑτὸν ἀποστερεῖν ὡς εἰ ἔλεγεν· εἰ καὶ αὐτὸς Πλάτων ἀποστερεῖ· ἀλλ᾽ οὖν τὴν προκαταλαβοῦσαν περὶ αὐτοῦ δόξαν οὐ δυνήσεται ἀνελεῖν.

173,12 καὶ ταῦτα Ἀριστείδου τοῦ Λυσιμάχου παρόντος ἀντιπῖπτον λύει, ἵνα μὴ εἴποι τις· ἀλλ᾽ οἱ μετ᾽ αὐτοῦ φαῦλοί τινες ἦσαν. Ἀριστείδην δὲ λέγει τὸν δίκαιον.

173,13 ὃν οὐδὲ Πλάτων αἰτιάσασθαι μόνον τῶν πάντων ἠξίωσεν τοὺς γὰρ ἄλλους κόλακας καλῶν τοῦτον οὐκ ὠνόμασεν. ἠξίωσεν ἀντὶ τοῦ ἄξιον ἐνόμισεν.

173,14 ἐκεῖνος Πλαταιᾶσι μὲν ἐκφανὴς ἦν, — ἐκρύπτετο ὑπὸ τῷ Μιλτιάδῃ ἐκφανὴς ἀντὶ τοῦ ἐπίσημος. ἐν τῇ Πλαταίᾳ δὲ ἐστρατήγει μετὰ Παυσανίου ὁ Ἀριστείδης καὶ λαμπρότερος ἦν τοῦ Παυσανίου ὁ Ἀριστείδης τότε· ἐν δὲ τῷ Μαραθῶνι ὁ αὐτὸς Ἀριστείδης ἐστρατήγει μετὰ Μιλτιάδου καὶ ἐκαλύπτετο ὑπὸ Μιλτιάδου.

173,15 δίκαιος ὢν, ὡς σὺ φῂς οὐκ ἔστι τοῦτο διαβολὴ, ἀλλὰ συντρέχει τῷ ἐπαίνῳ τοῦ Ἀριστείδου, ἵνα μᾶλλον σεμνύνῃ τὸν Μιλτιάδην.

173,16 οὐ περιιδὼν οὐκ ἀναμείνας. ἀντὶ τοῦ οὐκ ἀναμείνας εἰς συμμαχίαν τοὺς Ἕλληνας.

173,17 ἐν τῇ τριβῇ βραδυτῆτι· ἐβράδυναν γὰρ Λακεδαιμόνιοι συλλεγόμενοι. τὸ δὲ χρησμῳδεῖς δεινῶς εἶπεν, ὡς ἐπὶ μαντείας τοῦ Ἀπόλλωνος.

173,19 ἀλλ᾽ αὐτὸν ἐν αὐτῷ ἔχειν τὰς ἐλπίδας. κατὰ κοινοῦ ἔχειν τὰς ἐλπίδας.

173,20 Μιλτιάδης εἷς ἀνήρ ἐστιν, οὐκ ἄλλος οὐδεὶς ἐνταῦθα ἡ ἀπόδοσις τοῦ καὶ γὰρ ὁ τὴν μάχην σπεύσας γενέσθαι, καὶ ὁ τόδε καὶ τόδε ποιήσας, Μιλτιάδης, εἷς ἀνήρ ἐστιν. ἐπειδὴ δὲ καὶ ἄλλα. ἦσαν κοινωνοῦντες αὐτῷ κατὰ τὴν μάχην, διὰ τοῦτο μόνῳ Μιλτιάδῃ ἀνατίθησι τὸ κατόρθωμα.

174,1 προυκρίθη μόνος ἐξ ἁπάντων—τοῖς στρατιώταις παρακελευόμενος ἐπειδὴ εἶπεν εἷς ἀνὴρ, καὶ τὴν ἀπόδειξιν τούτου ἐπήγαγε, τὸ ὅτι καὶ μόνος ἐγράφη· ἦν γὰρ ἐν τῇ Ποικίλῃ στοᾷ γεγραμμένος ὁ Μιλτιάδης, ἐκτείνων τὴν χεῖρα καὶ ὑποδεικνὺς τοῖς Ἕλλησι τοὺς βαρβάρους, λέγων ὁρμᾶν κατ᾽ αὐτῶν. ὄνομα δὲ ἐκκλησίας ἡ Πνὺξ, ὡς καὶ Αἰσχίνης μέμνηται.

174,2 οὕτως ἐκεῖνός γε οὐ μόνον ἐν Πνυκὶ δείκνυσιν οὖν ὅτι οὐ μόνον στρατηγὸς ἦν, ἀλλὰ καὶ ῥήτωρ.

174,4 ἔπειτ᾽ Ἀθηναῖοι μὲν καὶ τοὺς πεσόντας τοθ᾽ ἑαυτῶν τὸ σχῆμα κατ᾽ ἐπιτίμησιν· καὶ ἀπὸ τοῦ ἐλάττονος γὰρ τὸ τῶν τελευτησάντων ζώντων ἐστίν. καὶ ἀπὸ τοῦ τάφου τὸν ἔπαινον ἔλαβε. κατὰ τοὺς ἄλλους δὲ, τοὺς ἐν ἄλλοις πολέμοις τελευτήσαντας.

174,6 ἰδίας καὶ τῆς τιμῆς ἠξίωσαν ἰδίας εἶπεν, εἰς τὴν Πλάτωνος ἀποτεινόμενος Πολιτείαν, ἐπειδήπερ ἐκεῖνος ἰδίας τιμὰς ἀπονέμει τοῖς φύλαξιν.

174,8 ἐλευθερίας, εὐκλείας εὐκλείας προσέθηκεν, ἐπειδὴ ὁ Πλάτων οὐ τὴν αὐτὸς ἐλευθερίαν ζητεῖ.

174,10 διακονῶν Ἀθηναίοις διεγένετο, δι᾽ ὃν οὐ διηκόνησαν Ἀθηναῖοι Πέρσαις τὰ αἴσχιστα καλῶς εἶπε τὰ αἴσχιστα· ἔστι γὰρ καὶ ἐπὶ καλοῖς διακονία. ὑπερβολικῶς δὲ εἶπεν ὅτι καὶ τὸν πολέμιον ἐκώλυσε γενέσθαι διάκονον. περὶ δὲ τούτου ἤδη εἶπε, λέγων «Καίτοι προείρητό γε ὑπὸ τοῦ βασιλέως αὐτῷ στερήσεσθαι τῆς κεφαλῆς, εἰ μὴ Ἐρετριέας καὶ Ἀθηναίους ἄγῃ.»

174,12 τῆς περὶ τὸν κομμώτην συμμορίας ἤδη μὲν ἔγνωμεν ἐκ τῶν Δημοσθενικῶν τί ἐστι συμμορία· ὅτι σύνταγμά ἐστι φανερῶν ἀνδρῶν ὡρισμένων εἰς λειτουργίαν. ἔνθα λέγει «Πρότερον μὲν εἰσφέρεται κατὰ συμμορίας.» νῦν δὲ συμμορίας λέγει, ὅτι Πλάτων, ὡς εἴπομεν, τὰς ἀρετὰς διαιρῶν τὰς τῆς ψυχῆς καὶ τοῦ σώματος εἶπε ταύταις ταῖς ἀρεταῖς ὑπεισέρχεσθαι κακίας ἑτέρας. κομμωτικὴν δὲ λέγει κουρικὴν, τὴν ἡδύ τι καὶ εὔμορφον ἐπάγουσαν. ταύτῃ δὲ ὁμοίαν τὴν ῥητορικήν· καὶ γὰρ τῷ δήμῳ τὸ ἡδὺ, φησὶ, παραινοῦσιν οἱ ῥήτορες.

174,13 οὕτως αὐχμῶντα ἁρμόζει τοῦτο τῇ ῥητορικῇ· τὸ γὰρ αὐχμηρὸν οἰκεῖον τῆς κόμης. κεκονιμένον τοῦτο τῆς μαγειρικῆς ἐναντίον· ὁ γὰρ μάγειρος τὸ ἡδὺ καὶ εὐηδὲς ζητεῖ· τὸ δὲ κεκονιμένον ἀηδές πως δοκεῖ τῇ θεᾷ.

174,14 πολλὴν μέν τ᾽ ἂν ὄφλοιμεν τὴν ἀλογίαν τῷ λέγειν ὄφλοιμεν συστέλλει τὴν ὕβριν τὴν πρὸς Πλάτωνα. ὁπόσον τι τῆς ἐκείνου σωφροσύνης τεκμήριον ὅτι νικήσας οὐκ ἐπῄρθη τῷ φρονήματι.

174,15 εἰ χρυσῆν ἐτύγχανεν ἔχων τὴν ψυχὴν ἀντιφιλοτιμεῖται τοῖς παραδείγμασι τοῦ Πλάτωνος· ὁ γὰρ Πλάτων τοὺς ἀγαθοὺς χρυσᾶς ἔχειν λέγει τὰς ψυχάς. οὐκ ἂν αὐτῇ καλλίω βάσανον προσήνεγκεν εἰπὼν χρυσὸν ἁρμόδιον αὐτῷ ἐπήγαγε τὴν βάσανον. ἔστι δὲ λίθος, δι᾽ ἧς ὁ χρυσὸς δοκιμάζεται.

174,16 ἐκεῖνος γὰρ τοσοῦτον ἔργον ἐξεργασάμενος δείκνυσι τὸν Μιλτιάδην ὑπὲρ τὸ παράδειγμα Πλάτωνος γενόμενον τοῦ χρυσῆν ἔχειν τὴν ψυχήν. εἶτα

συγκρίνων αὐτὸν τῷ Παυσανίᾳ κρείττονα καὶ αὐτοῦ δείκνυσι· Παυσανίας γὰρ κρατήσας ἐν Πλαταιαῖς τῶν Μήδων ἠβουλήθη ὕστερον προδοῦναι, ὥς φησι καὶ ὁ συγγραφεὺς ἐν τῇ πρώτῃ.

174,19 οὐδ᾽ ἐφρόνησε μεῖζον οὐδὲν ἢ πρὸ τῆς μάχης ἀντὶ τοῦ οὐκ ἠλαζονεύσατο· ὥσπερ, φησὶν, ἦν πρὸ τοῦ κατορθώματος, οὕτως ἔμεινε καὶ μετὰ τὴν νίκην, ἐπιεικὲς ἔχων τὸ φρόνημα.

174,20 καίτοι Παυσανίας μὲν οὔτε πρῶτος δήπου τοὺς βαρβάρους ἐνενικήκει ἀντιπῖπτον λύει, ἵνα μή τις εἴποι, ἀλλ᾽ εἰκότως μέγα ἐφρόνησεν, ἐπειδὴ καὶ πρῶτος ἐνίκησε τοὺς βαρβάρους. εἰς παράδειγμα δὲ βλέπων, ἀντὶ τοῦ μιμητὴς ἐγένετο.

175,1 εἰς παράδειγμα βλέπων μιμητὴς γενόμενος. οὔτε μόνους Λακεδαιμονίους ἔχων ταπεινοῖ τὸ κατόρθωμα τοῦ Παυσανίου τῷ κοινὸν αὐτὸ ποιεῖν.

175,3 σχεδὸν τῶν γε Ἀθηναίων κἀκεῖ τὰ πλεῖστα συνεπεξεργασαμένων τὸ σχεδὸν εἶπεν, ἐπειδὴ τῷ ὄντι Λακεδαιμόνιοι ἐνίκησαν. καλῶς εἶπε τὸ σχεδὸν, ἵνα μὴ δόξῃ ψεύδεσθαι· ὡμολόγητο γὰρ ὅτι τοῦ Παυσανίου ἦν τὰ κατὰ Πλάταιαν. τῶν ἀντιτεταγμένων δὲ λέγει, τῶν μηδισάντων· λέγει δὲ Θηβαίων.

175,5 τῶν Ἑλλήνων τῶν ἀντιτεταγμένων τῶν τὰ Μήδων φρονησάντων· λέγει δὲ διὰ τοὺς Θηβαίους. τά γε τῆς τειχομαχίας ἐπ᾽ ἐκείνους παντελῶς ἐλθεῖν τοῦτο οὐκ ἔτι ἐν τῇ Πλαταιᾷ ἐγένετο, ἀλλ᾽ ἐν Θήβαις· τῶν γὰρ βαρβάρων μετὰ τὴν τροπὴν καταφυγόντων εἰς τὸ τεῖχος, καὶ οὐκ ἐπεξιόντων εἰς μάχην, Ἀθηναῖοι τειχομαχήσαντες εἰς τέλος ἐνίκησαν.

175,6 ἀλλ᾽ ὁ Μιλτιάδης οὐκ ἀνέμεινε τοὺς Λακεδαιμονίους τότε ὀνειδίζει πάλιν αὐτοῖς τὴν πανσέληνον. τὸ δὲ οὐκ ἐκοίνωσε τὸ ἔργον ἀντὶ τοῦ οὐκ ἐποίησε κοινωνὸν, ὥσπερ Παυσανίας.

175,7 ὅτι μὴ Πλαταιέων φασί τινας προσδραμεῖν ὅρα πῶς οὐ σιωπᾷ τὴν ἀλήθειαν, ἵνα μὴ ἁλῷ ψευδόμενος. καὶ αὐτὴν δὲ τὴν κοινωνίαν ἐσμίκρυνε, τῷ εἰπεῖν προσδραμεῖν, ἀλλὰ μὴ πολεμεῖν.

175,8 πρῶτος καὶ μόνος τῶν Ἑλλήνων προσαναφωνεῖ τὰ τοῦ Θεμιστοκλέους πρῶτος εἰπών.

175,9,10 ὥστ᾽ ἐκεῖνον προσῆκεν ἐπιγράφειν, ὅτι στρατὸν ὤλεσε Μήδων τὸ ἐπίγραμμα μεταφέρει εἰς τὸν Μιλτιάδην, ὃ ἔγραψεν ἐν τῷ τρίποδι ὁ Παυσανίας, ὅπερ ὕστερον ἐξεκολάφθη.

175,11 ἀκριβῶς ἥρμοττεν αὐτῷ ἀπὸ κοινοῦ ἐπιγράφειν.

175,12 ἀλλ᾽ ὅμως καὶ ταῦτα πράξας ἠπίστατο σωφρονεῖν πάλιν τὸ ἐπιεικὲς ἐμφαίνει τοῦ Μιλτιάδου.

175,13 οἷα Παυσανίας πολλὰ κατηγορήθη ταῦτα προσλαβὼν εἶπεν ὁ συγγραφεύς· διὸ σιωπᾷ ὁ ῥήτωρ καὶ οὐ λέγει, τὰ ἐγνωσμένα παρὰ πᾶσιν.

175,14 ὥσπερ Λύσανδρον τὸν ἐν Αἰγὸς ποταμοῖς Λύσανδρος, ναύαρχος ὢν Λακεδαιμονίων, ἐν Αἰγὸς ποταμοῖς — τοῦτο δὲ τὸ χωρίον ἐν τῷ Ἑλλησπόντῳ τῆς Θρᾴκης — νικήσας τοὺς Ἀθηναίους, ὡς λέγει Ξενοφῶν, δεκαδαρχίας καθίστη ἐν ταῖς πόλεσι, θέλων ὀλιγαρχίαν ποιῆσαι· καὶ ἐντεῦθεν στάσεις καὶ θόρυβοι ἐγένοντο ἐν ταῖς πόλεσι. πάλιν δὲ τὸν Μιλτιάδην συγκρίνει πρὸς τοῦτον, καὶ αὐτὸν μέγα φρονήσαντα μετὰ τὴν νίκην.

175,17 πολλῶν καὶ μεγάλων κακῶν αὐτὸν τοῖς Ἕλλησιν ἄρξαντα διὰ τὰς μεταβολὰς τῶν πολιτειῶν αἰνίττεται ὅτι δεκαδαρχίας καταστήσας ἐζήτει μεταβαλεῖν τὰς πολιτείας. διὸ μὴ ἀνεχομένων στάσεις ἐγίνοντο. ἀλλὰ τοιοῦτον μὲν οὐδὲν οὔτε πράξαντα ἀλλ᾽ ἐρεῖς, φησὶν, ὅτι περὶ τοιούτων οὐδεὶς κατηγορεῖ Μιλτιάδου, περὶ δὲ τῶν λοιπῶν αὐτὸς ἐπάγει. φιλοτιμίας δὲ, φιλοδοξίας καὶ ἀλαζονείας.

176,3 καὶ σκόπει, παρ᾽ οὕστινας αὐτὸν ἐξετάζω, Λυκοῦργον, Παυσανίαν, Λύσανδρον, Ἀγησίλαον φανερῶς νῦν τὴν παράθεσιν ἐγύμνωσεν, ὅτι πρὸς τοὺς φίλους Πλάτωνος τὸν Μιλτιάδην συγκρίνει.

176,5 ὥσπερ Θίβρωνα τὸν Σπαρτιάτην ἤδη τινὲς ᾐτιάσαντο τοῦτον λέγουσι στρατηγὸν γενέσθαι Λακεδαιμονίων, τὸν Θίβρωνα, μέθυσον καὶ ἀκόλαστον.

176,6 ἀλλ᾽ οἷα δὴ τὰ τῆς δημοκρατίας ἐπιχώρια, φαίνειν, ἐνδεικνύναι τοῦτο προσέθηκεν, ἵνα μή τις εἴπῃ· ἀλλὰ ταῦτα μὲν οὐχ ἡμάρτανεν ὁ Μιλτιάδης τὰ Λακωνικὰ, — Ἀθηναῖος γὰρ ἦν — ἀλλὰ τὰ Ἀττικά. φαίνειν δέ ἐστι τὸ κακῶς ἐπιτροπεύειν· φάσις γάρ ἐστιν ὄνομα δίκης κατὰ τῶν κακῶς ἐπιτροπευόντων. ἔνδειξις δὲ ὄνομα δίκης κατὰ τῶν ὀφειλόντων τῷ δημοσίῳ. ἄλλοι δὲ τὸ φαίνειν ὄνομα δίκης λέγουσι κατὰ τῶν Ἀθηναίων ἐμπόρων, τῶν μὴ ἐν τῇ Ἀττικῇ, ἀλλ᾽ ἀλλαχόσε σιτηγούντων. φαίνειν κακῶς ἐπιτροπεύειν.

176,7 δημεύειν κρίνειν. εἴπῃ τις ὅτι κακῶς εἶπε τὸ δημεύειν ἐπὶ τοῦ ῥήτορος· οἱ γὰρ δικασταὶ τούτου κύριοι. λέγομεν οὖν ὅτι καὶ παρὰ Δημοσθένει ἔχομεν τὴν λέξιν ἐν Φιλιππικοῖς. ἔνθα λέγουσι τὸ κρίνειν δημεύειν δηλοῖ, ὅτι τῶν ῥητόρων τινὲς χαριζόμενοι τῷ δήμῳ ἔγραφον κατά τινων πλουσίων δήμευσιν. τὸ δημεύειν δηλοῖ, ὅτι τῶν—δήμευσιν. οὐ ῥήτορας οὐδαμῶς δεινῶς ὁ Ἀριστείδης τούτους διαβάλλει, μὴ ὄντας ἀληθείᾳ ῥήτορας, ἵνα δι᾽ ὧν τούτων κατηγορῇ, βεβαιώσῃ τῶν ἀνδρῶν τὸν ἔπαινον. τούτους δὲ καὶ ὁ Ἀριστοφάνης κωμῳδεῖ.

176,8 εἴπερ γε ἦσαν τοιοῦτοι ῥήτορες.

176,11 εἴ τις προσεῖχεν αὐτῷ τὸν νοῦν τοῦτο προσέθηκεν, ὅτι ἐν τῇ κοινῇ ἀπολογίᾳ λέγει, μὴ πάντας ὠφελῆσθαι παρ᾽ αὐτῶν.

176,12 εἰ δὲ μὴ σοφὸς ἦν τὰ μετέωρα, ὥσπερ Ἀναξαγόρας, οὐδὲ Σωκράτης σοφὸς ἦν ταῦτά γε εἴπῃ τις ἀκαίρως εἰρῆσθαι τὸν λόγον· οὐδὲ γὰρ Πλάτων ἐξήτει δεῖξαι αὐτοὺς μὴ ὄντας ἐπιστήμονας τῶν μετεώρων. λέγομεν οὖν ὅτι τοῦτο εἶπεν, ἵνα δείξῃ τὸν Μιλτιάδην τῷ Σωκράτει ὅμοιον· λέγουσι γὰρ καὶ αὐτὸν Σωκράτην ἄπειρον τὰ μετέωρα. εἶτα καὶ μείζονα δείκνυσι τῷ λέγειν αὐτὸν μὴ ἀκροᾶσθαι Ἀναξαγόρου.

176,13 καὶ ταῦτά γε, ὥς φασιν, ὁμιλήσας ἐκείνῳ τῷ Ἀναξαγόρᾳ, καλῶς δὲ ἀντέθηκε, δεικνὺς μὴ ὄντα Μιλτιάδην Σωκράτους φαυλότερον.

176,16 οὐχ ὥσπερ τὸν Ὀρέστην φασὶ, τὰς ἡμισείας μεταλαβόντα δώδεκα γὰρ θεῶν δικασάντων Ὀρέστῃ καὶ ταῖς Ἐριννύσιν, ἓξ προσετέθησαν τῷ Ὀρέστῃ, μεθ᾽ ὧν ἦν ἡ Ἀθηνᾶ, καὶ νενίκηκεν, ἐπειδήπερ θνητὸς ὢν τὰ ἴσα

θεοῖς ἔσχε. τὰς ἡμισείας ψήφους. εἰκότως· ὁ μὲν γὰρ τὴν μητέρα ἀπέκτεινε δικαίως τῷ εἰπεῖν εἰκότως τὴν σύγκρισιν ἐθεράπευσεν, ἐπειδήπερ πρὸς μητροκτόνον αὐτὸν παρέβαλεν, ὅπερ ἐστὶν ἄτοπον· καὶ γὰρ δίκαιος ἦν ὁ φόνος, ἀλλ᾽ εἰς μητέρα ἐτολμήθη.

176,17 τὰ τροφεῖα κάλλιστα ἀνθρώπων ἐξέτισεν, οὐ μόνον τῇ πατρίδι κυρίως γὰρ τροφεῖα ἐπὶ πατρίδος λεκτέον.

177,1 κοινὸν δὲ τῆς Ἑλλάδος ἀρχηγέτην ἐκεῖνον δικαίως ἄν τις ἡγοῖτο πάλιν συγκρίνει αὐτὸν πρὸς τοὺς ἀρχηγέτας τοῦ γένους τῶν Ἑλλήνων, ὅπερ ἐστὶ μέγιστον. ἀρχηγέτας δὲ, ὡς ἐλευθερωτὰς τοῦ γένους ὄντας.

177,2 νομίζω δ᾽ ἔγωγε καὶ τὴν αἰτίαν λύσις ἀντιθέσεως. ἀντίθεσιν ἐνταῦθα λύει· προσκαταλαμβάνει γὰρ τοὺς ἀγῶνας, ἐν οἷς λύει τὰ δοκοῦντα ἐγκλήματα· ὅπερ ἐποίησε καὶ ἐπὶ τοῦ υἱοῦ αὐτοῦ Κίμωνος. ἔστι δὲ ἡ ἀντίθεσις αὕτη· ἀλλ᾽ ἐν δεσμωτηρίῳ ἐφρουρήθη. ἡ δὲ ἱστορία αὕτη· μετὰ τὰ κατὰ Μαραθῶνα ἐπεστράτευσεν ἐπὶ τοὺς Παρίους ὁ Μιλτιάδης, ἢ ὅτι συνέπραξαν τῷ Πέρσῃ, ἢ ὅτι ἀπέστησαν τῶν Ἀθηναίων. ἔστι δὲ αὕτη ἡ νῆσος εὐτελής. ταύτην πολιορκοῦντος αὐτοῦ ἐπέμφθη βέλος ἐξ ἀφανοῦς, καὶ ἔτρωσεν αὐτοῦ τὸν μηρόν. ὁ δὲ νομίσας τῆς Δήμητρος εἶναι τὸ βέλος, — ἦν γὰρ πλησίον τοῦ τείχους βωμὸς αὐτῆς — καὶ τὸ ἱερὸν φοβηθεὶς ἀνεχώρησε. καὶ προδοσίας αὐτοῦ κατηγόρησαν οἱ Ἀθηναῖοι, καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλον, μέχρι τῆς ἐκτίσεως φρουροῦντες αὐτὸν τοῦ τιμήματος· κατεψηφίσαντο γὰρ αὐτοῦ πεντήκοντα τάλαντα. μετὰ τὰ κατὰ Μαραθῶνα—τάλαντα. δεινῶς δὲ εἰς ἐγκώμιον αὐτοῦ τὴν αἰτίαν περιτρέπει, δεικνὺς ὅτι διὰ τοῦτο ἐζημίωσαν αὐτὸν Ἀθηναῖοι, διότι νομίζοντες αὐτὸν ὑπὲρ ἄνθρωπον, καὶ τοῖς πᾶσιν ἀήττητον, εἶδον ἀναχωρήσαντα αὐτὸν ἐκ Πάρου ἄπρακτον. εἰ δεῖ τι καὶ περὶ ταύτης εἰπεῖν καλῶς τὸ εἰ δεῖ. περιττὸν θέλει δεῖξαι τὴν ὑπὲρ τούτου ἀπολογίαν. ἄλλοι δὲ εἶπον τὸ εἰ δεῖ, ἐπειδήπερ ὁ Πλάτων οὐχ ὑπὲρ αὐτῆς αὐτοῦ κατηγόρησε.

177,3 ἅπαντας γὰρ ἠξίουν ἡττᾶσθαι τῆς ἀρετῆς τῆς ἐκείνου ἐνθύμημα. τὸ δοκοῦν ἔγκλημα τοῦ Μιλτιάδου δεινῶς εἰς ἐγκώμιον ἔτρεψεν, ὅ ἐστι

μέγιστον χρῶμα. λέγει γὰρ ὅτι φησὶν, εἰ μὴ ἐνίκησε, τοῦτο ἔγκλημα ἐποιήσαντο.

177,5 τὸν διὰ βίου μελετήσαντα ἀρετὴν ὡσανεὶ ἔλεγεν, οὐχ ἑνὶ τροπαίῳ, ἀλλὰ πλείστοις. μόριον δὲ εἶπε τὴν κολακείαν, ἐπειδήπερ τέταρτον μέρος εἶπεν αὐτὸ ὁ Πλάτων τῆς κακίας.

177,6 τὸν οὐδ' ὅτ' ἐκρίνετο, οὐδὲν πλέον ἐπήγαγε πρὸς τὰ ἀποβάντα ἔργα τοῦ Μιλτιάδου, ἐπειδὴ τούτων οὐδὲν ἐποίησεν, ὥσπερ καὶ ὁ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου εἶπε φρόνιμον τὴν μητέρα αὐτοῦ, ὅτι ἀπέδοτο αὐτὸν κακὸν, ὡς ἐδείχθη ὕστερον. τὸν οὐδ' ὅτ' ἐκρίνετο, οὐδὲν πλέον τοῖς δικασταῖς δείξαντα τοῦ τραύματος εἰς ἀπολογίαν, φησὶ, τῆς νομισθείσης προδοσίας κατ' αὐτοῦ μόνον τὸν πληγέντα μηρὸν ἐδείκνυε. τοῦτο γοῦν καὶ λέγεται περὶ αὐτοῦ. τὸ φρόνημα δὲ αὐτοῦ διὰ τούτου δείκνυσιν.

177,7 οὐ παιδία ἀναβιβασάμενον, ὄντος αὐτῷ Κίμωνος ἐπειδὴ γὰρ τοὺς φαύλους παῖδας οὐκ εἰώθασιν ἐλεεῖν οἱ κρίνοντες, διὰ τοῦτο τὸν Κίμωνα προύθηκε, δεικνὺς τὸ ἄξιον τῆς αἰδοῦς πρόσωπον.

177,8 μεγαλοπρεπῶς παρρησιαστικῶς καὶ μετ' ἀδείας.

177,11 ἐκείνου δὲ εἰ ταῦτα καταψηφιούμεθα ἐκείνου λέγει, τοῦ Πλάτωνος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐγὼ, φησὶ, δόξω ψευδὴς εἶναι, εἰ χαριζόμενος Πλάτωνι τὰ τῆς ἀληθείας καλύψω σιγῇ.

177,12 ἄλλην τίν' ἂν αὐτῷ τιμὴν ἀποδοίημεν ἔγωγε οὐχ ὁρῶ αὐτῷ τῷ Μιλτιάδῃ λέγει. ἄλλοι δὲ τῷ Πλάτωνι, καὶ ποιοῦσι τὸν νοῦν τοῦτον· εἰ πεισθείημεν Πλάτωνι, κατὰ Μιλτιάδου ταῦτα λέγοντι, οὗ χάριν ἀποδώσομεν αὐτῷ Πλάτωνι. τὸ γὰρ τίνα, ἐρωτηματικὸν ὂν, ἀναίρεσιν ἔχει τοῦ λεγομένου· οἷον εἰ φαῦλον δώσομεν χάριν, οὐκ ἄλλην· οὔκουν ἄρα οὐ δώσομεν. αὐτῷ ἤτοι τῷ Μιλτιάδῃ, ἢ τῷ Πλάτωνι.

ΘΕΜΙΣΤΟΚΛΗΣ.

Λοιπὸς τοίνυν Θεμιστοκλῆς ὁ κορυφαιότατος. ῥητορικῶς Ἀριστείδης ἐξ ἀμφοτέρων τῶν ἄκρων τὴν τάξιν τῶν μεγίστων προσώπων εἰργάσατο, προτάξας μὲν τὸν Περικλέα, τελευταῖον δὲ τηρήσας τὸν Θεμιστοκλέα. οὐχ ἁπλῶς δὲ εἶπε τὸ λοιπὸς Θεμιστοκλῆς, ἀλλ' ἀντὶ τοῦ ὁ

κορυφαιότατος καὶ ἀκρότατος. δεῖ δὲ γνῶναι ὅτι τὸν περὶ τοῦ στεφάνου Δημοσθένους ἐν τούτῳ μεμίμηται τῷ λόγῳ. ῥητορικῶς— τὸν Θεμιστοκλέα. ἥκιστα δὴ πάντων ἄξιος ἐκ δευτερείων τὰ πρωτεῖα ἔχειν ἕκαστος γὰρ ἑαυτὸν ἄριστον εἶχε, καὶ γενναῖον φάσκων δεύτερον ἐψήφιζε τὸν Θεμιστοκλέα. τὸ δὲ περὶ Θεμιστοκλέους τοιοῦτόν ἐστι· μετὰ τὸ νικηθῆναι τὸν βάρβαρον συνῆλθον εἰς τὸν Ἰσθμὸν πάντες οἱ Ἕλληνες τὸν τῆς Κορίνθου πρὸς τοῖς λαφύροις πρὸς ἀξίαν τιμῆσαι τοὺς ἀριστεύσαντας. ἔνθα πάντες ἐρωτώμενοι τίς ἐνίκησεν, ἕκαστος ἔλεγεν, ἐγὼ πρῶτος, καὶ μετ᾽ ἐμὲ Θεμιστοκλῆς. τὸ μὲν οὖν ἐγὼ πρῶτον ἔλεγον, ὡς μὴ ἀνεχόμενοι ἑαυτοῖς ὑβρίσαι διὰ τὸ ὡς πᾶς τις αὐτὸν τοῦ πέλας φιλεῖν, τὸ δὲ μετ᾽ ἐμὲ Θεμιστοκλῆς, διὰ τὴν ἀλήθειαν, ἣν οὐκ ἠνείχοντο κρύψαι. μετὰ τὸ κινηθῆναι τὸν βάρβαρον συνῆλθον πάντες οἱ Ἕλληνες εἰς τὸν Ἰσθμὸν τῆς Κορίνθου, ὥστε τιμῆσαι κατ᾽ ἀξίαν τοῖς λαφύροις τοὺς ἀριστεύσαντας. ἔνθα πάντες ἐρωτώμενοι τίς ἐνίκησεν, ἕκαστος ἔλεγεν, ἐγὼ πρῶτος, καὶ μετ᾽ ἐμὲ Θεμιστοκλῆς. τὸ μὲν οὖν ἐγὼ πρῶτος ἔλεγεν, ἑαυτοὺς προάγειν τῶν ἄλλων βουλόμενοι, τὸ δὲ μετ᾽ ἐμὲ Θεμιστοκλῆς, διὰ τὸ μὴ δύνασθαι κρύψαι τὴν ἀλήθειαν.

177,14 εἰ τὰ μάλιστα καὶ τοῦτο αὐτὸ ἐκείνῳ μόνῳ τῶν πάντων ὑπάρξαν φαίνεται ὡς θαυμάσιον εἴρηται· οὐδεὶς γὰρ βούλεται πρῶτον ἑαυτοῦ ἔχειν τινὰ, ἀλλὰ μᾶλλον ἑαυτὸν ἄριστον εἶναι. εἶτα, ὡς μὴ ἔχων ἄλλον τινὰ, πρὸς ὃν συγκρίναι τὸν ἄνδρα, πρὸς ἄλλον Ἀθηναῖον αὐτὸν παραβάλλει.

178,1 τὸν ὡς βούλει λέγε ῥητορικῶς ὁ Ἀριστείδης διὰ τῶν λέξεων, δι᾽ ὧν ὁ Πλάτων ἀνεδείκνυε φαῦλον τὸν Θεμιστοκλέα, διὰ τούτων θαυμαστὸν αὐτὸν κηρύττει. λέγει οὖν ὅτι ὡς βούλει κάλει τὸν Θεμιστοκλέα. οὐδὲν γὰρ βλάπτεις αὐτὸν, ὡς βούλει καλῶν. πᾶσι τοῖς εἰς αὐτὸν ἐλθοῦσι ἀντὶ τοῦ καταλαβοῦσιν αὐτόν.

178,2 ὅσῳ Ξέρξης Δαρεῖον ταῖς παρασκευαῖς ἅπασι δῆλός ἐστιν ὑπερβαλλόμενος ἐκ τῆς τῶν πολεμίων παρασκευῆς ποιεῖται τὴν σύγκρισιν, ἐπειδήπερ εἷς ὢν ὁ Μηδικὸς πόλεμος πρὸς ἀμφοτέρους ἐγένετο αὐτός. ὡσαύτως δὲ ἐκ τῶν ἡττηθέντων προσώπων συγκρίνων ἐπαίρει τὸν Θεμιστοκλέα. ὥσπερ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου·

βουλόμενος γὰρ αὐξῆσαι τὸ δεινὸν, ὃ πέπονθεν, εἰσάγει τὸν Μειδίαν λέγοντα ὅτι καὶ ἄλλοι τινὲς ἐτυπτήθησαν, ὥσπερ ὁ πρόεδρος καὶ ὁ θεσμοθέτης. εἶτα αὔξει καὶ ἐκ τῶν ποιησάντων, ὅτι οἱ τύψαντες ἐμέθυον, καὶ ἠγνόουν· καὶ ἐκ τῶν παθόντων, ὅτι οἱ τυπτηθέντες ἀργύριόν τι δεξάμενοι τοὺς νόμους προδεδώκασιν· οὔτε δὲ ὁ Μειδίας ἠγνόει οὔτε ἐγὼ τοὺς νόμους προδέδωκα. οὐχ οὗτος δὲ ἦν βασιλεύς· πρῶτος γὰρ ἦν Δαρεῖος, δεύτερος δὲ Ξέρξης· ἀλλ᾽ ὡς πρωτόγονον ἀποδέδωκεν. ὑπάρχους δὲ εἶπε διὰ τὸν Δάτιν καὶ Ἰνταφέρνην.

178,3 ὁ δ᾽ αὐτὸν ἐνίκα βασιλέα ὁ Θεμιστοκλῆς δηλονότι. βασιλέα δὲ λέγει τὸν Ξέρξην.

178,8 οὔτ᾽ ἄλλον ἔπεμψε τοῦ λοιποῦ ὡς μετὰ πάντων ἡττηθείς.

178,9 ὃν κατέλιπε Μαρδόνιον, θανατῶντα, ὡς εἰπεῖν, κατέλιπε Μαρδόνιος εἰδὼς ἑαυτὸν αἴτιον εἶναι τῆς ἐπὶ τὴν Ἑλλάδα στρατείας ὡς ἡττηθεὶς ἔφυγεν ὁ βασιλεὺς, δεηθεὶς αὐτοῦ πρότερον ἔμεινεν ἐν τῇ Ἑλλάδι, ἐπὶ τῷ πολεμῆσαι τοῖς Ἕλλησι, διπλῆν ἔχων τὴν ἔννοιαν· ἐλογίζετο γὰρ, εἰ ἡττηθεὶς ἀποθάνοι, οὐ κριθήσεται παρὰ τοῦ βασιλέως αἴτιος τῆς στρατείας, εἰ δὲ νικήσῃ, τιμηθήσεται παρ᾽ αὐτοῦ. πεντήκοντα δὲ εἶχε μυριάδας μεθ᾽ ἑαυτοῦ Μαρδόνιος, ἀναχωροῦντος τοῦ Ξέρξου.

178,10 ὅπως ἔχοιεν πρὸς ὃν ἀσχολοῖντο οἱ Ἕλληνες ἀντιπῖπτον λύει· καὶ ἡττήθη, πῶς κατελίμπανε Μαρδόνιον; λέγει οὖν ὅτι, οὐχ ἵνα νικήσῃ, καταλιμπάνει Μαρδόνιον, ἀλλ᾽ ἵνα φυγῆς τύχῃ πρὸς αὐτὸν ἀσχολουμένων τῶν Ἑλλήνων.

178,11 Μιλτιάδῃ μὲν οὖν εἰς ἓν κεφάλαιον— παρὰ πᾶσαν τὴν πολιτείαν ἓν, φησὶν, ἔργον ἔδειξεν αὐτοῦ τὴν ἀνδρείαν. εἶτα ἐπειδὴ διαβολὴ ἦν τὸ εἰπεῖν ἓν ἔργον γενναίου ἀνδρὸς, ἐπήγαγε, λέγων ὅτι, εἰ καὶ ἀεὶ ἦν καὶ πρὸς ἅπαν ἀνδρεῖος, ἀλλ᾽ οὖν τότε μιᾶς πράξεως αὐτῷ ἐδέησε.

178,12 Θεμιστοκλέα δὲ τὰ δεύτερα ἀεὶ τῶν προτέρων μείζονα ἐξεδέχετο μετὰ γὰρ τὰ ἐπ᾽ Ἀρτεμισίῳ τὰ ἐν Σαλαμῖνι συνέβη. ἐξεδέχετο ἀντὶ τοῦ διεδέχετο.

178,13 τὸ μὲν γὰρ ἔλιπεν αὐτὸν κῦμα, τὸ δὲ ἐγκατελάμβανεν, ἕως διεξῆλθε διὰ τῶν τρικυμιῶν νικῶν παροιμία. τοῦτο ἐξηγήσατο, πῶς τὰ δεύτερα τῶν προτέρων μείζονα ἔτι, μετὰ τὰ ἐπ᾽ Ἀρτεμισίῳ τὰ ἐν Σαλαμῖνι συνέβη. εἶτα ἐπειδὴ τὸ ἐγκατελάμβανε τροπικόν ἐστιν, — ὡς ἐπὶ κυμάτων γὰρ εἶπε θαλάττης — ἐπήγαγεν ὁμοίαν λέξιν, διὰ τῶν τρικυμιῶν, ἐμμένων τῇ τροπῇ.

178,14 Μιλτιάδῃ μὲν σχεδὸν ἀνδρίας μᾶλλον ἢ σοφίας ἔδει πρὸς τὰ παρόντα σοφίας ἀντὶ τοῦ τέχνης· εὐφήμως γὰρ εἶπεν. ἐχρῆν δὲ εἰπεῖν πανουργίας· ὁ δὲ εἶπε σοφίας· δείκνυσι δὲ ὅτι καὶ σοφὸς μὲν ἦν, οὐ μὴν ἐν ἐκείνῳ τῷ καιρῷ ἐδεήθη σοφίας.

178,17 ὑπεύθυνος ἦν καινοπρεπῶς εἶπε νῦν τὴν λέξιν· οὐ γὰρ ἐπὶ ἐγκλήματι ὑπεύθυνος ἦν, ἀλλὰ λέγει ὅτι ἐν οἷς ἦν ἐνεχόμενος. τάχα δὲ τοῦτο εἶπε, δεικνὺς αὐτὸν ὥσπερ φοβούμενον τὰς μελλούσας εὐθύνας, ἃς εἶχε παρασχεῖν, ὑπὲρ ὧν ἐπολέμησαν. καινοπρεπῶς νῦν τὴν λέξιν. οὐ γὰρ ἐπὶ ἐγκλήματι ὑπεύθυνος ἦν. ἐκ τῶν περιεστηκότων ἀντὶ τοῦ ἐκ τῶν περιστοιχιζόντων αὐτόν. λέγει δὲ ὅτι καὶ ἀνθρωπίνης ἐδεῖτο βουλῆς, τῷ λέγειν συνέσεως καὶ θείας βουλῆς. μαντικῆς μὲν οὖν, ὡς εἰπεῖν διὰ τὸν χρησμόν. μαντικῆς γὰρ ἦν τῷ νοῆσαι τὸν χρησμὸν σημαίνοντα, ὡς ἐν τῇ Σαλαμῖνι δεῖ ναυμαχῆσαι. μαντικῆς μὲν οὖν, ὡς εἰπεῖν, —δεινότητος, πρᾳότητος, καρτερίας, εὐαρμοστίας μαντικῆς, διὰ τὸ νοῆσαι τὸν χρησμόν· δεινότητος, διὰ τὸ δύνασθαι πεῖσαι λόγοις· πρᾳότητος, ὅτι καὶ τυπτόμενος παρὰ Εὐρυβιάδου ἔφερε· καρτερίας δὲ, ὅτι ἠνέσχετο τὴν πόλιν καταλιπεῖν· εὐαρμοστίας, ὥστε ἁρμόσασθαι τῇ χρείᾳ.

178,18 δεινότητος, πρᾳότητος, καρτερίας δεινότητος μὲν, διὰ τὸ δύνασθαι πεῖσαι λόγοις, πρᾳότητος δὲ, ὅτι καὶ τυπτόμενος παρ᾽ Εὐρυβιάδου ἔφερε, καρτερίας δὲ, ὅτι ἠνέσχετο τὴν πόλιν καταλιπεῖν, καὶ ὥσπερ καταφρονῆσαι τῶν οἰκείων. εὐαρμοστίας ὥστε ἁρμόσασθαι τῇ χρείᾳ· ἡ δὲ λέξις παρατηρητέα.

178,19 πρὸς τοὺς ἄνδρας, τοὺς ἀπὸ τῆς πόλεως τοὺς Ἀθηναίους, ἵνα πείσῃ αὐτούς. τοὺς ἀπὸ τῆς Ἑλλάδος δὲ, τοὺς Ἕλληνας, πῶς συναγάγοι καὶ θαρσύνοι. καί μοι δοκεῖ τὸ μὲν Μιλτιάδου τοῦτο, φησὶν, ἑνὸς πράγματος

δηλοῖ ἐγκώμιον· τὸ δὲ τοῦ Θεμιστοκλέους πολλῶν πραγμάτων ἀριστείαν δηλοῖ· ἡ γὰρ πολιτεία πολλῶν ἐστι περιεκτική.

179,1 ἀκριβῶς πολιτεία ἡ γὰρ πολιτεία πολλῶν ἔργων ἐστὶ περιεκτική.

179,2 τοσαῦτ᾽ ἦν τὰ πραττόμενα καὶ δημιουργούμενα ὅτι τὰ ἐν εἰρήνῃ δημιουργούμενα δοκεῖ πως ἀκίνδυνα εἶναι. ἀπὸ τοῦ καιροῦ οὖν αὔξει τὰ τῆς δημηγορίας αὐτοῦ.

179,4 οὐχ ἧττον καλέσαι τὰς Μούσας ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ᾽ ἔχουσαι, ὅστις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίος ἦλθεν, ἢ αὐτῶν Τρώων, ἠὲ κλειτῶν ἐπικούρων.

179,7 μικροῦ καὶ τῆς Εὐρώπης θαυμαστικῶς τοῦτο πάνυ προστέθεικε· σχεδὸν γὰρ καὶ τῆς Εὐρώπης ἦν βασιλεὺς, διὰ τὸ ἤδη τινὰς τῶν Ἑλλήνων ἔχειν ὑπηκόους. ἀπὸ ποίων δέ τινων ἔργων τὸ σχῆμα θαυμαστικὸν, τῶν φανερῶν ἔργων.

179,9 πῶς εἶχε τότε τἀνθρώπεια εὐφήμως εἶπεν ἀντὶ τοῦ φαύλως· ἀσθενῶς γὰρ εἶχον τότε πρὸς τὴν μάχην οἱ Ἕλληνες. τοῦτ᾽ ἔμοιγ᾽ ἂν ἐρωτᾶν δοκεῖ καὶ δεῖσθαι αὔξει τὰ Μηδικά· ἀλλ᾽ ἵνα πλέον αὐξήσῃ τοῦ Θεμιστοκλέους τὰ κατορθώματα· ὡς γὰρ αὐτὸς, εἰ μὴ ἐξαρκῶν εἰπεῖν, Ὅμηρος, ἐπικαλεῖται σύμμαχον.

179,10 τί οὖν κωλύει ἀντὶ τοῦ οὐδὲν κωλύει. δηλοῖ δὲ οὐ μικρὰ ὄντα τὰ τῆς ὑποθέσεως· εἰ γὰρ ἦν, φησὶν, εὐτελῆ, ἐκ τῶν Μουσῶν σημεῖον γενέσθαι.

179,12 τὸν αὐτὸν τρόπον, ὅνπερ ἀρτίως ἐξητάσαμεν ἀντὶ τοῦ πρὸ μικροῦ, πρὸ ὀλίγου· οἱονεὶ τὰ ἐπὶ Δαρείου γενόμενα τῷ Μιλτιάδῃ· οἱ μὲν γὰρ ἐκ τριγονίας ἐδούλευον, οἱ δὲ ἐκ πλείονος.

179,13,14 καίτοι τοῦτό γε οὐδὲν ἴσως προὔργου. —ἐκεῖνον θεωρήσειε τὸ μαθεῖν, φησὶν, οὐδὲν ὄφελός ἐστιν, ἐπειδήπερ οὐ δυνάμεθα παραστῆσαι τῷ λόγῳ τὰς ἐκείνου πράξεις. οὐδὲν ἴσως προὔργου τουτέστιν, οὐκ ἔστι μοι ἀναγκαῖον, εἰ καὶ μὴ δυνηθῶ αὐτὸν ἐπαινέσαι· ἐκ γὰρ τούτου αὐτοῦ ἔπαινος αὐτῷ γράφεται, ὅτι τοιαῦτα κατώρθωσεν, ὥστε μὴ λόγῳ αὐτὰ δύνασθαι ὑποβληθῆναι. ἃ γὰρ οὐκ ἔστιν ἐνδείξασθαι τῷ λόγῳ τὰ ἐπὶ

Ξέρξου γενόμενα. ὃ θέλει εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι πῶς δυνάμεθα πράξεις Θεμιστοκλέους κατορθεῖν μὴ εἰρηκότες αὐτάς.

179,14,15 πλὴν εἰ τοῦτό γε αὐτὸ ἐνθυμηθεὶς, — μετεχείρισεν, ὡς ἠβούλετο θεωρῶν δηλονότι, οὔτε πῶς δύναταί τις αὐτὸν θεωρῆσαι, μὴ δυναμένου τοῦ λόγου τὰς πράξεις αὐτοῦ δηλῶσαι, εἰ μή τοί γε οὕτως αὐτὸν θεωρήσει, ἐνθυμηθεὶς ὅτι, ἃ λόγος οὐ παρίστησιν, ἐκεῖνος εἰργάσατο. πλὴν ὅτι τοῦτο δεῖ ἡμᾶς ἀντὶ ἐγκωμίου παραλαβεῖν, τὸ ἐκεῖνον μὲν εὐχερῶς αὐτὰς διελθεῖν.

179,16 δέκα μὲν γὰρ ἐξῆς ἔτη ὤδινεν ἅπασα ἤπειρος τὴν ὁρμὴν ἐν τῇ ψυχῇ ὡς ἔμβρυον ἐταμίευσε· τὸ γὰρ εἰπεῖν ὤδινεν τὸ μέγεθος δηλοῖ τῆς ὀργῆς. τὸ δὲ σχῆμα καλεῖται πρὸς τὸ σημαινόμενον· ἀπὸ γὰρ ἑνικῆς θηλυκῶν μετέβη εἰς πληθυντικὴν ἀρσενικῶν πτῶσιν. δίκην τῆς Μαραθῶνι μάχης λαβεῖν τὸ δίκην εἶπεν ὡς ἐπὶ ἁμαρτήματος· ἡγοῦντο γὰρ οἱ Ἀθηναῖοι ἡμαρτηκέναι τοὺς Πέρσας, οἷς ἐτόλμησαν κατὰ τῆς Ἑλλάδος ἐλθεῖν.

179,17 ἡτοιμάζετο δὲ ἐκ πάσης γῆς καὶ θαλάττης πάντα ἡτοιμάζοντο, φησὶ, τὰ πάντα, οὐ κατὰ μέρος ἑκάστου συνεισφέροντός τι, ἀλλὰ πάντων τὰ πάντα ἐκ πάντων συναγαγόντων. Αἰγύπτου δὲ ἀποστάσης—οὕτω ῥᾳδίως ἐκείνην παρεστήσατο μετὰ γὰρ τὰ ἐν Μαραθῶνι καταφρονήσαντες Μήδων Αἰγύπτιοι ἀπέστησαν· καὶ ῥᾳδίως αὐτοὺς ἐχειρώσατο Ξέρξης. δεύτερον δὲ ἀπέστη ἡ Αἴγυπτος, πρῶτον ἐπὶ Καμβύσου καὶ δεύτερον ἐπὶ Δαρείου, ἡνίκα ῥᾳδίως αὐτοὺς παρεστήσατο.

179,19 δεκάτῳ δὲ ἔτει συνῆλθον ἐσχατιαὶ πᾶσαι καὶ γένη πάντα ἀπὸ γὰρ τῶν ἐν Μαραθῶνι ἕως τῶν ἐν Σαλαμῖνι δέκα ἔτη τὰ ἐν μέσῳ ἐγένοντο.

180,1 βασιλεὺς ἀπῄει, δεδοικὼς μὴ οὐ δέξαιτο τὸ πλῆθος ἡ Ἑλλὰς οὐκ ἐδεδοίκει, φησὶ, μὴ ἡττηθῇ, ἀλλὰ μή πως οὐκ εὐπορήσῃ τόπον ὁ στρατός.

180,2 ὥσπερ ἀρχὴ γῆς πάσης τοῦ στρατοπέδου γιγνόμενος καθ’ ὃ βούλοιτ’ ἀεὶ γράφεται καὶ ὥσπερ ἀρχῆς ὅλης τοῦ στρατοπέδου γινομένης· δύο γὰρ γραφαί εἰσιν, ἀρχὴ καὶ ἀρχῆς. εἰ μὲν οὖν λάβωμεν ἄνευ τοῦ σ, οὕτως συντάττομεν· ὥσπερ ἐν ἀρχῇ τοῦ στρατοπέδου γινόμενος. εἰ δὲ μετὰ τοῦ σ, οὕτως· ὥσπερ καταρχῆς τοῦ στρατοπέδου γινόμενος. ἀρχὴν δὲ λέγει,

οὐχ ὅτι προηγεῖτο τοῦ στρατοῦ. ἦσαν γὰρ καὶ πρὸ αὐτοῦ ἑκατὸν μυριάδες, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν, καὶ πάλιν ἑπόμεναι μᾶλλον· ἐπειδὴ εἶπεν ὅλον· τὸ γὰρ αὐτοῦ στρατόπεδον, οὗ ἐὰν διὰ τὸ πολλὰ ἔθνη ἕπεσθαι μετὰ αὐτὸν, ἀρχὴ, φησὶ, πάσης τῆς γῆς ἐγένετο, καθ᾽ ὃ μέρος ἐβούλετο παραγενέσθαι, ἐπὶ τῆς ἀρχῆς ὅλης τοῦ ἔθνους ἐγένετο. οἷον εἰ ἐβούλετο ἐν Θετταλίᾳ παρεῖναι, διὰ τὸ μετ᾽ αὐτοῦ εἶναι Θετταλοὺς, ἐδόκει ἐν τῇ Θετταλίᾳ τυγχάνειν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐθνῶν. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστιν, ὅτι τοσοῦτον ἦν τὸ στράτευμα, ὥστε, εἰ ὁ βασιλεὺς ἦν ἐν τῷ μέσῳ, ἢ ἐν τῷ τέλει, ἢ ἐν τῇ ἀρχῇ τοῦ στρατεύματος, τὸ ἑπόμενον ἀρχῆς ἦν ὅλης στράτευμα. ἐπειδὴ πάσῃ τῇ οἰκουμένῃ παρείκασε τὸν αὐτοῦ στρατὸν, λέγει ὡς ἔνθα ἐχώρει, ὥσπερ ἄρχων πάσης τῆς οἰκουμένης ἐδόκει· ἔστι δὲ τὸ στρατοπέδου ἑρμηνεία τοῦ πάσης γῆς.

180,3 χρυσὸς δὲ καὶ ἄργυρος καὶ χαλκὸς καὶ σίδηρος, πάντα ὁμότιμα ἤγετο τὸ πλῆθος, φησὶ, τοῦ χρυσοῦ ἐποίει αὐτὸν ἐν μιᾷ τιμῇ ἔχειν τὰ πάντα, καὶ πᾶσαν ὡς μίαν ἡγεῖτο. εἰ γὰρ ὁ χαλκὸς, φησὶ, καὶ ὁ σίδηρος ὀλίγης μὲν τιμῆς εἰσιν, ὁ δὲ χρυσὸς μείζονος, ἀλλ᾽ ὅμως ἐν τῷ πλήθει καὶ ἐν τῶ κάλλει ὁμότιμος ἦν ὁ σίδηρος τῷ χρυσῷ.

180,4 οἱ μὲν πεζοὶ τὴν παραλίαν, αἱ δὲ νῆες τὴν θάλατταν ἀπέκρυψαν τὸ χωρίον θαυμαστικῶς, ὡσανεὶ ἔλεγεν· ἠγνοεῖτο, φησὶ, τῶν στοιχείων ἡ φύσις.

180,7 ἡ τοῦ ἡλίου συμβᾶσα ἔκλειψις οὐχ ἡ ἐξ ἔθους, φησὶ, γινομένη ἔκλειψις τοῦ ἡλίου καὶ τότε συνέβη, ἀλλὰ ξένη καὶ παράλογος ὑπὸ τοῦ πλήθους τῶν τοξευμάτων τοῦ Περσικοῦ. ἐρχομένου γὰρ τοῦ βασιλέως ἐπὶ τῆς Ἑλλάδος, καὶ γενομένου παρὰ τὸν Ἑλλήσποντον, ἔκλειψις ἐγένετο ἡλίου ἀπὸ ἀνατολῶν. εἶτα ὡς ἠρώτησεν ὁ βασιλεὺς τοὺς μάντεις τὸ σημεῖον τοῦτο, ἀπώλειαν εἰπεῖν γενέσθαι τῶν Ἑλληνικῶν πόλεων. τοὐναντίον δὲ ἦν. ἐσήμαινε γὰρ αὐτῷ τὴν ἧτταν, διότι ἀπὸ ἀνατολῶν ἐξέλιπεν ὁ ἥλιος, εἴ γε καὶ ἀπὸ ἀνατολῶν ἤρχετο ὁ Πέρσης. ἐρχομένου τοῦ βασιλέως ἐπὶ τὴν Ἑλλάδα, περὶ τὸν Ἑλλήσποντον ἔκλειψις ἡλίου ἐγένετο, ὅπερ τοὺς μάντεις αὐτοῦ ἐρωτήσαντος, τὰς τῶν Ἑλλήνων πόλεις ἔφασαν ἀφανισθῆναι. τοὐναντίον δὲ συνέβη, ἐπεὶ καὶ ἡ ἔκλειψις ἐκ τῆς ἀνατολῆς.

180,8 ὅσον ἡ τῆς γῆς καὶ θαλάσσης ἔκλειψις γινομένη γῆς μὲν, διὰ τὸν Ἄθω, θαλάττης δὲ, διὰ τὸν Ἑλλήσποντον. πρὸς τὴν τοῦ βασιλέως ἐμοὶ δοκεῖν ἐπιθυμίαν μᾶλλον ἢ χρείαν ἐπιθυμίαν μᾶλλον ἢ χρείαν εἶπεν, ὅτι ἠδύνατο ταῖς τριήρεσι τὸν Ἄθω περιπλεῦσαι, καὶ οὕτως ἐλθεῖν. νῦν δὲ ὤρυξε τὸν Ἄθω περιπλεῦσαι καὶ οὕτως ἐλθεῖν. νῦν δὲ ὤρυξε τὸν Ἄθω, καθάπερ ἐπιθυμίαν πληρῶν. τούτου δὲ παρὰ Ἡροδότου ὠφέληται. λέγει γὰρ ὅτι διὰ μεγαλοφροσύνην τοῦτο ὁ Ξέρξης ἐποίησεν, οὐ διὰ χρείαν. οὐ γὰρ τοσοῦτον ὁ Ξέρξης πρὸς τὸ συμφέρειν ἑαυτῷ τὸν μὲν Ἑλλήσποντον γῆν ἐποίησε, τὸν δὲ Ἄθω θάλατταν, ὅσον διὰ φιλοτιμίαν καὶ τὸ φοβῆσαι τοὺς Ἕλληνας.

180,10 καὶ ποιεῖν καὶ διαφθείρειν ποιεῖν μὲν, ὅτι τῇ σχεδίᾳ τὸν Ἑλλήσποντον ἔζευξε, διαφθείρειν δὲ, ὅτι τὸν Ἄθω ὄρος ὄντα διέσχισε. ᾧ γε ὁ μὲν Ἄθως τὰς ναῦς, ὁ δὲ Ἑλλήσποντος τὸ πεζὸν ἐδέξατο ὡσανεὶ ἔλεγεν· ἡ μὲν γῆ τὸ ναυτικὸν, ἡ δὲ θάλαττα τὸ πεζὸν ἐδέχετο.

180,11 τείχη μὲν ᾠκοδομεῖτο, ὅπως ἀριθμοίη κατὰ μυρίους καινότερον, φησὶν, ἐξεῦρεν ἀριθμὸν, κατὰ μυρίους, οὐ καθ' ἕνα μετρῶν. λέγει δὲ διὰ τὸ μυρίανδρον τεῖχος, οὗπερ ἐμνήσθη καὶ ἐν τῷ Παναθηναϊκῷ.

180,13 παρεῖναι δὲ καὶ μέλλειν ἴσον ἦν, ὥστ' ἔχεσθαι πάντας τουτέστι καὶ παρόντος τοῦ βασιλέως καὶ μέλλοντος παραγίνεσθαι, εὐθέως οἱαδήποτε πόλις ἡλίσκετο. παρόντος καὶ μέλλοντος τοῦ βασιλέως, πᾶσαι πόλεις ἡλίσκοντο. πάντα δ' ὥσπερ τοῦ Ποσειδῶνος κατιόντος ἐσείετο ἐπειδὴ ἐνοσίγαιος ὁ Ποσειδῶν, τούτῳ παραβάλλει τὸν Ξέρξην. ὡς Ὅμηρος· τρέμε δ' οὔρεα.

180,14 πολλὰ δὲ τῶν ἐθνῶν ἐξανηλίσκετο εἰς δεῖπνον τῷ βασιλεῖ διδόντων δηλονότι χρήματα πολλά· τροφαὶ μὲν γὰρ ἦσαν προηυτρεπισμέναι τῷ βασιλεῖ, ὅπως ἔμελλε καταλύειν· δεῖπνον δὲ εἶχε τὸ στρατόπεδον ἀπὸ τῶν χρημάτων τῶν πόλεων, ἐν αἷς ἔμελλον καταλύειν.

180,15 αἰτούντων γῆν καὶ ὕδωρ τὸ γὰρ τῷ δυνατώτερον ταῦτα διδόναι οὐδὲν ἄλλο ἐστὶν ἢ ὑπακούειν.

180,16 τὸ δὲ μαντεῖον φωνὰς ἠφίει δεινὰς καὶ χαλεπὰς ἅπασι τοῖς Ἕλλησιν τοῦ Ἀπόλλωνος δηλονότι· ἔλεγε γὰρ ὅτι οὐ μόνον Ἀθῆναι, ἀλλὰ καὶ ἄλλαι κατασκαφήσονται πόλεις. ὡσανεὶ ἔλεγεν· ἐφόβει τοὺς Ἕλληνας τῶν βαρβάρων ὁ Πύθιος.

180,17 ἐδόκουν δὲ οὔτε τῶν νεῶν τὴν εἰρεσίαν ἀνέξεσθαι τουτέστι τὸν ἦχον τῶν κωπηλατούντων οὐκ ἔφερον.

180,18 εἶχον δὲ οὔτε ἱεροῖς—θαρρεῖν τουτέστιν ἐν ταῖς εὐχαῖς. τοῦτο δὲ εἶπεν ὅτι ἡ μαντεία προεδήλου τῇ Ἑλλάδι συμφοράς, ὡς εἶπεν ὄπισθεν. οὐδ' εὑρεῖν οἵτινες ἀνθρώπων γένωνται βοηθοί. ὡσανεὶ ἔλεγεν· ἑτέραν φύσιν λοιπὸν ἐζήτουν κτήσασθαι καὶ τὴν ἀνθρωπείαν ἀποβαλέσθαι.

181,1 Γέλων μὲν καλούμενος οὐχ ὑπήκουεν, Ἀργεῖοι δ' ἐκποδὼν ἦσαν Γέλων τύραννος ἦν Σικελίας. οὗτος καλούμενος εἰς συμμαχίαν παρὰ τῶν Ἑλλήνων εἶπε συμπράττειν αὐτοῖς, εἰ παράσχοιεν αὐτῷ τὴν τῶν Ἑλλήνων ἡγεμονίαν. τοῦτο δὲ φοβούμενος τὸν Πέρσην εἶπεν, ἐπιστάμενος ὅτι οὐ παράσχοιεν αὐτῷ· διὰ γὰρ αὐτὴν ἐπολέμουν. οἱ δὲ Ἀργεῖοι οὐκ ἠβουλήθησαν συμμαχῆσαι αὐτοῖς, ἢ ὅτι ἡσύχιοι ἀεὶ ἦσαν, ἢ ὅτι ὁ Περσεὺς, ἀφ' οὗ οἱ Πέρσαι, Ἀργεῖος ἦν, καὶ οὐκ ἠβούλοντο τούτοις ἀντιτάττεσθαι. οὔτε γὰρ Ἕλλησιν, ὡς ὁμοφύλοις, οὔτε Πέρσαις, ὡς συγγενέσιν, ἐμάχοντο. Κερκυραῖοι δὲ σοφώτερα ἢ δικαιότερα ἐβουλεύοντο σοφώτερα, ἀντὶ τοῦ πανουργότερα. ἔπεμψαν γὰρ τριήρεις, εἰρηκότες τοῖς κομίζουσιν ἐν τῇ Μαλέᾳ διασῦραι, — ἀκρωτήριον δὲ τοῦτο τῆς Λακωνικῆς, ὡς ἔγνωμεν πολλάκις — μέχρι τροπῆς ἑνὸς τῶν στρατευμάτων· μετὰ δὲ ταῦτα παραγενέσθαι, καὶ τοῖς νικῶσιν εἰπεῖν ὅτι πρὸς ὑμετέραν συμμαχίαν ἥκομεν.

181,2 Θετταλοὶ δὲ ὑπ' ἀνάγκης μὲν, ὅμως δὲ ἐμήδιζον ὑπ' ἀνάγκης μὲν, ὅτι ἔλεγεν ἀφεῖναι αὐτοῖς τὸν Πηνειὸν ποταμόν. ἔστι δὲ οὕτως· ἡ Θετταλία ὑπὸ πολλῶν ἔχεται ὀρῶν λέγει δὲ ταῦτα τέμπη, ἐξ ἑνὸς δὲ ὄρους, τοῦ Πηλίου, καὶ ποταμὸς κατήγετο, ὃς ἀοίκητον ἐποίει τὴν χώραν· πεδιὰς γὰρ οὖσα, πληρουμένη τε ὑπὸ τοῦ ποταμοῦ, ἀοίκητος ἐγένετο. σεισμοῦ δὲ συμβάντος ἐσχίσθη τὸ ὄρος, καὶ εἰς τοὺς κοίλους ἑαυτοῦ ἐδέχετο τὸν ποταμόν. ἐντεῦθεν ἡ μὲν πεδιὰς ἐξηραίνετο, ἐτέρωσε δὲ ὁ ποταμὸς

προεχώρει, καὶ παρεῖχεν οἰκεῖσθαι τὴν γῆν. τοῦτο οὖν τὸ ὄρος, ὅπερ ὁ σεισμὸς ἔρρηξεν, ἠπείλησε φράττειν, καὶ διὰ τοῦ ποταμοῦ εἰς τὸ πρότερον σχῆμα ἀγαγεῖν τὸν τόπον, εἰ μὴ συμπράξαι ἐν αὐτῷ, καὶ τὴν πόλιν ἀοίκητον ἔσεσθαι.

181,3 Δελφοὶ δὲ οὐκ εἶχον ὅ τι χρήσονται ἠπόρουν οἱ Δελφοὶ τί ποιήσουσιν, ὅτι ἐρωτῶσιν αὐτοῖς τί δεῖ ποιῆσαι ὁ θεὸς ἔφη· ἐμοὶ μελήσει· ἢ ὅτι εἶπεν αὐτοῖς θύειν. Δελφοὶ δὲ καλοῦνται οἱ ἄνδρες καὶ ὁ τόπος· νῦν δὲ περὶ τῶν ἀνδρῶν λέγει. τὸ ὑγιαῖνον δὲ τῆς Ἑλλάδος Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι.

181,6 τοιαύτῃ πραγμάτων ἀωρίᾳ ἀντὶ τοῦ ἀκαιρίᾳ. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς ὥρας. ἀνὴρ ἐκεῖνος ἑστηκὼς οὐκ ἠπόρησεν ὅτε ηὔξησε τὰ Περσικά, τότε τὸν Θεμιστοκλέα ἐπάγει· τῇ γὰρ αὐξήσει τῶν δεινῶν αὔξει τὰ ἐγκώμια.

181,7 οὐδ᾽ ηὔξατο αὐτῷ χανεῖν τὴν γῆν ὅπερ ἐν τοῖς μεγίστοις κινδύνοις συμβαίνει. καὶ Ὅμηρος «Τότε
μοι χάνοι εὐρεῖα χθών.»

οὐδ᾽ εὐδαιμόνισε τοὺς πάλαι κειμένους παρὰ τὸ Ὁμηρικὸν
«Τρισμάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ᾽ ὄλοντο
Τροίῃ ἐν εὐρείῃ.»

181,8 κατέστη τοῖς Ἕλλησιν ἀντ᾽ ἀγαθοῦ τοῦ δαίμονος δαίμονι αὐτὸν παραβάλλει, δεικνὺς αὐτὸν ὑπὲρ ἄνθρωπον. τὸ δὲ ὑποθεὶς, ὥσπερ θεμέλιον εἶπε. καὶ ὥσπερ γὰρ οἰκίας οἶμαι καὶ πλοίου Δημοσθένης.

181,9 μόνος ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀντισχὼν ἅπασι, καὶ τοῖς παροῦσι καὶ τοῖς ἐπιοῦσι πράγμασι προσλαμβάνει παραβολήν· ἐπάγει γὰρ τὸ ὥσπερ τὸν ἥλιον ὁ δὲ ὀφθαλμὸς πέφυκεν ὁρᾶν, πρὸς δὲ τὴν ἀκτῖνα οὐ δύναται ἀντισχεῖν, ὑπερβαίνει γὰρ ἡ αὐγὴ τὴν ὄψιν, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων, οἷον τοῦ γεύεσθαι, ἐὰν πάνυ πικρὸν ᾖ, καὶ ἐπὶ τοῦ ἀκούειν, ὡς ἐπὶ τῶν χαλκείων· τὰ μέτρια γὰρ οἰκεῖα ἐπὶ τῇ φύσει.

181,10 οὐκ ἀποστραφεὶς, ὥσπερ οἱ πρὸς τὸν ἥλιον βλέποντες διὰ τὸ τῆς ἀκτῖνος λαμπρόν.

181,11 ὃ πᾶσι μικροῦ δεῖν συνέβη τοῖς τότε αὐτὸς ἐκόλασε τῇ προσθήκῃ τοῦ εἰπεῖν μικροῦ δεῖν· εἰ γὰρ πᾶσι συνέβη, πῶς ἐτόλμησαν Ἀθηναῖοι; οὐκ ἂν εἴποιμι ὡς οὐκ ἔψευσε τῆς ἐλπίδος τοὺς Ἕλληνας ἀντὶ τοῦ ψευσθῆναι ἐποίησεν. ἐλπίδα δὲ λέγει ἐνταῦθα τὴν φυγήν· ἤλπιζον γὰρ κακῶς πάσχειν, οὐδὲ ἐποίησεν αὐτοὺς ψευσθῆναι τῆς ἐλπίδος, ἐπὶ τὸ βέλτιον ἀγαγὼν τὰ πράγματα· αὐτὸς δὲ ἑρμηνεύει ποίαν εἶχον ἐλπίδα οἱ Ἕλληνες, ἧς ἐψεύσθησαν διὰ τὸν Θεμιστοκλέα.

181,14 τοσοῦτον μετέστησε τὰ πράγματα πράγματα καλεῖ νῦν τὰ δεινά.

181,16 τὰς πράξεις λέγει τὰ κατορθώματα· σύγκρισιν δὲ ποιεῖται τῶν κινδύνων καὶ τῶν κατορθωμάτων. καὶ δείκνυσιν αἱρετώτερα τὰ δεινὰ τῶν κατορθωμάτων. καὶ θάνατον γὰρ ἡγεῖται τούτων ἀντίρροπον.

182,1 οὕτως οὐ μόνον τὰς ἐλπίδας, ὅσοι γε καὶ τὰ μήκιστα ἤλπισαν αὐτῶν, ἀλλὰ καὶ τὰς εὐχὰς τῶν πλείστων ὑπερεβάλλετο τὸ μέγιστον ἦν τοῖς Ἕλλησιν, εἰ σωθῶσιν. εὐχὴ δὲ ἦν αὐτοῖς τὸ καὶ νικῆσαι. ὁ γοῦν Θεμιστοκλῆς τὰς ἐλπίδας τοῦ σωθῆναι τοὺς Ἕλληνας, καὶ τὰς τῆς νίκης εὐχὰς ὑπερέβαλλε τῷ νικῆσαι. τὰς ἐλπίδας νῦν τὴν ἐλπίδα ἐπὶ καλοῦ ἐδέξατο.

182,2 τὰ μήκιστα μακρότατα. ἔγωγε ἡδέως ἂν, εἴ πως ἐνῆν, ἠρόμην Πλάτωνα ὥσπερ ἀχθόμενός ἐστιν, ὅτι μὴ ἔχει πρὸς ὄψιν. ἐρωτᾷ οὖν τὸν Πλάτωνα. ἔστι δὲ ἡ ἐρώτησις θαρροῦντος, καὶ μᾶλλον ἐλεγκτική.

182,4 ἢ τί γράφειν βέλτιον ὧν ἔγραψεν εἰς τὸ ψήφισμα αἰνίττεται, ὃ ἔγραψε Θεμιστοκλῆς, παραδοῦναι τὴν πόλιν Ἀθηναίους Ἀθηναίων Μηδούσῃ, καὶ εἰς τὰς τριήρεις ἐμβῆναι.

182,6 ἄλλος τις κληρονομείτω τοῦ λόγου ἐπειδὴ μὴ εἶχεν ἀποκρίνασθαι ὁ Πλάτων, ὡς τεθνεὼς, ὡς ἀποροῦντα αὐτὸν ποιεῖ πρὸς τὴν ἐρώτησιν, καὶ προσκαλεῖται τῶν αὐτοῦ μαθητῶν τινα ἀποκρίνασθαι ὑπὲρ αὐτοῦ.

182,7 εἰς τὴν Πνύκα συλλέξαντα Ἀθηναίους ἡ Πνὺξ ὄνομά ἐστιν ἐκκλησίας παρ᾽ Ἀθηναίοις. ἡ Πνὺξ ὄνομά ἐστιν ἐκκλησίας Παναθηναίοις. εἰρωνεύεται δὲ ἐνταῦθα ὁ Ἀριστείδης λέγων, ἔδει ἐπὶ Ξέρξου τοιαῦτα φιλοσοφεῖν.

182,8 περὶ τῶν ἰδεῶν αὐτοῖς διαλέγεσθαι ἤδη δὲ περὶ τῶν ἰδεῶν ἔγνωμεν καὶ ἐν τῷ Περικλεῖ. ἠθικεύεται δὲ ἐνταῦθα ὁ Ἀριστείδης λέγων, ἔδει, φησὶν, ἐπὶ Ξέρξου τοιαῦτα φιλοσοφεῖν, δεικνὺς τὴν σοφίαν ἐν λόγοις οὖσαν μόνοις καὶ οὐκ ἐν ἔργοις. τί αὐτοδίκαιον οὐ τὸ πᾶσι δοκοῦν οὕτως ἁπλῶς, ἀλλὰ τὸ κατὰ φύσιν ὂν δίκαιον.

182,9 τί τὸ ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον τοῦτο ὁ Πλάτων ἐν τῷ Τιμαίῳ λέγει. λέγει δὲ περὶ τοῦ θείου· τοῦτο γὰρ γένεσιν οὐκ ἔχει. ταχέως μέν τ᾽ ἂν αὐτοὺς καὶ γένεσις, καὶ τὸ εἶναι, καὶ πάντα ἐπέλιπεν τὸ ἄχρηστον τῆς φιλοσοφίας δείκνυσιν ὁ ῥήτωρ.

182,10 ἀλλ᾽ ὅθεν ἀνδρία τὸ πρῶτον ἐκλήθη καὶ ὅθεν δειλία ζητεῖν τὸ πρῶτον εἶπε πάλιν, ὡς πρὸς τὰς ἰδέας. ὅτι ἐκεῖθεν ἡ παρ᾽ ἡμῖν ἀνδρεία κατάγεται. ἔστι δὲ αὐτῷ Κρατύλος διάλογος, ἔνθα περὶ τῆς τῶν ὀνομάτων ὀρθότητος διαλέγεται καὶ ἐτυμολογεῖ, φιλοσόφως διδάσκων. ἑτέρα δὲ ἡ τοῦ φιλοσόφου ἀνδρεία καὶ ἑτέρα ἡ τοῦ στρατιώτου.

182,11 ἔγνωσαν μέν τ᾽ ἂν κακῶς ῥέοντα τὰ πάντα αὐτοῖς λέγει γὰρ ὁ Πλάτων ὅτι τὰ πάντα ἐν γενέσει ὄντα διαφθείρεται καὶ διαρρεῖ. ἀλλὰ τί μὴν ὅλως ἔδει λέγειν, ἢ τί ποιεῖν; τὸ σχῆμα Δημοσθενικὸν, διὰ τὸ ὅμοιον ἐν τῷ περὶ στεφάνου.

182,12 τρίτον γὰρ ἤδη τὸ ἐρώτημα, ὥσπερ σύνθημα περιήκει σύνθημα κυρίως τὸ ἐπὶ στρατευμάτων γνώρισμα. ὥσπερ σύνθημα ἐπέρχεται ἐν ταῖς παρατάξεσι. ῥῆμά τι ἔλεγον οἱ στρατηγοὶ, ἵνα ἐὰν συμβῇ αὐτοὺς τοῖς ἐναντίοις ἀναμιχθῆναι, διὰ τὸ λέγειν τὸ ῥῆμα γνωρίσωσι τοὺς ἑαυτῶν φίλους ἐν ταραχαῖς. καὶ τοῦτο ἔλεγε τὸ σύνθημα. ἐπειδὴ δὲ πολλάκις συνέβαινε καὶ τοὺς ἐναντίους μανθάνειν αὐτὸ, ἦλλασσον αὐτὸ, εἴ που μάχη χρονία ἐγένετο, ἵνα μὴ γνόντες οἱ ἐναντίοι τὸ σύνθημα εὐχερῶς χλευάζειν δυνήσωνται, ἢ λάθωσι τοὺς πολεμίους ἐν ταραχαῖς, καὶ ποιήσωσιν ὅ τι βούλονται. μέμνηται καὶ Ξενοφῶν καὶ Θουκυδίδης. ἄλλοι δὲ λέγουσιν ὅτι ἐν τῇ μάχῃ ὁ στρατηγὸς τρίτον βοᾷ τοῖς στρατιώταις, μηνύων τὸν καιρὸν τοῦ συμβαλεῖν, καὶ τοῦτο καλεῖται σύνθημα. λέγει οὖν ὁ Ἀριστείδης ὅτι ἐρωτῶ σε πολλάκις, ὥσπερ πολλάκις τὸ σύνθημα γίνεται. ῥῆμά τι ἔλεγον οἱ στρατηγοὶ, ᾧπερ εἰ συμβαίη τοῖς ἐναντίοις

ἀναμιχθῆναι, τοὺς ἑαυτῶν φίλους γνωρίζουσι, καὶ τοῦτο ἔλεγε τὸ σύνθημα. ἐπειδὴ δὲ πολλάκις συνέβαινε καὶ τοὺς ἐναντίους μανθάνειν αὐτῷ, ἤλλασσον αὐτῷ ὅπου μάχη χρονία ἐγένετο, ἵνα μὴ γνόντες οἱ ἐναντίοι χλευάζειν δυνήσονται. ἄλλοι δὲ λέγουσιν ὅτι ἐν τῇ μάχῃ ὁ στρατηγὸς τρίτον βοᾷ τοῖς στρατιώταις, μηνύων τὸν καιρὸν τοῦ συμβαίνειν, καὶ τοῦτο καλεῖται σύνθημα.

182,15 τήν γε ὕστερον τῶν πραγμάτων σοφίαν ἣν μετὰ τὰ πράγματα εὑρίσκει τις, λέγων ὡς τοῦτο καὶ οὐκ ἐκεῖνο ποιεῖν ἔδει. τήν γε ὕστερον τῶν πραγμάτων σοφίαν καὶ τοὺς ἐπὶ τῆς ἀδείας ἐλέγχους σοφίαν λέγει τὴν σύνεσιν καὶ τὴν εὕρεσιν τοῦ συμφέροντος. ἡ δὲ διοίκησις πανταχοῦ Δημοσθενικὴ τοῦ περὶ τοῦ στεφάνου «Ἐμβρόντητε, καὶ τανῦν λέγεις.» ἀδείας δὲ ἀντὶ τοῦ ἀσφαλείας καὶ ἡσυχίας· ἀλλαχοῦ δὲ ἡ ἄδεια ἐπ᾽ ἐξουσίας κεῖται.

182,16 οὐδὲ ὑπερήφανον τὸ ὑπερήφανον νῦν ἐπὶ τοῦ καλοῦ κεῖται· ἀντὶ τοῦ μέγα ἢ θαυμαστόν.

183,2 ἕτοιμος αὐτὸς τῆς αἰτίας κληρονομεῖν ἔστι τότε ἵνα λέγῃ περὶ τὸν κίνδυνον τότε, καὶ παρὰ τὰ δεινά. δηλοῖ γὰρ τὸν φόβον· ὁ γὰρ φόβος οὐκ ἐᾷ τὸ συμφέρον ὁρᾶν.

183,4 ὡς οὐκ ἐπαινοῦσι μᾶλλον ἐκεῖνον ἡμῖν αὐτοῖς συνηδώμεθα ἐγὼ καὶ σὺ, ὦ Πλάτων.

183,5 ἐπαναγαγόντες ἡμᾶς αὐτοὺς ἐπ᾽ αὐτὰ τὰ πράγματα ἀντὶ τοῦ καθάπερ ὁρῶντες τὰ Μηδικά.

183,6 ἦσαν τῶν Ἑλλήνων μερίδες τρεῖς ἡ μεταχείρησις Δημοσθενική· καὶ γὰρ ἐκεῖνος ἐν τῷ περὶ τοῦ στεφάνου εἰς τρία μερίζει τοὺς Ἕλληνας, εἰς συμπράξαντας τῷ Φιλίππῳ, εἰς μὴ ἐναντιωθέντας καὶ εἰς ἀντιστάντας. ὥσπερ Ἀργεῖοι οὗτοι γὰρ οὔτε τοῖς Ἕλλησιν οὔτε τῷ Πέρσῃ συνεμάχουν, ὡς ἔγνωμεν. Κρῆτες δὲ μίαν ἀπέστειλαν ναῦν. οἱ δὲ Θετταλοὶ γένος ἄπιστον, ὡς ἔγνωμεν πολλάκις.

183,9 πλὴν Θεσπιέων καὶ Πλαταιέων ὁπόσων δή τινων ὄντων ἐπειδὴ εἶπε πάντας, τούτους ὑπεξεῖλεν, ἵνα μὴ καὶ αὐτοὺς διαβάλῃ. εἶτα ἵνα μὴ

νομισθεῖεν πολλοὶ, εἶπεν ὁπόσων, ἀντὶ τοῦ μικρῶν τινων. ἐδόκει δὲ διαβάλλειν τὸ τῶν Ἀθηναίων κατόρθωμα, κοινωνοὺς αὐτοὺς τῆς πράξεως δεδωκώς.

183,10 καὶ ὅσοι παρὰ τούτους κατέφυγον αὐτοὶ γὰρ ἐπὶ τὴν μάχην τοὺς λοιποὺς προετρέψαντο.

183,14 ἐπὶ τοὺς ἀντιτείνοντας ἀντὶ τοῦ κατὰ τῶν ἐναντιουμένων. ἢ τὴν ἡσυχίαν ἄγειν αὐτοῖς ἐξεῖναι—κέρδος ἡγεῖσθαι ὡσανεὶ ἔλεγεν· ἱκετεύσαντας τὸν βάρβαρον, βουλομένους μόνον τῆς αὐτῶν σωτηρίας πρόνοιαν ἔχειν, τῶν ἄλλων οὐ φροντίζοντας.

183,16 τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντίζειν δίκαιον λέγει τὸ βοηθεῖν τῷ γένει τῶν Ἑλλήνων, ὅπερ ἐπαινεῖ ὁ Πλάτων.

183,17 καὶ μήτ᾽ ἀκούοντας ἀκούειν τὰ δεινὰ παροιμία ἐστὶν ἐπὶ τῶν προσποιουμένων. ἀκούοντας δὲ λέγειν τὰ παρὰ τοῦ βασιλέως ἐπαγγελλόμενα. παροιμία ἐστὶν ἐπὶ τῶν προσποιουμένων ἀκούοντας. ἢ λέγει τὰ πρὸς τὸν βασιλέα ἐπαγγελλόμενα.

183,18 παρ᾽ αὐτὸν τὸν θάνατον ἐσκηνῆσθαι ἀντὶ τοῦ σκηνὴν θανάτου πήξασθαι. οὗτος εἶπεν ὡς ὁμολογούμενον ὅτι τότε πλησίον ἦν ὁ θάνατος. ἔσχατα τοῦ βίου ταῦτ᾽ εἶναι προκρίναντας ἑαυτοῖς μᾶλλον ἢ παρ᾽ ἀξίαν τι συγχωρῆσαι τὸ ἔσχατον νῦν ἐπὶ καλοῦ κεῖται καὶ μεγάλου· ἀντὶ τοῦ καλὰ καὶ μεγάλα ὑμνήσαντας.

183,20 ἐνταῦθά μοι σκέψαι τὰ τοῦ Θεμιστοκλέους δόγματα οὐ μόνον τὸν Θεμιστοκλέα ἐπαινεῖ, ἀλλὰ καὶ τοὺς Ἀθηναίους, ὡς φύσει ἀγαθούς.

184,1 οὐκ εἰς λόχον συγκαθημένων ἡμῶν, ἀλλ᾽ ἐπ᾽ αὐτοῦ ξυροῦ τῆς ἀκμῆς ἑστηκότος, εἶναι τὴν Ἑλλάδα, ἢ μὴ πάλιν καὶ τοῦτο πρὸς τὸν Πλάτωνα ἀποτείνεται· διαβάλλει γὰρ καὶ τὸν λόχον· κεκρυμμένου γὰρ οὕτως ὁ πόλεμος. ἓν δὲ ἔπος ἀφελὼν ἓν προέθηκεν· ὤφειλε γάρ· ἔνθα ἀρετὴ διαείδεται ἀνδρῶν· προσέθηκε δὲ τὸ ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς. ὅ ἐστι σωθῆναι ἢ ἀπολέσθαι.

184,3 ἀπὸ γραμμῆς ἀρξάμενος ἀντὶ τοῦ ἀπὸ στιγμῆς καὶ ἀρχῆς. γραμμὰς λέγουσι τὰς εὐθείας κεραίας, ἢ τὰς ἄλλας, ἀφ' ἧς ἀρξάμενοι διαπαντὸς ἕλκουσιν, ὃ βούλονται ποιοῦντες σχῆμα. ἵνα λέγῃ τῆς ἐξ ἀρχῆς ἀρξάμενος. ἢ γραμμῆς τῆς καλουμένης λευκῆς· ὅπερ ἄμεινον· ἐπειδὴ τῶν σχημάτων ἀρχή ἐστιν ἡ εὐθεῖα. τὸ ἀπὸ γραμμῆς παροιμία, ἀντὶ τοῦ ἀπαρχῆς, ἐπειδὴ πρώτη ἡ γραμμὴ πάντων σχημάτων. γραμμὰς δὲ λέγουσι τὰς εὐθείας κεραίας ἢ τὰς ἄλλας, ἀφ' ἧς ἀρξάμενοι διαπαντὸς ἕλκουσι σχῆμα, ὃ βούλονται ποιοῦντες. καὶ μή μοι λόγῳ τὸν χρυσὸν, ἀλλὰ τὴν βάσανον προσάγων σκόπει λεληθότως χρυσὸν καλεῖ τὴν Θεμιστοκλέους ψυχήν. ἐπειδὴ δὲ εἶπε τὸν χρυσὸν, οἰκείαν λέξιν ἐπήγαγε τὴν βάσανον. ἔστι δὲ ὄνομα λίθου δοκιμαζούσης τὸν χρυσόν. ὁ Πλάτων δὲ ἐν τῷ Γοργίᾳ φησὶν ὅτι δεῖ τὴν βάσανον καὶ τὴν δοκιμασίαν ἀεὶ τοῦ χρυσοῦ σκοπεῖν, εἰ ἔστι καθαρὸς, καὶ μὴ αὐτὸν τὸν χρυσόν. τουτέστι οὐ δεῖ μόνον σκοπεῖν τὴν φήμην τὴν παρὰ Θεμιστοκλέους, ἀλλὰ τὰς πράξεις αὐτοῦ, εἰ ἀληθεῖς εἰσι. ταῦτα οὖν λέγει ὁ Ἀριστείδης· οὕτως σκόπησον τὰς πράξεις Θεμιστοκλέους, ὥσπερ εἴρηκας ἐν τῷ σῷ λόγῳ. λέγει ὡς οὐ δεῖ μόνον σκοπεῖν τὴν φήμην τὴν ὑπὸ Θεμιστοκλέους, ἀλλὰ τὰς πράξεις αὐτοῦ, εἰ ἀληθεῖς εἰσιν.

184,4 τῆς γὰρ εἰκόνος μέμνησο τῆς σαυτοῦ τῆς εἰκόνος λέγει τῆς σαυτοῦ, ἀντὶ τοῦ ὧν εἶπες ῥημάτων. λέγει γὰρ ἐν τῷ Γορίᾳ· εἰ χρυσῆν ἔχων ἐτύγχανον τὴν ψυχὴν, ὦ Καλλίκλεις, οὐκ ἂν οἴει με ἄσμενον τούτων τινὰ τῶν λίθων εὑρεῖν, ᾗ βασανίζουσι τὸν χρυσὸν τὸν ἄριστον;

184,5 ἢ δυοῖν τοῖν ὑπολοίποιν θάτερον ποιεῖν ἀντὶ τοῦ ἡσυχάζειν, ἢ μετὰ τοῦ βαρβάρου στρατεύειν. ἔδει τῶν ἀγωνιζωμένων εἶναι ἐπειδὴ ἔνδοξος ἡ ἐρώτησις, αὐτὸς καὶ ἐρωτᾷ καὶ ἀποκρίνεται.

184,6 ἐκεῖνος ἦν ὁ ταῦτα συμβουλεύων ὡς πρὸς φιλόσοφον διαλεγόμενος ἐχρήσατο τῇ λέξει δεικνὺς αὐτοῦ τὰ δόγματα οὐκ ἐν λόγοις, ὥσπερ τοῦ Πλάτωνος, ἀλλ' ἐν ἔργοις.

184,7 ταῦτα ἔπραττον μὲν Ἀθηναῖοι, συνεβούλευε δὲ Θεμιστοκλῆς Δημοσθενικὴ ἡ μεταχείρησις· προτάττει μὲν γὰρ Ἀθηναίους, δευτέραν δὲ

ἐπάγει τὴν συμβουλὴν Θεμιστοκλέους, ὥσπερ ὁ Δημοσθένης τὰς πράξεις τῶν Ἀθηναίων προέταξε, καὶ τότε τὴν ἑαυτοῦ παραίνεσιν δευτέραν.

184,9 οὐμενοῦν, εἰ μὴ λαμπρῶς ἐπαινοίη, ὅπως οὐκ ἂν αἰσχύνοιτο, οὐκ ἂν ἔχειν μοι δοκεῖ οὐ μόνον, φησὶν, οὐκ ὀφείλει αἰτιάσασθαι, ἀλλ᾽ εἰ καὶ μὴ λαμπρῶς αὐτὸν ἐπαινέσει, αἰσχύνης ἄξιός ἐστιν ὁ Πλάτων.

184,11 ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας, ὅσοι μετέσχον τῶν πραγμάτων εἰς τοὺς μηδίσαντας ἀποτείνεται· οὐδὲ γὰρ οὗτοι μετέσχον τῆς μάχης. μάλιστα ἐπιρρώσας καὶ παροξύνας ἀντὶ προθυμῆσαι ποιήσας. πάλιν δὲ αἰνίττεται ὅτι βουλομένους φεύγειν αὐτὸς ἐκώλυσε, καὶ τὸν βάρβαρον τέχνῃ αὐτοῖς ἐπήγαγε σχῆμα τῆς προδοσίας λέγων· κύκλωσον τοὺς Ἕλληνας· μέλλουσι γὰρ φυγεῖν. πάλιν αἰνίττεται ὅτι βουλευομένους φεύγειν Λακεδαιμονίους ἐκώλυσε, τὸν βάρβαρον σχήματι προδοσίας αὐτοῖς ἐπαγαγών. ἐπιρρώσας ἰσχυροὺς ποιήσας.

184,13 ὅς γε καὶ τοῖς κήρυξι—τοιαύτας ἔδωκε τὰς ἀποκρίσεις τὴν σφαγὴν σημαίνει τῶν κηρύκων. τὴν εἰς τὸ φρέαρ κατάσχεσιν τῶν κηρύκων σημαίνει.

184,14 ὥσθ᾽ ἅπασι τοῖς Ἕλλησιν—τοῖς ἐπὶ ταῦθ᾽ ἥκουσι τῶν βαρβάρων εἰς Λακεδαιμονίους ἀποτείνεται. δείκνυσι δὲ ὅτι Ἀθηναίους μιμησάμενοι καὶ αὐτοὶ τοὺς ἀγγέλους ἀπέκτειναν.

184,15 ἀλλὰ καὶ τὸν ἑρμηνεύσαντα ἀπέκτεινε τὸν Ἴωνα· ἐκαλεῖτο δὲ Λυκίδας. κατηγορῶν δὲ λέγει ἀντὶ τοῦ κατηγόρημα καὶ ἔγκλημα ποιούμενος. τὸν ἑρμηνεύσαντα εἰς Λακεδαιμονίους ἀποτείνεται, ὅτι Ἀθηναίους μιμησάμενοι καὶ αὐτοὶ τοὺς ἀγγέλους ἀπέκτειναν. ἄλλως. τὸν Ἴωνα· ἐκαλεῖτο δὲ Λυκίδας. ἦν δὲ τὰ γράμματα, ἃ ἡρμήνευσεν, Ἀσσυρίων φωνῇ γεγραμμένα.

184,16 ὥσπερ ἄλλο τι ὥσπερ χεῖρας καὶ πόδας. ἔχρησε ἐδάνεισε.

184,17 καίτοι τί τοῦτο δεινὸν ἦν τοῖς Ἀθηναίοις μαθεῖν, ὅ τι ἐστὶ τὰ λεγόμενα ἐπειδὴ οὐδὲ ἀναγνῶναι ἠβουλήθησαν τὰ γράμματα τὰ πεμφθέντα, — ἦσαν γὰρ Ἀσσύρια καὶ βάρβαρα — λέγει ὅτι τὸ ὅλως ἀναγνῶναι τί ἦν

δεινὸν καὶ νοῆσαι τὰ γεγραμμένα. οὐ γὰρ αὐτός γ᾽ εἰσηγεῖτο οὐκ ἦν, φησὶ, συμβολὴ, ἀλλὰ ψιλὴ ἑρμηνεία.

185,4 οὐδὲν τοῖς Μέλητος ἐοικότα τοῦ κιθαρῳδοῦ Μέλης κιθαρῳδὸς ἦν, καὶ ἐλέγετο τὰ πρὸς ἡδονὴν ᾄδειν, ὃν διαβάλλει ὁ Πλάτων, καὶ ᾧ τὸν Θεμιστοκλέα παραβάλλει.

185,5 οὐδ᾽ οἷς ἐκεῖνον ᾄδειν φησὶ Πλάτων τὸ ἡδὺ δηλονότι. ὁ Πλάτων δὲ ἐν τῷ Γοργίᾳ φησὶν ὅτι ὁ Μέλης ἡδὺς μέν ἐστιν, οὐκ ὠφέλιμος δέ. τοῦτο δὲ λέγει διὰ τοὺς τέσσαρας ῥήτορας, δεικνύων ὅτι ἡδέα μὲν λέγουσιν, οὐκ ὠφέλιμα δέ. ἀλλ᾽ ἐπεναντίον μᾶλλον τὸ γὰρ ἀγαθὸν, φησὶ, προσῆν τῇ πολιτείᾳ τοῦ Θεμιστοκλέους. καὶ τὸ καλὸν γὰρ, φησὶν, ἔχει, καὶ τὴν ἀπ᾽ αὐτοῦ τοῦ καλοῦ ἡδονὴν, οὐχ ἣν οἱ κακοὶ ἄνδρες ὁρίζονται ἡδονὴν, ἀλλ᾽ ἣν οἱ ἀγαθοὶ, τουτέστιν οὐ τὴν ἀσελγῆ, ἀλλὰ τὴν σώφρονα.

185,6 καὶ τὸ ἥδιστον πρόσεστιν ἀκοῦσαι δημηγοροῦντος Θεμιστοκλέους. πρόσεστιν ἅμα ἦν.

185,7 ὥστ᾽ ἔμοιγε δοκεῖ τῆς Τερπάνδρου μᾶλλον ἂν κιθαρῳδὸς ὁ Τέρπανδρος τῷ γένει Μηθυμναῖος. οἱ δ᾽ ἀκριβέστεροί φασι τῷ γένει Ἀντισσαῖον. στασιασάντων δέ ποτε τῶν Λακεδαιμονίων χρησμὸς αὐτοῖς ἐξέπεσε πάλιν φιλιωθῆναι, ἂν ἐκ Μηθύμνης Τέρπανδρος ἐκείνοις κιθαρίσῃ. καὶ δή τι μέλος Τέρπανδρος ἐντέχνως κιθαρίσας αὐτοὺς πάλιν συνήρμοσε, Διόδωρος ὡς γράφει, τῆς ἁρμονίας τῇ ᾠδῇ· καὶ γὰρ μετατραπέντες ἀλλήλους περιέβαλλον, ἠσπάζοντο δακρύοις. Τέρπανδρος ἐγένετο Δωριεὺς μὲν τὸ γένος, ἄριστος δὲ τὴν λυρικὴν τέχνην. τοῦτον δὲ μετεκαλέσαντο Λακεδαιμόνιοι στασιάζοντες, καὶ ᾄδοντος αὐτοῦ συνέβησαν. οὗτοι δὲ ἑτέροις στασιαζόντων Λακεδαιμονίων, καὶ ὁσημέραι διαχρωμένων ἀλλήλους, ἀνεῖλεν ὁ θεὸς μεταπέμψασθαι τὸν Τέρπανδρον ἐκ τῆς Μηθύμνης· πόλις δὲ αὕτη τῆς Λέσβου, ὡς ἔγνωμεν ἐν τῇ τρίτῃ τοῦ Θουκυδίδου. ἐλθὼν οὖν ὁ Τέρπανδρος, μουσικὸς ὢν, καὶ τὴν παλαιὰν ἁρμονίαν εἰδὼς, ᾄσμά τι εἰπὼν ἔπαυσε τὴν στάσιν· φασὶ γὰρ ὅτι ἀκούοντες ἐδάκρυον καὶ ἀλλήλους παρεπτύσσοντο. τούτῳ οὖν συγκρίνων τὸν Θεμιστοκλέα, καὶ μείζονα τούτου δείκνυσιν αὐτόν. οὗτος ἄριστος ἦν τὴν μουσικὴν τέχνην, ὃν, στασιαζόντων τῶν Λακεδαιμονίων,

καὶ ὁσημέραι διαχρωμένων ἀλλήλους, ἀνεῖλεν ὁ θεὸς μεταπέμψασθαι ἐκ τῆς Μηθύμνης· πόλις δὲ αὕτη τῆς Λέσβου. ἐλθὼν οὖν καὶ αὐτίκα ᾄσμά τι εἰπὼν ἔπαυσε τὴν στάσιν· φασὶ γὰρ ὅτι ἀκούοντες ἐδάκρυον καὶ ἀλλήλους περιεπτύσσοντο. τούτῳ οὖν συγκρίνων τὸν Θεμιστοκλέα καὶ μείζονα δείκνυσιν. ὁ μέν γε μίαν πόλιν ἡ σύγκρισις ἀπὸ τοῦ μείζονος.

185,8 εἰς ταὐτὸν εἰς ὁμόνοιαν.

185,13 ὅσοι τῶν πολιτῶν μεθειστήκεσαν ἀντὶ τοῦ φυγάδες ἐγένοντο. μετριάζει δὲ τῇ λέξει. ἢ τοὺς ἐξοστρακισθέντας λέγει. τοῦτο δὲ ἐποίησεν, ἵνα μὴ ὡς ἐπιστάμενοι τὰ σαθρὰ τῆς πόλεως προδόται γένωνται. ἐν οἷς καὶ τῶν διαφόρων τινὲς ἦσαν αὐτῷ Ἀριστείδην λέγει τὸν δίκαιον· ἀνεπολιτεύετο γὰρ αὐτῶν.

185,14 τὴν αὐτὴν γνώμην ἔν τε τοῖς Ἑλληνικοῖς καὶ τοῖς κατὰ τὴν πόλιν σώζων τουτέστι μίαν ἔχων εὔνοιαν καὶ παρὰ τὴν πόλιν καὶ παρὰ τὴν Ἑλλάδα.

185,15 ἅπασαν μικροψυχίαν ἀνελόντας τῇ λέξει ηὐτέλισε τὴν ἔχθραν, μικροψυχίαν αὐτὴν εἰρηκώς. παραλαβὼν τοίνυν τὰ πράγματα ἀντὶ τοῦ δεξάμενος· ὡς ἐπὶ κληρονομίας εἶπε τὴν λέξιν.

185,17 καὶ συνεῖναι τὰ δέοντα καὶ πρᾶξαι διὰ τέλους ὁμοῦ καὶ συνετὸν καὶ ἀνδρεῖον αὐτὸν κατασκευάζει.

185,18 μὴ λελοιπέναι ζήτησιν τουτέστι μὴ ἐᾶσαι ἀμφιβάλλειν.

186,1 θεοὶ μὲν πρῶτον Δημοσθενικὴ ἡ μέθοδος· πρῶτον μὲν θεῶν τινος εὐνοίᾳ.

186,2 γνώμη δ’ ἑνὸς ἀνδρὸς, ἡ Θεμιστοκλέους τὴν σοφίαν τοῦ Θεμιστοκλέους δηλοῖ.

186,3 προσβαλλόντων ἐν μέρει πᾶσι ἀντὶ τοῦ κατὰ μικρὸν πᾶσι τοῖς Ἕλλησιν.

186,4 κἀκεῖνο εἰδὼς, ὅτι τἀν τῇ γῇ πολὺ πλείους καὶ δεινοτέρας ἔχει τὰς ἀπορίας τὴν πεζομαχίαν σημαίνει. ἐπειδὴ δὲ διαβάλλει, ὡς εἴπομεν, τὴν ναυμαχίαν ὁ Πλάτων, λελῃθότως ἀπολύεται· τῇ γῇ πολὺ πλείους εἶχε τὰς ἀπορίας συγκριτικῶς· οὐ γὰρ ἀναιρεῖ τῆς θαλάσσης τὸν κίνδυνον, ἀλλά φησιν ὅτι ἡ γῆ μείζονα εἶχε τὸν κίνδυνον. εἰ δέ τις εἴποι· οὐκ ἂν

ἐναντιοῦται ὁ ῥήτωρ τῷ Θουκυδίδῃ· ὁ γὰρ Φορμίων δημηγορῶν ἐν τῇ δευτέρᾳ λέγει τοὺς τῆς θαλάσσης πλείους κινδύνους τῶν κατὰ γῆν. λέγομεν οὖν ὅτι ὁ Ἀριστείδης ὡς πρὸς τὸν καταλαβόντα τότε κίνδυνον εἶπεν ὅτι μείζων ἦν ὁ κατὰ γῆν, οὐ μὴν καθολικῶς ἀποφαινόμενος.

186,5 ἀπορωτέροις προσφέρεσθαι ἀντὶ τοῦ ἀπορίας ποιοῦσι πρὸς τοῖς φερομένοις αὐτοῖς.

186,6 εἵλετο πρῶτον μὲν τὴν ἐλάττονα ὑπερβολὴν ἀντὶ τῆς μείζονος ἵνα μή τις εἴπῃ, οὐκοῦν ὡς δειλὸς ὁ Θεμιστοκλῆς ἐπελέξατο τὴν ἐλάττονα μάχην τῆς μείζονος, διὰ τοῦτο τῇ προσθήκῃ τῆς λέξεως μείζονα ἔδειξε τὸν Θεμιστοκλέα· εἰρηκὼς γὰρ ἐλάττονα προσέθηκε καὶ ὑπερβολήν. ὅρα οὖν πῶς οὐκ ἠλάττωσε τὴν ναυμαχίαν· ἑκατέραν γὰρ ὑπερβολὴν εἶπε, μείζονα δὲ τὴν κατὰ γῆν

186,7 καὶ ταῦτα ἐπεψήφιζεν ὁ θεὸς ὁ ἐν Δελφοῖς ἀντὶ τοῦ ἐβεβαίωσεν, ἢ συνέθετο καὶ συνῄνεσε. θέλων γὰρ δεῖξαι ὁ Ἀριστείδης τὸν Θεμιστοκλέα σοφὸν, καὶ ὡσπερεὶ μάντιν, λέγει ὅτι καὶ τοῦτο ἐπεψήφιζεν Ἀπόλλων, τουτέστι τὸ ναυμαχῆσαι Ἀθηναῖοι ἐν Σαλαμῖνι, ὡς ἅτε δὴ τοῦ Θεμιστοκλέους καὶ πρὸ τοῦ μαντεύσασθαι τὸν Ἀπόλλωνα λέγοντος ὅτι δεῖ ἡμᾶς ἐν Σαλαμῖνι ναυμαχεῖν. ὅμως δὲ καὶ τῆς μαντείας ἐλθούσης ἦν ἀπορία τοῖς πολλοῖς ἀντέπιπτεν αὐτῷ· ἰδοὺ οὖν τοῦ θεοῦ ἐστι τὸ κατόρθωμα, καὶ οὐ Θεμιστοκλέους. ὁ δὲ λέγει ὅτι δι᾽ ὧν αὐτὸς ἐνόησε τὴν τοῦ θεοῦ μαντείαν, τούτου ἦν ἀρετή.

186,9 ὡς οἱ μὲν πρεσβῦται τῆς ἀκροπόλεως ἔχεσθαι παρῄνουν καὶ τῶν πρεσβυτῶν δείκνυσιν αὐτὸν ἐμφρονέστερον. πεφράχθαι γὰρ αὐτὴν ῥάχῳ τὸ ἀρχαῖον ἀντὶ τοῦ τετειχίσθαι. ῥάχος δέ ἐστιν εἶδος ξύλου.

186,10 ῥάχῳ ῥάχος, ὁ σκόλοψ ὁ ἀκανθώδης· καὶ ἐπὶ τῶν ἀμπέλων· ἐπεὶ ἀποξὺ ἐν τῷ τέμνεσθαι. καὶ τὸν χρησμὸν εἰς τοῦτο φέρειν ὁ χρησμός «Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς. ὦ θεία Σάλαμις, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν, ἢ μὲν δυσομένου
Ὑπερίονος, ἢ δ᾽ ἀνιόντος.»

χρησμολόγοι δὲ οἱ τῶν μαντευμάτων ἑρμηνευταί. ὅρα δὲ πῶς καὶ τῶν μάντεων αὐτὸν ἀποφαίνει μαντικώτερον. ἐντεῦθεν τὸν Θεμιστοκλέα καὶ τῶν μάντεων αὐτῶν ἀποφαίνει σοφώτερον.

186,11 ἀλλὰ καὶ φυλάττεσθαι παρῄνουν τὴν Σαλαμῖνα παντὸς μᾶλλον τὴν ὑπερβολὴν τῆς ἀνοίας δηλοῖ, ὅτι καὶ φεύγειν τὴν ναυμαχίαν συνεβούλευον, ὅπου ἔδει αὐτοὺς πάντας νικῆσαι. δεδιότες γὰρ οἱ μάντεις, διὰ τὸ λέγειν τὸν χρησμὸν, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν, ἀπηγόρευον ναυμαχεῖν. ὁ γοῦν Θεμιστοκλῆς ἔλεγεν ὡς, εἰ τὴν ἀπώλειαν τῶν Ἑλλήνων ᾐνίττετο, οὐκ ἂν τὴν Σαλαμῖνα θείαν, ἀλλὰ σχετλίαν προσηγόρευσεν ὁ χρησμός.

186,12 οἱ δέ γε αὐτοί ποτε οὗτοι τὸν εἰς Σικελίαν πλοῦν ἐπέσπευδον πρόδηλος ἡ ἱστορία παρὰ τοῦ Θουκυδίδου, ὅτι σφόδρα ἐδυστύχησαν οἱ Ἀθηναῖοι ἐν τῇ Σικελίᾳ. εἶτα ἐπειδὴ ἀντέπιπτεν, πῶς οἱ αὐτοὶ μάντεις ἦσαν, — πολὺς γὰρ χρόνος ἀπὸ τῶν Μηδικῶν ἕως τῶν Σικελικῶν παρῆλθεν — εὐθέως ἔλυσεν εἰπών· τοὺς γὰρ αὐτοὺς τὸ αὐτὸ ἔθνος λέγω· διότι καὶ οἱ ὑπὸ Θεμιστοκλέους καὶ οἱ ἐπὶ Ἀλκιβιάδου τὰ σύμφορα τῇ πόλει συνεβούλευον.

186,14 οἱ δὲ τότε ἀντέλεγον τῷ Θεμιστοκλεῖ ἑτέρα σύγκρισις, ὅτι αὐτὸς καὶ τοὺς μάντεις ἐναντίους εἶχεν.

186,15 ἄλλην χώραν οἰκίζειν τὴν Σικελίαν· τοῦτο γὰρ ἔλεγον οἱ μάντεις.

187,1 διὸ δὴ καὶ θείαν αὐτὴν ὑπὸ τοῦ θεοῦ προσειρῆσθαι συνίστησιν αὐτοῦ διὰ τούτου τὴν γνώμην.

187,2 ἀλλὰ γὰρ εἰς τοὺς βαρβάρους εἰρῆσθαι τὸ πολλοὺς ἀπολεῖσθαι ὥσπερ ἀντιπῖπτον ἔλυσε. καὶ πῶς, φησὶν, ἀπολεῖσθαι εἶπεν; ὁ δὲ ἔλυσεν, εἰπὼν εἰς τοὺς βαρβάρους εἰρῆσθαι τὴν ἀπώλειαν.

187,4 οὐ γὰρ ὅτε ἦλθον τὰ λόγια, οὐ τότε πρῶτον ταύτην ἔσχε τὴν γνώμην θαυμασίως πάλιν ἐπεχείρησεν, ἵνα μὴ δόξῃ τῆς μαντείας τοῦ θεοῦ τὸ ἔργον εἶναι, ὥσπερ ἐπαγωνίζεται, δεικνὺς καὶ πρὸ τῶν λόγων τοῦ θεοῦ τὸ ναυτικὸν αὐτὸν ἐπιστάμενον. οὐ τότε πρῶτον ταύτην ἔσχε τὴν

γνώμην τοῦτο εἶπεν, ἵνα μὴ δόξῃ τύχης τὸ ἔργον, ἀλλὰ τῆς ἐκείνου συνέσεως.

187,5 οὐδ᾽ αὐτοσχεδιάζων τουτέστιν οὐχ ἅμα τῷ ἐλθεῖν τοὺς χρησμοὺς καὶ αὐτὸς ἔλεγε ναυμαχῆσαι Ἀθηναίους ἐν Σαλαμῖνι, ἀλλὰ καὶ πρὸ τοῦ ἐλθεῖν τοὺς χρησμοὺς ᾔδει ὅτι ἐπερχομένου αὐτοῦ βάρβαροι μέλλουσι πολεμεῖν ἐν Σαλαμῖνι. οὐδ᾽ ἐπὶ τοῦ καιροῦ σοφὸς ταύτην τὴν σοφίαν— γενόμενος σοφίαν λέγει, τὴν σύνεσιν δηλῶν. ἔοικε δὲ εἰς τοὺς φιλοσόφους ἀποτείνεσθαι· διὰ γὰρ τοῦ εἰπεῖν ταύτην τὸ διάφορον τῆς σοφίας δηλοῖ καὶ τῆς ῥητορικῆς. ὥσπερ οἱ θεομάντεις ἀεὶ γὰρ οἱ μάντεις τῶν ἐρωτώντων τι αὐτοὺς αὐτοσχεδιάζουσι τὰς μαντείας καὶ οὐχὶ πρὸς πολλοῦ σκέπτονται.

187,8 περιγενομένων γὰρ τῇ πόλει χρημάτων συχνῶν ἀπὸ τῶν ἔργων τῶν ἀργυρείων δείκνυσιν ὅτι ἀπὸ εἰσφορῶν ταῦτα συνήγαγεν, οὐ βλάψας τὸν δῆμον.

187,9 ταῦτα μελλόντων εἰκῆ νέμεσθαι ἦσαν γὰρ οἱ Ἀθηναῖοι ψηφισάμενοι τούτων τὸ ἀργύριον ὀρχηδὸν μερίσασθαι· τουτέστιν ἄνδρας καὶ παῖδας, γυναῖκος δὲ οὔ. ἔμφασιν δὲ ἔχει ἡ νέμεσθαι λέξις· ἐδόκει γὰρ καὶ οὕτω λυπεῖν κωλύων αὐτοὺς νέμεσθαι. οὐ διακόνου πρᾶγμα πράττων ταῦτα ὡς πρὸς διαβολὴν τοῦ Πλάτωνος.

187,11 ἀλλὰ μᾶλλον, ὥς γέ μοι φαίνεται, συμβούλου καὶ διδασκάλου κατὰ κοινοῦ τὸ πρᾶγμα πράττειν.

187,12 τὸ δὲ βέλτιστον προορωμένου καὶ πράττοντος καλῶς ἡ προσθήκη, οὐ μόνον προορωμένου, ἀλλὰ καὶ πράττοντος. καὶ τὸν ἰατρὸν, ἀλλ᾽ οὐ τὸν ὀψοποιὸν μιμουμένου, μᾶλλον δὲ καὶ τὸν γυμναστὴν, ὡς ἂν σὺ φαίης ἔργον ἐστὶν ἰατροῦ τὸ κελεύειν καὶ προστάσσειν τοῖς νοσοῦσι τόδε τι φαγεῖν, ὀψοποιοῦ δὲ ἔργον τὸ κελεύεσθαι περὶ τῶν δεσποτῶν τόδε ποιῆσαι τὸ ὄψον. λέγει δὲ ὁ Ἀριστείδης ὅτι ὁ Θεμιστοκλῆς ἰατροῦ ἔργον ἐποίει, καὶ οὐκ ὀψοποιοῦ· τουτέστιν ἐκέλευε μὲν αὐτὸς τοῖς Ἀθηναίοις τόδε ποιεῖν, αὐτὸς δὲ οὐκ ἐκελεύετο παρὰ τῶν Ἀθηναίων τάδε πράττειν. εἶτα πάλιν φησὶν ὅτι πάλιν γυμναστικὴν ἐμιμεῖτο ὁ Θεμιστοκλῆς· τουτέστι πρὸ τῶν συμφορῶν διωρθοῦτο τοὺς Ἀθηναίους. καὶ γὰρ ἡ

γυμναστικὴ ἐν τούτῳ διαφέρει τῆς ἰατρικῆς, ὅτι ἡ γυμναστικὴ τὰ σώματα οὐκ ἐᾷ πάσχειν τι, καὶ ὥσπερ διορθοῦται αὐτὰ, ἡ δὲ ἰατρικὴ μετὰ τὸ γενέσθαι τὸ πάθος, τότε, φησὶ, διορθοῦται. μέμνηται δὲ ἐνταῦθα καὶ ὁ Ἀριστείδης τούτων, βουλόμενος σκῶψαι τὸν Πλάτωνα· ἔλεγε γὰρ ὁ Πλάτων ὅτι ἡ ῥητορικὴ τῇ ὀψοποιητικῇ ἔοικε· καὶ γὰρ ἐκείνη ὥσπερ τέρπει τὰ σώματα διὰ τῶν ἡδυσμάτων καὶ τῶν καρυκειῶν, οὕτω καὶ ἡ ῥητορικὴ διὰ τῶν λόγων, ἢ τοῦ χαρίζεσθαι καὶ πρὸς ἡδονὴν λέγειν, τέρπει τοὺς ἀκροατάς.

187,13 ὡς ἂν σὺ φαίης θαυμασίως εἶπε τοῦτο· τῆς γὰρ ἰατρικῆς ἐπαινέτης ὁ Πλάτων ἀεί. ἐπάγει γὰρ καὶ τὸν γυμναστὴν, ἐπειδήπερ τὸν γυμναστὴν τοῦ ἰατροῦ ὁ Πλάτων τιμιώτερον ὁρίζεται· λέγεται γὰρ αὐτὸν πρὸ τοῦ ἀγῶνος τοὺς ἀθλητὰς ἀσκεῖν.

187,14 ἐκέλευε τοίνυν Ἀθηναίους τῶν μέσων ἐστὶν ἡ λέξις· δηλοῖ γὰρ καὶ τὸν σύμβουλον, καὶ τὸν ἄρχοντα, καὶ κρατοῦντα τῶν Ἀθηναίων, οὐ μὴν δουλεύοντα αὐτοῖς.

187,16 πρόφασιν μὲν, ὡς ἐπὶ τὸν πόλεμον τὸν πρὸς Αἰγινήτας Ἐπιδαύριοι λοιμῷ διεφθείροντο· ἔχρησεν αὐτοῖς ἡ Πυθία, ἐκ τῶν ἐλαιῶν τῆς Ἀθηνᾶς τῶν ἱερῶν ἀπὸ τῆς ἀκροπόλεως ἀγάλματα ἱδρύσασθαι Δήμητρος καὶ Κόρης, Ταμίας καὶ Αὐξήσιος. Ἐπιδαύριοι πρὸς Ἀθηναίους ἦλθον, ἱκετηρίαν φέροντες, ἐπιδεικνύντες καὶ τὸν χρησμόν. οἱ δὲ δισσῇ γνώμῃ συνείχοντο, ἀτοπίαν ἐχούσῃ, πῇ μὲν ἐκτεμεῖν τὰ ἀνιερωμένα τῇ θεᾷ δένδρα, πῇ δὲ παριδεῖν ἀπολλυμένους Ἐπιδαυρίους. τέλος ἐνίκησε παρασχεῖν, διὰ τὸ σωθῆναι πάντας. ἐπέταξεν οὖν κατ᾽ ἐνιαυτὸν φέρειν τῇ θεῷ θυσίαν ὡσανεὶ τέλος. καὶ τοῦτο ἐποίουν. τελευταῖον Αἰγινῆται πρὸς Ἐπιδαυρίους ἐπολέμησαν, καὶ ἐκράτησαν αὐτῶν. ἔλαβον δὲ μετὰ τῶν ἄλλων λαφύρων καὶ τὰ ἱερὰ ἀφιδρύματα, ἃ ἦσαν ἐκ τῆς ἀκροπόλεως λαβόντες. καὶ οὐκέτι παρέσχον τὰ τέλη τῶν θυσιῶν Ἐπιδαύριοι, λέγοντες παρὰ τοῖς Αἰγινήταις εἶναι, οὓς δέον καὶ ἀπαιτεῖν τὰς θυσίας, μὴ βουληθέντων δὲ Αἰγινητῶν παρασχεῖν, αἰτούντων Ἀθηναίων, πόλεμος ἐκ τούτου συνέστη. γενομένου τοῦ πολέμου, ἐπλεόνασε τότε τοῖς Ἀθηναίοις τὰ μέταλλα τοῦ ἀργυρίου. ταῦτα ἐψηφίσαντο Ἀθηναῖοι ὀρχηδὸν μερίσασθαι, τουτέστι τοὺς ἄνδρας μόνον καὶ τοὺς παῖδας.

διεκώλυσε τοῦτο γενέσθαι Θεμιστοκλῆς, λέγων ὡς δεῖ τὰ χρήματα εἰς ναῦς ἀναλῶσαι, διὰ τὸν τῶν Αἰγινητῶν πόλεμον, τὸ δὲ ἀληθέστερον ἤδη προσκοπῶν, μέλλειν ἐπέρχεσθαι τὸν βάρβαρον· καὶ εἰπὼν ἔπεισεν.

187,17 νομίζων τὴν Μαραθῶνι μάχην ὡσπερεὶ προοίμιον γεγενῆσθαι τοῖς Ἀθηναίοις δηλονότι τῶν γενομένων.

187,19 ἑτέρων ἀγώνων μειζόνων πάλιν αὔξει τὸ κατόρθωμα τοῦ Θεμιστοκλέους, μείζονα λέγων τὸν δεύτερον πόλεμον, τὸν καὶ ἐπὶ αὐτοῦ γενόμενον.

187,20 καὶ τότε ἔπεισεν καλῶς εἶπε τότε· τουτέστιν ἐν αὐτῇ τῇ χρείᾳ· ἵνα μή τις εἴπῃ ὅτι πρὸ μὲν τῆς χρείας ἔπειθε, παρὰ δὲ τὸν καιρὸν οὐχ εὗρεν αὐτοὺς ὑπακούοντας. ὁρμητήριον δὲ καινοπρεπῶς λέγει τὴν θάλασσαν.

187,20bis πρῶτον μὲν ἐπ᾽ Ἀρτεμίσιον πλεύσας καλῶς εἶπε τὸ πρῶτον, ἵνα σημάνῃ τῶν ἐφεξῆς ἀγώνων τὸ πλῆθος. Ἀρτεμίσιον δέ ἐστι λιμὴν τῆς Εὐβοίας, ἔνθα πρῶτον ἐναυμάχησε πρὸς τὰς πρόπλους τριήρεις τῶν βαρβάρων· οὐ γὰρ ἅμα πᾶσαι ἦλθον αἱ χίλιαι διακόσιαι νῆες αὐτῶν.

188,1 οὔτε λόγους ἀσχήμονας εἰπὼν καλῶς πάλιν ἡ λέξις· πανταχοῦ γὰρ μάχεται πρὸς τὸ ἔγκλημα τῆς κολακείας, καὶ ὅτι οὐ κόλακες ἦσαν οἱ ἄνδρες. πρὸς τοὺς ἐμπλέοντας Ἀθηναίων, ἢ τῶν Ἑλλήνων δίκαιον γὰρ ἦν Ἀθηναίους ἢ Λακεδαιμονίους ἔχειν τὴν ἡγεμονίαν.

188,2 οὔτε ἔργα φαῦλα ἀποδειξάμενος τουτέστιν οὐκ ἔδειξεν ἔργα τῶν λόγων εὐτελέστερα. ἀλλ᾽, ὥς φησι Πίνδαρος, κρηπῖδα τῆς ἐλευθερίας τοῖς Ἕλλησι βαλλόμενος δείκνυσι καὶ Πίνδαρον ἐπαινέτην ὄντα Θεμιστοκλέους. κρηπὶς δέ ἐστιν ἡ ῥίζα, καὶ ἀρχὴ, καὶ θεμέλιος. ὁ δὲ Πίνδαρος εἶπε τὰς Ἀθήνας ἔρεισμα τῆς Ἑλλάδος.

188,3 ἔπειτα γράφει τὸ ψήφισμα τοῦτο, —οὐδείς πω μέμνηται γραφὲν τὴν μὲν πόλιν παρακαταθέσθαι Ἀθηναίων Ἀθηνᾷ μεδεούσῃ, παῖδας δὲ καὶ γυναῖκας εἰς Τροιζῆνα, αὐτοὺς δὲ ἐξελθεῖν εἰς Σαλαμῖνα.

188,4 ἐλευθεριώτερον ἀντὶ τοῦ μεγαλοψυχότερον. ἔοικα δ᾽ ὑπερβαίνειν πολλὰ τῶν ἐν μέσῳ ὥσπερ ἐπιλαμβάνεται ἑαυτοῦ. τὸ δὲ σχῆμα αὔξησις.

188,5 οὕτω γὰρ ὡς ἀληθῶς ἐκεῖνος θείᾳ τινὶ μοίρᾳ ἐνταῦθα λοιπὸν περὶ τῆς παραχωρήσεως τῆς ἡγεμονίας διαλέγεται, λέγων ὅτι δι᾽ ἐπιείκειαν παρεχώρησαν αὐτὴν οἱ Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις· ἐδόκουν γὰρ δι᾽ ἀσθένειαν παρακεχωρηκέναι. θείᾳ τινὶ μοίρᾳ ῥητορικῶς εἰσάγει τὸν Θεμιστοκλέα παρὰ θεοῦ τινος δωρεὰν δοθέντα τῇ πόλει καὶ τῇ Ἑλλάδι.

188,7 ὑπερέβαλον μὲν Ἀθηναῖοι τῷ πλήθει τῶν νεῶν σχεδὸν πάντας ἀγνωμοσύνην κατηγορεῖ τῶν Ἑλλήνων, ὅτι τοῖς Λακεδαιμονίοις ἔδωκαν τὴν ἡγεμονίαν τοῖς μὴ ἔχουσι πολὺ ναυτικόν.

188,8 σχεδὸν πάντας τὸ σχεδὸν παρέλκεται· κατὰ γὰρ ἀλήθειαν πλείους ἦσαν αἱ τῶν Ἀθηναίων νῆες.

188,9 συνιδὼν ὁ πάντα ἄριστος ἐκεῖνος πάλιν εἰς σοφίαν ἀναφέρει τὴν παραχώρησιν τῆς ἡγεμονίας.

188,11 ὑφίεσθαι σώζειν. ἀντὶ τοῦ σώζειν. καλῶς δὲ ἐν τῷ τότε, ἀντὶ τοῦ τὸν παρόντα κίνδυνον, διὰ τὸ μὴ γίνεσθαι στάσιν.

188,13 σχεδὸν δέ τι καὶ τοὔνομα τῆς ἡγεμονίας, ἀλλ᾽ οὐκ αὐτὴν ἔπεισε παρεῖναι λόγῳ μὲν γὰρ καὶ σχήματι μόνον εἶχον τὴν ἀρχὴν οἱ Λακεδαιμόνιοι, οἱ δὲ Ἀθηναῖοι ἔργον· ὃ γὰρ ἦν ἔργον ἡγεμόνων ποιεῖν, οἱ Ἀθηναῖοι ἐποίουν ἐν τῷ πρὸς βάρβαρον πολέμῳ.

188,14 παρεῖναι ἀφεῖναι τοῖς Λακεδαιμονίοις. αὐτοῖς μὲν τὴν ἡγεμονίαν τοῖς Ἀθηναίοις. λέγει δὲ τῷ ἔργῳ ἡγεμονίαν.

188,15 περιεγένετο αὐτοῖς ἀντὶ τοῦ κέρδος συνέβη.

188,16 τῶν δὲ συμμάχων πρᾳότητι διὰ γὰρ πρᾳότητα παρεχώρησε τῆς ἡγεμονίας.

188,17 καὶ εἰ φὴς, ὦ Πλάτων, ὅτι οὐ τριήρων πάλιν λελησθότως προλύει τὴν ἀντίθεσιν τὴν περὶ τῆς διαβολῆς τῆς ναυμαχίας, ἀμφότερα μαρτυρῶν τῷ Θεμιστοκλεῖ, τήν τε ἐμπειρίαν τοῦ ναυτικοῦ καὶ τὴν παρὰ τὰ ἄλλα εὐβουλίαν.

189,1 ὑπὲρ τῶν κοινῶν δικαίων τῆς ἐλευθερίας. κοινὸν δίκαιον λέγει τὴν ἐλευθερίαν τῆς πατρίδος. τῷ δὲ εἰπεῖν καὶ κατέπραξε καὶ τοῦτο μέγα τι λέγει κατόρθωμα.

189,4 μᾶλλον δὲ καὶ ταῖς ναυσὶν αὐταῖς ἐποίησε χρήσασθαι ἐνδέχεται γὰρ παρεῖναι μὲν ναῦς, μὴ μέντοι κεχρῆσθαι αὐταῖς. διὰ τοῦτό φησι· μᾶλλον δὲ καὶ ταῖς ναυσὶν ἐποίησε χρήσασθαι.

189,5 ἐνταῦθα καλῶς ἀναφαίνεται ὅσῳ τοῦ Τερπάνδρου κρείττων ἀνὴρ τὴν μουσικὴν θαυμασίως ὁ ῥήτωρ καὶ μουσικὴν καλεῖ τῷ Θεμιστοκλεῖ· οὐ γὰρ εἶπεν ἐκείνου τῆς μουσικῆς, ὡς καὶ αὐτοῦ μουσικὴν ἔχοντος, τὴν δὲ σοφίαν αὐτοῦ λύραν ὀνομάζοντος.

189,6 ἐφ᾽ ἑαυτῶν ὅ ἐστι μόνους ἑαυτοὺς πρὸς ἑαυτούς. ὁ δ᾽ Ἀθηναίους καὶ Λακεδαιμονίους τότε ταὐτὸν ἔπεισε φρονῆσαι ὑπὸ γὰρ σοφίας ἔπεισεν Ἀθηναίους παραχωρῆσαι τῆς ἡγεμονίας, ἐπαγγειλάμενος αὐτοῖς παρ᾽ ἑκόντων τῶν Ἑλλήνων αὐτὴν λαβεῖν.

189,8 τὴν Ἑλλάδα ἡρμόσατο πάλιν ὡς ἐπὶ λύρας εἶπε τὸ ἡρμόσατο. καὶ αὐτός τε ἀπέστη τῆς ναυαρχίας τῷ Εὐρυβιάδῃ παραχωρήσας δηλονότι.

189,10 τίς—τῶν ἐν τοῖς τρίβωσι κατασαπέντων ἀπὸ τῶν φιλοσόφων. τῶν ἐν φιλοσόφοις λέγει, εἰς Πλάτωνα αἰνιττόμενος.

189,12 οὔτε πόλει τῇ τῶν Λακεδαιμονίων. οὔτ᾽ ἀνθρώπων οὐδενὶ τῷ Εὐρυβιάδῃ.

189,13 ὥσπερ ἂν εἰ μόνος ἦν τῶν πάντων ἡγεμὼν ἀντὶ τοῦ κοινωνὸν οὐκ ἀνεχόμενος ἔχειν.

189,14 ὥσπερ παῖδα παῖδα καλέσας ἔδειξε τὴν ἀπειρίαν αὐτοῦ· ἄπειρα γάρ ἐστι τὰ παιδία. τοὺς νεῖν ἀδυνάτους ἀντὶ τοῦ τοὺς μὴ δυναμένους διανήχεσθαι. οἰκεία δὲ ἡ παραβολὴ τοῖς παισί· καὶ γὰρ ἄνω ὥσπερ παῖδα εἶπεν αὐτόν.

189,15 οἷον ὑποκοριζόμενος τῷ τῆς ναυαρχίας ὀνόματι πάλιν ὡς ἐπὶ παιδὸς ἐνέμεινε ταῖς λέξεσιν.

189,16 στρέφειν ὅποι βούλοιτο κατὰ κοινοῦ τὸ κύριος ἦν. ἀρχὴν δὲ ἀντὶ τοῦ ναυαρχίαν.

189,18 καταντικρὺ ἀντὶ τοῦ κατὰ πρόσωπον. τὸ δὲ περιπλεῖν ἀντὶ τοῦ κατὰ νῶτον καὶ ὄπισθεν φερομένας.

189,19 διανοουμένου τὸν ἀγῶνα καταλιπεῖν οὐκ ἐπ᾽ ἐλπίδι βελτίονι εὐφήμως εἶπε τὴν λέξιν, ἀντὶ τοῦ οὐ καὶ ἐπὶ τῷ νικῆσαι, ὥσπερ ὁ Θεμιστοκλῆς τὴν πόλιν κατέλειψε.

189,20 τοιοῦτο πάθος παθόντος τοιαύτην συμφορὰν ἔχοντος. λελυμένον δέ ἐστιν.

190,1 αὐτὸς, ὥσπερ θεός τις τῶν ἀπὸ μηχανῆς, χεῖρα ὑπερέσχε τοῦτο εἶπεν, ἵνα σημάνῃ τὸ ἐξαίφνης καὶ ἀπροσδόκητον. ὅρα δὲ πάλιν τὴν ὑπερβολὴν, πῶς θεόν τινα ποιεῖ ἐπιφανέντα σωτήριον. ἀπὸ μηχανῆς δὲ εἶπεν, ὅτι ἔχομεν ἐν τοῖς δράμασι τοῖς κωμικοῖς ἀπὸ μηχανῆς ἄνωθεν χεῖρα θεοῦ πολλάκις ἐπιφερομένην. θεοὺς ἐπιφαινομένους πολλάκις, ὥσπερ Εὐριπίδης ἐποίησεν ἐν Ἠλέκτρᾳ εἰσάγων τὸν Ἀπόλλωνα εἰς διαλλαγὴν Ὀρέστου καὶ Μενελάου.

190,2 ἀπ᾽ αἰσχρᾶς οὕτω τῆς ἀρχῆς ἀντὶ τοῦ ἀπὸ φυγῆς.

190,3 τὸν Εὐρυβιάδην, ὡς οὐκ ἔπειθε λέγων, ἐπρίατο Θεμιστοκλεῖ οἷον Εὐβοεῖς τέσσαρα δεδώκασι τάλαντα ἐπὶ τῷ καταμεῖναι τὸν τῆς μετακομιδῆς τῶν ἐπίπλων καιρὸν, ἐξ ὧν παρέσχεν Εὐρυβιάδῃ. δέδωκε γὰρ αὐτῷ χρήματα πρὸς τὸ μεῖναι καὶ μὴ φεύγειν. εἰ δέ τις εἴποι· καὶ πολεμῶν χρήματα πόθεν εἶχε; λέγομεν ὅτι ἐπίτηδες εἶχε μεθ᾽ ἑαυτοῦ ἐννοῶν ὅτι ἀνέκυπτέ τις χρεία. ἢ ἐπρίατο τοῖς ἐπαίνοις αὐτόν· εἶπε γὰρ ὅτι ὑπεκορίζετο αὐτόν. ἄλλοι δὲ λέγουσιν ὅτι οἱ Εὐβοεῖς φοβούμενοι μή πως φύγωσιν οἱ Ἀθηναῖοι, ἀπέστειλαν αὐτοῖς τριάκοντα τάλαντα, ἵνα περιμείνωσιν, ὅπως ἐκθῶνται τοὺς παῖδας αὐτῶν καὶ τὰς γυναῖκας ἐν ἀσφαλείᾳ. ἀπὸ τούτων οὖν τριάκοντα δέδωκεν αὐτῷ πέντε ὡς ἴδια ὁ Θεμιστοκλῆς. οὐχ ὡς ἄν τις διάκονος ἀξιῶν τινος εἶναι τὸ γὰρ πρίασθαι οὐκ ἔστι διακόνου. ἐπειδὴ δὲ εἶπεν ἄνω ὑποκοριζόμενος, ὅ ἐστι κολακείας, τοῦτο ἐπήγαγεν, ὥσπερ ἐκεῖνο ἀπολυόμενος.

190,4 καὶ τήν τε Εὔβοιαν περιεποίησε ἔνθα καὶ ἡ πρώτη γέγονε ναυμαχία, ἡ ἐπ᾽ Ἀρτεμισίῳ.

190,5 τὰ πράγματα τῶν Ἑλλήνων ἔστησε ἐπηνώρθωσε. παντελῶς ἄπορα ἢ ἀπορίαν ἔχοντα, ἢ ἀδύνατα.

190,6 τοῦ περὶ τὰς Πύλας πάθους πάθος ἐκάλεσε τὸν θάνατον τῶν τριακοσίων. οὐχ ἧτταν δὲ ὠνόμασεν, ὥσπερ ὀδυρόμενος μᾶλλον ἢ μεμφόμενος· ἴσμεν γὰρ ὅτι οὐχ ἡττήθησαν, ἀλλὰ προυδόθησαν διὰ τοῦ ὄρους τῆς Θετταλίας. τῆς κοινῆς, εἰ θέμις εἰπεῖν, τοῦ τε Ἀπόλλωνος τοῦ Πυθίου καὶ Θεμιστοκλέους μαντείας δεύτερον ἤδη φανερᾶς γεγονυίας ἐκόλασε τῇ προσθήκῃ τὸ βλάσφημον· κοινὸν γὰρ εἶπε τοῦ θεοῦ καὶ Θεμιστοκλέους τὴν μαντείαν. λέγει δὲ τὸ ξύλινον τεῖχος καὶ τὸ ναυτικόν. ταῦτα δὲ ὥσπερ λύσις ἐστὶ τοῦ ἀντιπίπτοντος, ὃ ἀντετίθη Πλάτων, λέγων ὅτι ὡς δειλοὶ κατέφυγον εἰς τὸ ναυμαχεῖν. ἐκόλασε τῇ προσθήκῃ τὴν βλασφημίαν. μαντείαν δὲ λέγει τὸ ξύλινον τεῖχος, ἢ τὰς ναῦς. ταῦτα δὲ ὥσπερ λύσις ἐστὶ τοῦ ἀντιπίπτοντος· ἀντετίθει γὰρ Πλάτων, λέγων ὅτι ὡς δηλοῖ κατέφυγεν εἰς τὰς ναῦς.

190,8 προδοθέντες ὑφ᾽ ὅτων δή ποτε σιωπᾷ τοὺς προδότας, ἢ διὰ τὸ ἀδήλους εἶναι, ἢ ἵνα μὴ διαβάλῃ αὐτοὺς, ὅτι Ἕλληνες ἦσαν. λέγει δὲ Ἐφιάλτην τινὰ, στρατηγὸν Θετταλῶν. ἦσαν δὲ οἱ πεμφθέντες εἰς τὴν φυλακὴν τῶν Τεμπῶν Λακεδαιμόνιοι.

190,9 κατεχώσθησαν ὑπὸ τῶν βαρβάρων οὐκ εἶπεν ἀπέθανον, ἀλλὰ κατεχώσθησαν, τουτέστι καταπατηθέντες ἐτάφησαν. τουτέστι καταπατηθέντες ἐτάφησαν. αἰνίττεται δὲ διὰ τὸ πλῆθος τῶν βαρβάρων.

190,10 ἀλλ᾽ ὅτι καὶ Λακεδαιμόνιοι δοκοῦσί μοι— ὁπόσων ἠδύναντο ἐνεγκεῖν στερηθέντες ὥσπερ εἰδότας αὐτοὺς εἰσάγει τὸν θάνατον τῶν τριακοσίων. ἔοικε δὲ ἴσως εἰς τὸν μάντιν αἰνίττεσθαι τὸν Μεγιστίαν. λέγεται γὰρ καὶ οὗτος προειρηκέναι τοὺς ἐξιόντας εἰς Πύλας πάντως ἀπολεῖσθαι. διὰ τοῦτο οὖν ἴσως καὶ ὀλίγους φησὶ πεπομφέναι Λακεδαιμονίους, ὧν ἠδύναντο ὡς ὀλίγην ἐνεγκεῖν τὴν στέρησιν.

190,11 ὥσπερ ἀφοσιούμενοι ἀπολογούμενοι καὶ πληροῦντες τὸ δίκαιον. τουτέστιν ἀπολογούμενοι. ἀπὸ τοῦ ὅσιον πληροῦν καὶ τὸ δίκαιον.

190,12 οὕτω δὴ τούτων κεχωρηκότων νῦν λοιπὸν οὐ μόνον τῶν Λακεδαιμονίων κατηγορεῖ, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων. τῶν ἐν ταῖς ναυσὶ κατὰ κράτος ἤδη φευγόντων εἰς τὸ εἴσω τῆς Ἑλλάδος μετὰ γὰρ τὸ νικῆσαι τοὺς Ἕλληνας τὸν βάρβαρον ἐπ᾽ Ἀρτεμισίῳ ἠβουλήθησαν Πελοποννήσιοι τειχίσαι τὸν Ἰσθμὸν, ἀκούσαντες ὅτι ἄλλαι βαρβαρικαὶ τριήρεις παραπλέουσι. τοῦτο δὲ σφόδρα εὔηθες ἦν· ἔχων γὰρ ναυτικὸν ἠδύνατο παραπλέων τὴν Πελοπόννησον κατὰ πόλιν ἑλεῖν.

190,13 καὶ τὴν Πελοπόννησον σχεδὸν Ἑλλάδα ποιουμένων διὰ τούτου ἡρμήνευσε τί ἐστι τὸ εἴσω τῆς Ἑλλάδος· λέγει γὰρ τὴν Πελοπόννησον. τὰ δ᾽ ἄλλα παρεικότων τῆς γὰρ Ἑλλάδος πάσης ἠμέλουν, Πελοποννήσου δὲ ἀντεποιοῦντο, καὶ ταύτην ἐτείχιζον, ἣ μέρος ἐστὶ τῆς Ἑλλάδος, νομίζοντες τὴν Πελοπόννησον καὶ τὴν Ἑλλάδα ταὐτὸν εἶναι.

191,1 ἔσχατος μὲν ἀνεχώρει μετὰ ἐσχάτων Ἀθηναίων ἐν ταῖς φυγαῖς τὸ τελευταῖον ἀναχωρεῖν ἔπαινον ἔχειν δοκεῖ. λεληθότως δὲ ἀποτείνεται πρὸς τὸν Πλάτωνα, ἐπειδήπερ κἀκεῖνος ἐπαινεῖ τὴν ἀπὸ τοῦ Δηλίου Σωκράτους φυγὴν, ἥντινα εἴπομεν ἐν τῇ τετάρτῃ Θουκυδίδου. οὐκ εἶπε δὲ ἔσχατος ἔφυγεν, ἀλλ᾽ ἔσχατος ἀνεχώρησε, καὶ τὴν φυγὴν δεικνὺς ἐγκώμιον.

191,3 τὸ τῆς ὁδοῦ πάρεργον, ὃ πρὸς τοὺς Ἴωνας ἐπολιτεύσατο ἀντὶ τοῦ τῆς φυγῆς. λέγει δὲ, περὶ οὗ ἐνέγραψεν ἐν ταῖς ναυλόχοις πέτραις· μνήσθητε, Ἴωνες, πατρῴου φρονήματος. καὶ προσεποιήσατο φεύγειν, ἵνα ἐλθόντες ἀναγνοῖεν αὐτὸ οἱ Ἴωνες. οὐκ ἀπὸ τοῦ βήματος, οὐδ᾽ ὁρώμενος αὐτοῖς, ἀλλ᾽ ἀπὸ τῶν πετρῶν καὶ τῶν τόπων τῶν ναυλόχων θαυμασίως τοῦτο προσέθηκεν. ὁ γὰρ ῥήτωρ μᾶλλον ὁρώμενος πείθει ἢπερ διὰ γραμμάτων· δυσωπεῖ γὰρ μᾶλλον φαινόμενος. καινὸν δὲ βῆμα δείκνυσι τὸν Θεμιστοκλέα κτησάμενον, τὰς ναυλόχους πέτρας.

191,5 ποῖος Μίνως Ὁμηρικὸς ταῦτα μέμψαιτ᾽ ἂν, ἢ τίς Αἰακὸς μεγίστην ἐνταῦθα ποιεῖται σύγκρισιν, ἐναντιούμενος περὶ τῶν ἀνδρῶν τῷ Πλάτωνι, ποιῶν τὸν Μίνωα καὶ τὸν Ῥαθάμανθυν, οἵτινες ἐπὶ τῇ

δικαιοσύνῃ βοῶνται. πάλιν δὲ ἡ μεταχείρησις Δημοσθενική. εἰ γὰρ ὁ Αἰακὸς ἦ Ῥαθάμανθυς ἦν ὁ κατηγορῶν. ὡς δικαιότατον τὸν Μίνω παρέλαβεν, ἐπειδὴ καὶ ὃ πρὸς τοὺς Ἴωνας ἔγραψε Θεμιστοκλῆς, δίκαιον ἦν· τὸν δὲ Αἰακὸν, ὡς ὑπὲρ τῆς Ἑλλάδος εὐξάμενον· αὐχμοῦ γὰρ πολλοῦ γενομένου τοῖς Ἕλλησιν, Αἰακὸς εὐξάμενος τῷ Διὶ τοῦτον κατέπαυσεν.

191,6 ἐνταῦθα δὴ πολὺ μείζων καὶ καλλίων ἡ τρίτη πεῖρα ἐπεγένετο πρώτη πεῖρα ἡ τῶν πρόπλων τῶν βαρβάρου καθαίρεσις, δευτέρα δὲ ἡ ἐκ τῆς τῶν εἰς Πύλας ἀπαντησάντων ἀπωλείας ἀπόδειξις, ὅτι δεῖ θαλάσσῃ κεχρῆσθαι.

191,7 ἀναχωρησάντων γὰρ ἀπ᾽ Ἀρτεμισίου ἐπειδὴ τῆς πεζομαχίας ἐπαινέτης ἐστὶν ὁ Πλάτων, δείκνυσιν ὡς ἐβούλοντο μὲν πεζομαχεῖν Ἀθηναῖοι, οὐδεὶς δὲ αὐτοῖς ἠκολούθει. λέγει οὖν ὅτι καὶ τὴν ναυμαχίαν ἀνάγκῃ ᾑρήσαντο.

191,9 τοὺς ἄλλους ἐκέλευον ἀπαντᾶν εἰς τὴν Βοιωτίαν, καὶ προκινδυνεύειν τῆς λοιπῆς Ἑλλάδος ἐπειδὴ τὴν Βοιωτίαν καταλαβόντες εἶχον οἱ Πέρσαι, διὰ τοῦτο τοὺς λοιποὺς λοιπὴν Ἑλλάδα ἐκάλεσεν ὁ Ἀριστείδης.

191,11 ἐκ θαλάττης εἰς θάλατταν ἀντὶ τοῦ ἀπὸ μετώπου εἰς μέτωπον, καὶ ἀπὸ ἄκρου εἰς ἄκρον. συγκαλυψάμενοι ἀντὶ τοῦ συσκεπάσαντες ἑαυτοὺς, ἵνα μὴ ὁρῷεν ἃ πάσχουσι.

191,12 ὅπου γὰρ ἐξῆν τοῖς βαρβάροις περιπλεύσασι κατὰ πόλεις ἐλεῖν αὐτοὺς ὡς γὰρ νῆσός ἐστιν ἡ Πελοπόννησος, καὶ ἠδύναντο οἱ βάρβαροι παραπλεῦσαι αὐτήν.

191,13 τί πλέον τοῦ τείχους ἦν, εἰ καὶ σεμνότερον τοῦ τῶν Βαβυλωνίων ἐστάθη τὰ τείχη Βαβυλῶνος ἐκάλεσεν. ἅπαξ δὲ τὴν αὐτὴν ἔχει δύναμιν· εἶπε γὰρ Βαβυλώνιον. λέγει δὲ τοῦτο ἰσχυρότατον καὶ Θεόκριτος «Ἔνθα σε τεῖχος ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασιλεύει.» ἔστι δὲ τῶν ἑπτὰ θεαμάτων. τοῦτο ἰσχυρότατόν φησι καὶ Θεόκριτος «Ἔνθα δὲ τεῖχος ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασιλεύει.» ἔστι δὲ τῶν θεαμάτων.

191,15 ἃ Θεμιστοκλῆς πόρρωθεν προορώμενος οὐκ ἐξεπλάγη τότε πόρρωθεν προορώμενος ἀντὶ τοῦ καὶ πρὸ τῆς στρατείας τοῦ Πέρσου μαντευόμενος.

διὰ τοῦτο εἶπεν οὐκ ἐξεπλάγη τότε· τὸ γὰρ ἐξαίφνης γινόμενον φόβον ποιεῖ.

191,16 εἰσχεομένων ἀμφοτέρωθεν τουτέστιν ἐκ γῆς καὶ θαλάττης. κοινῷ δὲ στόλῳ ἀντὶ τοῦ ἀθρόῳ, καὶ οὐ κατὰ μίαν.

192,1 κοινῷ στόλῳ ἀθρόῳ.

192,2 δηλοῦντος ἀντὶ φρυκτῶν προσάγειν βασιλέα φρυκτοὶ λαμπάδες εἰσὶ, σημαίνουσαι πολεμίων ἔφοδον. κοινὰς οὖν φρυκτωρίας ἐνταῦθα εἶπε τὸν ἐμπρησμὸν τῶν πόλεων τῶν Ἑλληνικῶν. αὗται γὰρ, φησὶν, ἐμπιπράμεναι ἐδήλουν τὴν παρουσίαν τοῦ Πέρσου. τῶν δὲ φρυκτῶν οἱ μέν εἰσιν εἰρηνικοὶ, οἱ δὲ πολεμικοί. τοῦτο δὲ γράφοντες κακῶς ἐξηγοῦνται, λέγοντες οὕτως, ὅτι, ἡνίκα μὲν ἐδήλουν πόρρωθεν τοῖς συμμάχοις εἰρηνικῶς, ἁπλῆν ἐποίουν τὴν λαμπάδα, ὅτε δὲ πολέμου, διπλῆν. τοῦτο δὲ εὔηθες· καὶ γὰρ εἰ ἐποίουν αὐτὴν διπλῆν, ὅμως πόρρωθεν ὡς ἁπλῆ ἐφαίνετο. ἡμεῖς δὲ φαμὲν ὅτι, ὅτε μὲν ἐσήμαινον τοῖς συμμάχοις πολεμίων ἔφοδον, ἔστρεφον ἀεὶ τὴν λαμπάδα, ὅτε δὲ εἰρήνην, ὀρθὴν ἐκράτουν. οἱ οὖν βάρβαροι οὐ διὰ φρυκτῶν ἐσήμαινον τὸν πόλεμον τοῖς Ἕλλησιν, ἀλλὰ σὺν αὐτοῖς φέροντες τὸν βασιλέα τὴν μάχην ἐσήμαινον. γράφει τὸ ψήφισμα τοῦτο τοῦτο ἔμφασιν δηλοῖ, ἀντὶ τοῦ τολμηρὸν καὶ φοβερόν.

192,3 παῖδας δὲ καὶ γυναῖκας εἰς Τροιζῆνα ὑπεκθέσθαι τὴν Τροιζῆνα νῆσον λέγει Ἰσοκράτης, γείτονα μὲν τῶν Ἀθηναίων, μικρὸν δὲ πόρρωθεν οὖσαν, ἵνα, εἰ καὶ συμβῇ ἀπολέσθαι τοὺς Ἕλληνας, τελευταῖον ἀπολεῖται τὰ γένη ἐκεῖ ὄντα.

192,5 ᾧ μεγάλης μὲν τῆς ἐπινοίας ἀνακλητικὸν τὸ σχῆμα. τὸ σχῆμα ἀνακαλεῖται ἀνακλητικὸν, αὔξησιν δὲ ἔχει ἐν ἑαυτῷ.

192,6 θαυμαστῆς δὲ καὶ τῆς τῶν πεισθέντων ἀρετῆς τε καὶ παιδείας πανταχοῦ συνάπτει τῷ Θεμιστοκλεῖ τοὺς Ἀθηναίους, κοινὸν δεικνὺς τὸ κατόρθωμα· ὥσπερ Δημοσθένης λέγει «Ἐποιεῖτε μὲν ὑμεῖς, ἔγραφον δὲ ἐγώ.»

192,7 ἣν ἐπεπαίδευντο ὑπ᾽ ἐκείνῳ πάντα ἀνέχεσθαι καὶ καρτερεῖν ἵνα μὴ σχεδιασθεῖσαν εἴπῃ τὴν ἀρετὴν, ἀνατροφὴν εἶπεν αὐτῶν.

192,8 ὅσ᾽ ἂν διδῷ μὲν ὁ δαίμων, συμβουλεύῃ δὲ Θεμιστοκλῆς ἀνθιστάμενον δείκνυσι τῇ τύχῃ τὸν Θεμιστοκλέα· ἔστι δὲ πάλιν Δημοσθενικόν· παρὰ τὸ φέρειν, ὡς ἂν δίδωσιν ὁ δαίμων γενναίως. ὡς ἀρκούσης τῆς τούτου συμβουλῆς τὰ λυπηρὰ διαλύειν τοῦ δαίμονος. τοῦτο τὸ ψήφισμα τῶν ὑφ᾽ ἡλίῳ ἐνταῦθα φανερῶς συγκρίνει τὸ ψήφισμα Θεμιστοκλέους πρὸς τὰ Πλάτωνος συγγράμματα καὶ τοὺς νόμους, ἐπειδὴ καὶ αὐτὸς ἔγραφε πολιτείας καὶ νόμους.

192,10 τοῦ φρονεῖν ἐφ᾽ ἑαυτοῖς τοῦ μὴ εἰς ἄλλους τὰς ἐλπίδας ἔχειν.

192,11 πρίν τινος αἰσχροῦ πεῖραν λαβεῖν σημαίνει τῆς δουλείας. καλῶς δὲ τὸ τινὸς ἀντὶ τοῦ μικροῦ καὶ εὐτελοῦς. τὰ δόξαντα ἐξ ἀρχῆς τὸ ναυμαχῆσαι δηλοῖ· τοῦτο γὰρ ἦν δόξαν αὐτοῖς.

192,12 τοῦ μὴ μνησικακεῖν τοῖς ὁμοίοις τοῖς Λακεδαιμονίοις· ὁμοίως γὰρ τοῖς Ἀθηναίοις ἦσαν Ἕλληνες. ἀνομοίων δὲ λέγει, τουτέστι κἂν φύγωσι καὶ μὴ στῶσιν εἰς τὴν μάχην. ἢ ἀνόμοια λέγει, ὅτι μὴ βουλομένου τοῦ Θεμιστοκλέους τὸν Ἰσθμὸν τειχίζειν ἠβούλοντο. ὁμοίως λέγει τοὺς Ἕλληνας· ὁμοίως γὰρ πάντες ἦσαν Ἕλληνες. ἀνομοίων δὲ ἔργα λέγει, τουτέστι κἂν φύγωσι. καὶ μὴ πτωεῖν εἰς τὴν μάχην ἀνόμοια λέγει· ὅτι μὴ βουλομένου τοῦ Θεμιστοκλέους τὸν Ἰσθμὸν τειχίζειν ἐβούλοντο.

192,13 οὐ κόλαξ, ἐμοὶ δοκεῖν, ἄνθρωπος ἐμφαντικὸν τὸ ἐμοί, ἀντὶ τοῦ οὐ σοὶ τῷ διαβάλλοντι. οὐδὲ κάτω βλέπων κάτω βλέπων ἐστὶν ὁ ταπεινὸς καὶ δειλὸς καὶ εὐτελής.

192,14 ἦ που σοὶ Μίθαικος ὁ τὴν Σικελικὴν ὀψοποιίαν συγγεγραφὼς σκωπτικὸν τὸ σχῆμα. μάγειρος δέ ἐστιν οὗτος, καὶ ὁ Πλάτων δὲ μαγειρικὴν λέγει τὴν ῥητορικήν. ἦ που σοὶ Μίθαικος—ἢ Σάραμβος Μίθαικος συγγραφεύς· Σάραμβος κάπηλος.

192,15 νῦν γὰρ ἀνεμνήσθην τοὔνομα τὸ νῦν προσέθηκεν, ἐπειδήπερ ἐν τῷ τέλει τοῦ Περικλέους εἶπε, καὶ οὐκ οἶδ᾽ ὅτῳ τρίτῳ. τὸ νῦν γὰρ εἶπε, ἐπειδὴ ἐν τῷ τέλει τοῦ Περικλέους ὥσπερ ἐπελάθετο, λέγων, καὶ οὐκ οἶδ᾽ ὅτῳ τὸ τρίτον.

193,1 φέρε μοι δὴ παρὰ τοῦτο τὸ ψήφισμα τὰ τῶν σοφιστῶν, εἰ βούλει, συγγράμματα καὶ τοὺς νόμους ἐνταῦθα φανερῶς συγκρίνει τὸ ψήφισμα Θεμιστοκλέους πρὸς τὰ Πλάτωνος συγγράμματα.

193,2 τοὺς νόμους ἔγραφε γὰρ ὁ Πλάτων καὶ νόμους, πρὸς οὓς συγκρίνει τὸ ψήφισμα τοῦ Θεμιστοκλέους. ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν ἐπειδὴ ὁ Πλάτων φαίνεται αὐτοῖς τοῖς ὀνόμασι χρησάμενος ἐπὶ διαβολῇ, ἵνα μὴ δείξῃ ἑαυτὸν ὅμοιον ἐκείνῳ, εἶπεν ὅτι οὐδὲν δέομαι ὀνόματος. ὡς φανεροῦ, φησὶν, ὄντος τοῦ Πλάτωνος ὀνόματος· οὐ δέομαι οὖν ὀνομάσας αὐτόν. ἔχει δὲ τὸ λέγειν ἐν ἑαυτῷ ὁμοῦ σιωπὴν καὶ διαβολήν. οἶμαι δὲ οὐ πολλῶν ἂν αὐτὸ ἀτιμότερον φανῆναι κατὰ εἰρωνείαν εἶπεν ἀντὶ τοῦ πολὺ κρεῖττόν ἐστιν. εἰκὸς δὲ εἶπεν, ἵνα μὴ φανερῶς ὑβρίσῃ αὐτόν.

193,5 ἢ μικρὸν γοῦν τι παραλλάξαι τῆς ἐπιθυμίας καλῶς προσέθηκε τὸ μικρόν. οὐδὲ γὰρ πάντως οἱ στοχαζόμενοι τῆς ἐπιθυμίας τοῦ δήμου, ὅλον ἐξ ὅλου, ὃ βούλεται ὁ δῆμος, ἐννοοῦσι.

193,7 ὥστε ὁρῶν μὲν αὐτοὺς δακρύοντας ἄτρεπτον αὐτὸν δείκνυσι καὶ μηδαμῶς πρὸς τὰ πάθη καμπτόμενον.

193,8 ἀκούων δὲ παίδων καὶ γυναικῶν ποτνιωμένων ποτνιᾶσθαι κυρίως ἐστὶ τὸ μετὰ δακρύων εὔχεσθαι, καὶ ἐπικαλεῖσθαι τὴν Ἀθηνᾶν· παρὰ τὸ Ὁμηρικὸν «Πότνι’ Ἀθηναίη ἐρυσίπτολι, δῖα θεάων.» λέγει δὲ αὐτὰς ποτνιᾶσθαι, ὅτ’ ἔμελλον ναυμαχεῖν οἱ Ἀθηναῖοι, καὶ αὐτὴν τὴν πόλιν καταλιπεῖν. ἔτι δὲ ὑπολειπομένων τινῶν ἀναγκαίως τοὺς νοσοῦντας λέγει καὶ τοὺς γεγηρακότας, ἐξ ἀνάγκης μένοντας. παραπλησίου δὲ μάλιστά πως ὄντος καλῶς εἶπε παραπλησίου· οὐδὲ γὰρ ὑπὸ πολεμίων ἡλώκει, ἀλλ’ ἑκούσιος ἦν ἡ μετάστασις.

193,9 τὸ μὲν γὰρ μέλλον ἅπασιν ἦν ἐν ἀφανεῖ τὸ μέλλον λέγει, εἰ αὖθις τὴν πόλιν ἀναλήψονται. τουτέστιν εἰ αὖθις ἀναλήψονται τὴν πόλιν.

193,12 ἀλλ’ ἀπεζεῦχθαι γονέας καὶ παῖδας κυρίως εἶπε τὸ ἀπεζεῦχθαι. λέγεται δὲ καὶ ἐπὶ ἑνὸς σώματος ἡ λέξις, ὥσπερ καὶ νῦν εἶπε. παθητικὸς δέ ἐστιν ὁ λόγος καὶ ἐλεεινός.

193,13 οὗ γε καὶ τῶν κυνῶν φασὶ τῶν χειροήθων ὠρυομένων πρὸς τὴν ἀπόλειψιν ἐμιμήσατο τὸν θρῆνον καὶ τὴν φωνὴν τῶν κυνῶν. ὅρα δὲ πῶς καὶ ἐκ τῶν ἀψύχων καὶ ἐκ τῶν ἀλόγων αὔξει τὸ δεινόν. τὸ ὠρύεσθαι δὲ λέγεται καὶ ἐπὶ τῶν λύκων, τὸ δὲ ὑλακτεῖν καὶ ἐπὶ τῶν κυνῶν. ἀλλ᾽ ἔστιν ὅτε μιμοῦνται οἱ κύνες τὴν τῶν λύκων φωνήν, ὅτι αἰσθάνονται λυπηρόν τι συμβαίνειν τοῖς δεσπόταις. τὸ ὠρύεσθαι ἐπὶ λύκων, τὸ ὑλακτεῖν ἐπὶ κυνῶν. ὅρα δὲ πῶς ἐκ τούτου αὔξει τὸ πάθος. ἔστι δὲ ὅτε καὶ οἱ κύνες μιμοῦνται τὴν τῶν λύκων φωνήν, ὅταν αἰσθάνωνται λυπηρόν τι συμβαίνειν τοῖς δεσπόταις. δεινῶς δὲ εἶπε τὸ ἀκούων, ὡς τότε ἀκοῆς δεινοτέρας οὔσης τῆς θέας. παῖδας δὲ οὐ διὰ τὴν ἡλικίαν λέγει, ἀλλ᾽ ὅτι ἐπείθοντο ἐκείνῳ ὡς πατέρι. τῶν χειροήθων καλὸν τὸ χειροήθων· ἡ γὰρ συνήθεια τὴν λύπην αὐτοῖς ἐποίει.

193,15 ταῦτα πάντα ὁρῶν καὶ ἀκούων δεινῶς εἶπε τὸ ἀκούων, ὡς τότε ἀκοῆς δεινοτέρας οὔσης τῆς θέας. ἐπειδὴ δὲ τὸν Ὀδυσσέα πολύτλαν λέγει ὁ ποιητὴς, ὡς πολλὰ δυνηθέντα ὑπενεγκεῖν, τούτῳ παραβάλλει τὸν Θεμιστοκλέα καὶ μείζονα δείκνυσιν.

193,16 παραλαβὼν αὐτοὺς ὥσπερ παῖδας ἐξῆγεν παῖδας οὐ διὰ τὴν ἡλικίαν λέγει, ἀλλ᾽ ὅτι ἐπείθοντο ὡς πατρί. τοῖς λογισμοῖς ἑστῶσιν, οὐ μόνον τοῖς ὀφθαλμοῖς καὶ ἀλλαχοῦ εἶπεν, ὥσπερ ὡς πρὸς τὸν ἥλιον βλέποντες. πομπῇ δὲ παραβάλλει τὸν κίνδυνον, τὴν ἡδονὴν ἣν εἶχον ἐμφαίνων. ἔγνως δὲ παρὰ τῷ ῥήτορι τί ἐστιν ὁ κληροῦχος, ὅτι στρατιώτης ὁ φυλάσσων τὴν γῆν καὶ ἐργαζόμενος αὐτὴν ἐστί. δηλοῖ δὲ καὶ τοῦτο τὸ ἀκίνδυνον καὶ τὸ ἡδὺ αὐτῶν.

193,17 ὥσπερ εἰς πομπήν πομπῇ παραβάλλει τὸν κίνδυνον, τὴν ἡδονὴν ἣν εἶχον ἐμφαίνων. ἢ κληρούχους ὃ καὶ ὕστερον ἐποίουν οἱ Ἀθηναῖοι· ἔπεμπον γὰρ εἰς τὰς χώρας, ἃς εἶχον ἐπὶ γεωργίᾳ καὶ φυλακῇ. κληροῦχος λέγεται ὁ γεωργὸς, ἐπειδὴ οἱ παλαιοὶ τὴν γῆν κατὰ κλήρους ἐμέριζον. δηλοῖ δὲ καὶ τοῦτο τὸ ἀκίνδυνον καὶ ἡδὺ αὐτοῦ· τοῦτο δέ φησιν, ὅτι, ὥσπερ καὶ πρότερον ἐποίουν Ἀθηναῖοι πέμποντες κατὰ χώρας ἀποίκους αὐτῶν εἰς κληρουχίαν, οἱονεὶ τὸν αὐτὸν τρόπον καὶ οὗτος ἐδόκει ποιεῖν ἀρτίως, οὐχ ὑποπίπτων τοῖς δυσχερέσιν.

194,1 οἱ δ᾽ ἐπείθοντο καὶ καταλιπόντες ἱερὰ καὶ τάφους καὶ γῆν εἰς ἕνα ἑώρων Θεμιστοκλέα ἅπερ ἐποίουν αὐτοὶ δι᾽ ἀνάγκην, ταῦτα λέγει αὐτοὺς διὰ τὸν Θεμιστοκλέα πεποιηκότας. παῖδας δὲ λέγει καὶ γυναῖκας τὰ ἀναγκαῖα τῆς φύσεως.

194,2 ὥσπερ ἱερᾶς ἀγκύρας τῆς ἐκείνου φωνῆς ἐχόμενοι ἀπὸ παροιμίας εἴρηται ἡ ἱερὰ ἄγκυρα· σημαίνει δὲ τὴν καταφυγὴν τὴν γινομένην εἰς τὰ ἱερά, ἥτις ἦν ἀσφάλεια καὶ ἀσυλία τὴν αὐτὰ καταφεύγουσιν. ἢ ἱερὰν λέγει, ἣν ἔσχον οἱ Ἀργοναῦται παρὰ τῆς Ἀθηνᾶς· φησὶ γὰρ ὅτι αὕτη δέδωκεν αὐτὴν ἄγκυραν, δι᾽ ἧς ἐσώζοντο. ἢ ἱερὰν λέγει τὴν μεγάλην ἄγκυραν τῶν πλοίων, ἧς ῥιπτουμένης εἰς θάλασσαν, καὶ μὴ κατεχούσης τὸ πλοῖον, οὐδεμία σωτηρία λοιπὸν προσδόκιμος.

194,3 ἐχόμενοι κρεμάμενοι. οὐκ ἂν τότε γ᾽ αὐτοὺς οὐδ᾽ Ὀρφεὺς εἰς ἑαυτὸν μετέστησεν ἐπειδὴ εἶπε τῆς ἐκείνου φωνῆς, ἀκόλουθον τῇ φωνῇ ἐπήγαγε καὶ τὸ τοῦ Ὀρφέως παράδειγμα· ὡσανεὶ ἔλεγεν· ὥσπερ λύρας ἀντείχοντο τῆς ἐκείνου φωνῆς.

194,4 ἀλλὰ μὴν ἅ γ᾽ ἐν τῇ Σαλαμῖνι ἡ σύνταξις πρὸς τὸ ἀπέραντον, ἀλλὰ μὴν ἃ ἐποίησεν, ἀπέραντον ἂν εἴη λέγειν.

194,7 τὴν συνουσίαν, ἣν συνεγένετο Ἀριστείδῃ ἐννοήσας ὁ Θεμιστοκλῆς ὀλιγώρως ἔχοντας πρὸς τὴν μάχην τοὺς Ἀθηναίους, ἐδήλωσε τῷ βασιλεῖ ὡς δῆθεν εὖνους, κυκλῶσαι τοὺς Ἕλληνας διὰ Σικίννου τοῦ παιδαγωγοῦ τῶν παίδων αὐτοῦ. ὁ δὲ πεισθεὶς ἐκύκλωσεν. ὁ Ἀριστείδης ἔτυχε πλέων Ἀθήναζε ἀπὸ Αἰγίνης, καὶ εὑρὼν αὐτὸν κυκλώσαντα τοὺς Ἕλληνας, μόλις ἀποφυγὼν ἀπήγγειλε Θεμιστοκλεῖ. ὁ δὲ Θεμιστοκλῆς γνοὺς ὅτι αὐτῷ λέγοντι οὐ πιστεύουσιν Ἀθηναῖοι πεποίηκε τὸν Ἀριστείδην τὸ πᾶν αὐτῷ τοῦ πράγματος ὑποθέσθαι.

194,9 τὸ πάταξον μὲν, ἄκουσον δὲ, ὑπὲρ πάντα Σωκράτην εἰρημένον πρὸς Εὐρυβιάδην ἐπιόντος τοῦ βαρβάρου τῇ Σαλαμῖνι Εὐρυβιάδης φεύγειν ἠβούλετο. παρακαλοῦντος οὖν αὐτὸν μένειν τοῦ Θεμιστοκλέους, ἐθρασύνθη, καὶ ἔτυψεν αὐτὸν ὁ Εὐρυβιάδης. ὁ δὲ πρὸς τῇ πληγῇ ἀπεκρίνατο πάταξόν με, ἄκουσον δέ. φησὶν οὖν ὁ Ἀριστείδης ὅτι τὸ πάταξόν με, ἄκουσον δὲ, ὑπὲρ πάντα Σωκράτην εἰρημένον ἐστὶ, τουτέστιν

ὑπὲρ πάντα φιλόσοφον. ὅρα δὲ πῶς τοῦ Ἀριστείδου δικαιότερον αὐτὸν ἔδειξε, τοῦ δὲ Σωκράτους καρτερικώτερον. λέγει δὲ ὅτι οὐδὲ Σωκράτης τυπτόμενος ἤνεγκεν. ὑπὲρ πάντα Σωκράτην φιλόσοφον.

194,11 ἐξεχέοντο ὑπὸ τοῦ δέους οἱ λόγοι οὐ δειλίαν αὐτοῦ κατηγορεῖ, ἀλλὰ φόβον. πανταχοῦ δὲ αὔξει τὰ δεινά, ἵνα μᾶλλον αὐξήσῃ τὸν Θεμιστοκλέα. φόβον αὐτῶν κατηγορεῖ, πανταχοῦ δὲ αὔξει τὰ δεινά, ἵνα μᾶλλον θαυμαστὸν ἀποδείξῃ Θεμιστοκλέα.

194,13 καὶ πρότερον δούλους κακοὺς δόξαι τοῖς βαρβάροις ἢ δούλους γενέσθαι κακοὺς δούλους εἶπεν, ὡς ὄντων κακῶν, ἐμφαίνων ὅτι κάλλιον ἦν μαχομένους καὶ ἡττωμένους δουλεῦσαι ἢ πρὸ τῆς μάχης δουλεῦσαι. αὕτη γάρ ἐστιν ἡ κακὴ δουλεία. τούτοις ἐμφαίνει ὅτι κάλλιον μαχομένους καὶ ἡττωμένους δουλεῦσαι ἢ δραπετεύοντας δουλεῦσαι· αὕτη γὰρ ἡ κακὴ δουλεία.

194,14 ὑπὲρ πάντας ἰατροὺς πάλιν πρὸς ἰατροὺς ἡ παράθεσις· τῆς γὰρ ἰατρικῆς ἐπαινέτης ὁ Πλάτων. πρὸς ἀνάγκην εἶπεν, ἐπειδὴ μέλλοντας φεύγειν ἐπέσχεν αὐτούς.

195,2 ὥσθ᾽ ὅ γ᾽ Ἀριστείδης χρηστὸς ἦν προσαγγέλλων αὐτῷ καλῶς τὸ ὡς, ἵνα δείξῃ αὐτὸν ἐπιστάμενον εἰ δὲ μὴ, ἀνῄρει τὴν ἀρετὴν τοῦ Θεμιστοκλέους. τὸ δὲ χρηστὸς εἶπεν, ἵνα μὴ νομισθῇ τὸ γενόμενον προδοσία. ἀναγκαίως δὲ καὶ τὸ ὄνομα τέθεικε, δηλῶν ὅτι εἰ ἦν κακὸν τὸ γενόμενον, οὐκ ἂν διηκόνησεν Ἀριστείδης. οὗτος δὲ Ἀριστείδης ὁ δίκαιος περιστοιχίσαντος τοῦ βαρβάρου τοὺς Ἕλληνας, ἀπήγγειλε τοῦτο αὐτὸς Θεμιστοκλεῖ. ὁ δὲ αὐτὸν ἐκέλευε μηνύειν, φάσκων ἑαυτὸν ἀπιστεῖσθαι. τὸ δὲ χρηστὸς εἶπεν ὡς πρὸς μὴ εἰδότα φησὶ τὸν Θεμιστοκλέα, ὅτι περιεστοιχίσθημεν ὑπὸ τοῦ βαρβάρου. περιστοιχίσαντος τοῦ βαρβάρου τοὺς Ἕλληνας, ἀπήγγειλε τοῦτο Ἀριστείδης Θεμιστοκλεῖ. ὁ δὲ αὐτὸν ἐκέλευσε μηνύειν, φάσκων ἑαυτὸν ἀπιστεῖσθαι. τὸ δὲ χρηστὸς εἶπεν, ἵνα δείξῃ ὅτι, εἰ ἦν κακὸν τὸ γιγνόμενον, οὐκ ἂν διηκόνησεν Ἀριστειδης, καὶ ὅτι οὐκ ἦν τὸ γιγνόμενον προδοσία.

195,3 καὶ τὸ τρίτον καταβαλὼν μέγιστον ἁπάντων οἶμαι πτωμάτων καὶ τελεώτατον ἄνω εἰπὼν τὸ καταβαλὼν τροπικῶς — ἡ γὰρ λέξις ὡς ἐπὶ

ἀθλητῇ λέγεται — ἐνέμεινε τῇ τροπῇ, καὶ εἶπε πτῶμα εἰς Πλάτωνα δὲ ἀποτείνεται· καὶ γὰρ ὁ Πλάτων πρώην ἀθλητὴς ἦν. τρίτον δὲ εἶπεν, ὅτι δύο μὲν τρόπαια ἐν Εὐβοίᾳ ἔστησε, τρίτον δὲ ἐν Σαλαμῖνι. καὶ τὸ τρίτον εἶπεν ὡς πρὸς τὰ ἐν Εὐβοίᾳ δύο τρόπαια, καὶ τρίτον τοῦτο ἐν Σαλαμῖνι.

195,5 διώκειν τε κελεύοντι τοὺς Ἕλληνας ὑπήκουε, καὶ φεύγειν προστάττοντος ἐπείθετο ὅρα πῶς τὰς λέξεις ἐπὶ δεσπότου εἶπεν· ἐνέμεινε γὰρ προειπὼν ἄνω δεσπότῃ διακονῶν. ἔγνωμεν δὲ ὅτι, ὅτε ἐξέφυγεν ὁ Ξέρξης, δεδιὼς ὁ Θεμιστοκλῆς, μὴ ἐπίθηται πόλεσιν Ἑλληνικαῖς κατὰ τὴν πάροδον, δηλοῖ αὐτῷ φεύγειν· καὶ γὰρ βουληθέντας, φησὶ, τοὺς Ἕλληνας διῶξαι ἀπέσχον, ἅμα τε σώζων τὰς πόλεις, καὶ χρεώστην ἑαυτῷ τὸν βασιλέα καθιστάς. ἱστόρηται ὡς, ὅτε ἐξέφυγεν ὁ Ξέρξης, δεδιὼς ὁ Θεμιστοκλῆς μὴ ἐπίθηται πόλεσιν Ἑλληνικαῖς κατὰ πάροδον, δηλοῖ αὐτῷ φεύγειν· καὶ γὰρ βουληθέντας φησὶ τοὺς Ἕλληνας διώκειν, ἐπέσχον, ἐντεῦθεν καὶ τὰς πόλεις σώζων καὶ τὸν βασιλέα χρεώστην ὡς δῆθεν αὐτῷ καθιστάς.

195,6 καὶ προσῄδει χάριν ὅρα τὸ παράδοξον, πῶς λέγει τὸν Ξέρξην χάριν ὁμολογεῖν ἀπαντῶντι Θεμιστοκλεῖ. καλῶς δὲ τὸ ἠναγκάζετο, ἐπειδήπερ ἠγαπᾶτο.

195,7 τοῦ πάντων ἐχθίστου καὶ πολεμιωτάτου ἐπειδήπερ ὁ Ἕλλην ἠδύνατο καὶ φίλος αὐτοῦ εἶναι, προσέθηκε τὸ ἐχθίστου τοῖς βαρβάροις.

195,8 οὐκοῦν ἐν μὲν οἷς ἀντὶ τῆς ἡσυχίας ἐντεῦθεν λοιπὸν συνάγει τὰς ἀρετὰς τοῦ ἀνδρὸς, ὥσπερ ἐπὶ Περικλέους ἐποίησε.

195,10 πολεμεῖν ᾑρεῖτο τοῦτο εἶπε, δηλῶν ὅτι, εἰ ἠβουλήθη προδοῦναι, ἠδύνατο. οὐκοῦν ἐν μὲν οἷς ἐντεῦθεν λοιπὸν συνάγει τὰς τοῦ ἀνδρὸς ἀρετὰς, ὥσπερ ἐπὶ Περικλέους ἐποίησε. τὸ δὲ πολεμεῖν ᾑρεῖτο φησὶ, δηλῶν ὅτι, εἰ προδοῦναι ἠβουλήθη, ἠδύνατο.

195,13 ἄμεινον τῶν μάντεων τὸ μέλλον προλέγειν τοῦτο εἶπε διὰ τὸ ξύλινον τεῖχος. διὰ τὸ ξύλινον τεῖχος λέγει.

195,14 τῷ δὲ μηδὲν ὧν γνοίη διαφθείρειν ὑπὸ τῶν τοῦ σώματος ἡδονῶν οὐ τοῦ σώματος λέγει τοῦ ἑαυτοῦ, ἀλλὰ τοῦ καθολικοῦ· πέφυκε γὰρ τὸ

ἀνθρώπινον σῶμα ῥέπειν πρὸς ἡδονάς. τοῦτο εἶπε δηλῶν ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων τὰ κρείττω καὶ ὅσα πρὸς ἀρετὴν παρατρέχουσι, νικώμενοι μάλιστα τοῖς σωματικοῖς.

195,17 ἆρά τις ὑμῶν τῶν ἀκινδύνως φιλοσοφούντων εἰς Πλάτωνα ἀποτείνεται.

196,2 ἡγοῦμαι δὲ καὶ πρὸς ἀμφοτέρους καὶ παρ᾽ ἀμφοτέρους ἂν εἶναι Θεμιστοκλέα, τόν τε Μιλτιάδην καὶ τὸν Κίμωνα νομίζω δὲ ὅτι δεῖ αὐτὸν πρὸς ἀμφοτέρους κρίνεσθαι, καὶ ὑπὲρ τοὺς δύο εἶναι κατ᾽ ἀρετὴν τόν τε Μιλτιάδην καὶ τὸν Κίμωνα. καὶ ἴσος οὖν ἐστιν ἀμφοτέροις, καὶ κρείττων αὐτῶν. τὴν γὰρ πρὸς ἀμφοτέρους αὐτῶν ἰσότητα δηλοῖ, τὸ δὲ παρ᾽ ἀμφοτέρους τὸ μεῖζον. καὶ Ὅμηρος· παρὰ δύναμιν δ᾽ οὐκ ἔστι. καὶ Θουκυδίδης «Παρὰ δύναμιν τετόλμηται.»

196,3 πρῶτός τε γὰρ φαίνεται νικήσας τοὺς βαρβάρους κατὰ θάλατταν, ὥσπερ Μιλτιάδης κατ᾽ ἤπειρον ἐνταῦθα τὸ ἴσον δηλοῖ· ὥσπερ γὰρ πρῶτος οὗτος κατὰ γῆν ἐνίκησεν, οὕτω καὶ Θεμιστοκλῆς πρῶτος ἐνίκησε κατὰ θάλασσαν. ἐνταῦθα τὸ ἴσον δηλοῖ· Μιλτιάδης γὰρ κατὰ γῆν, καὶ οὗτος κατὰ θάλατταν.

196,4 ταύτῃ κατὰ τοῦτο τὸ μέρος.

196,5 τῇ γὰρ πεζομαχίᾳ τὰς ναυμαχίας προσέθηκε πεζομαχίαν λέγει τὴν ἐν Πλαταιαῖς· κἀκεῖ γὰρ παρῆν ὁ Θεμιστοκλῆς, ἀλλ᾽ οὐκ ἦν φανερῶς, ἐπειδὴ Παυσανίας ἐκεῖ ἠρίστευσε. τὰς ναυμαχίας δὲ λέγει τὴν ἐπ᾽ Ἀρτεμισίῳ καὶ Σαλαμῖνι. δέον δὲ εἰπεῖν ταῖς γὰρ ναυμαχίαις τὴν πεζομαχίαν προσέθηκεν· ὑστέρα γὰρ τούτων ἦν· ὁ δὲ τῇ πεζομαχίᾳ τὰς ναυμαχίας προσέθηκεν, εἶπεν, ἁπλῶς οὕτως ἀριθμὸν, οὐ τάξιν, τηρῶν.

196,6 τρία ἀνθ᾽ ἑνὸς ἔστησε τρόπαια ἀντὶ τοῦ πλεῖστα· ἐπὶ γὰρ πλήθους λέγεται ὁ τρὶς ἀριθμός· τοῦτο δὲ τὸ πλεῖον δηλοῖ. ὥσπερ Κίμων ἐπεξῆλθε τὰ δεύτερα καὶ γὰρ καὶ ὁ Κίμων νικήσας τὴν ναυμαχίαν, ἀποβὰς ἐν τῇ γῇ καὶ πεζομαχήσας ἐνίκησε τοὺς βαρβάρους.

196,7 οὔτ᾽ ἐπὶ τῆς αὐτῆς ἀδείας ἀσφαλείας.

196,8 ἀλλ᾽ ἔσχατα ἐσχάτων πράττοντας ἢ τὰ ἄκρα καὶ μεγάλα, ἢ τὰ τελευταῖα.

196,9 καὶ πρῶτα καὶ τελευταῖα κινδυνεύοντες εἰ γὰρ ἡττήθησαν τότε, οὐκ ἔτι ἦν ἐλπὶς σωτηρίας αὐτοῖς.

196,10 οὐχ ὥσπερ τοὺς ὑπάρχους Δάτιν καὶ Ἰνταφέρνην.

196,11 μάχης παράδειγμά τις ἂν λέγοι τὴν Μαραθῶνα καθεῖλε τὸ κατόρθωμα τοῦ ἀνδρὸς τῷ λέγειν αὐτὸν ἀφορᾶν πρὸς παράδειγμα.

196,12 καὶ τῷ χρόνῳ πρεσβεύοι ἀντὶ τοῦ οὐκ ἂν ᾖ τῷ χρόνῳ πρώτη, ἀλλ᾽ οὖν ἔσχεν ὁμοίαν. αὐτὰς ἐφ᾽ ἑαυτῶν ὅ ἐστιν ἰδίας καὶ ἐχούσας παράδειγμα. τουτέστιν ἰδίας καὶ οὐκ ἐχούσας παράδειγμα.

196,13 ὡς τοῖς μὲν χρόνοις—συνέσεως καὶ πολιτείας τῷ μὲν χρόνῳ, φησὶν, ὕστερον ἐγίνοντο, τῇ δὲ ἀρετῇ οἰκεῖαι καὶ γνήσιαι.

196,15 ἀλλ᾽ οὐδὲ ἥλπιστο εἴποι τις ὅτι κακῶς εἶπε τὸ ἥλπιστο· αὐτὸς γὰρ ὄπισθεν εἶπεν ὅτι ὥσπερ μάντις προῄδει τὸ μέλλον. λέγομεν οὖν ὅτι οὐκ αὐτῷ λέγει εἶναι ἀνέλπιστον, ἀλλὰ τοῖς πᾶσιν Ἕλλησιν· ὁ γὰρ Θεμιστοκλῆς προειδὼς τὸ ναυτικὸν ηὐτρέπισε. τὸ δὲ τριῶν ἀντάξιος παρὰ τὸ Ὁμηρικὸν «᾽Ιητρὸς γὰρ ἀνὴρ πολλῶν
ἀντάξιος ἄλλων.»

196,17 ἀρτοποιοῦ λέγεται δὲ καὶ ἀρτοποιὸς, ἀπὸ τοῦ πέττειν καὶ ἀρτοκόπος, ἀπὸ τοῦ κόπτειν. ἀρχαιότερον δὲ διὰ τοῦ π.

197,1 μόνος δέ τοι καὶ τὸ πεζὸν καὶ τὸ ναυτικὸν ὀρθῷ λόγῳ νενικηκὼς φαίνεται ὀρθῷ ἀντὶ τοῦ δικαίῳ· οἶδε γὰρ ὅτι βιάζεται βουλόμενος καὶ τοῦ Παυσανίου τρόπαιον οἰκεῖον ποιῆσαι τοῦ Θεμιστοκλέους. οὔτε γὰρ αἱ νῆες ἀντέσχον καὶ βασιλεὺς ἅμα τοῖς πλείστοις φεύγων ᾤχετο τὸ αἱ νῆες ἐμφαντικόν ἐστιν ἀντὶ τοῦ ἐν αἷς εἶχε ταῖς ἐλπίδας ὁ Πέρσης. τὸ δὲ πλείστοις ἀντὶ τοῦ μετὰ τῶν πλείστων· λέγεται γὰρ ὅτι βαπτίσας τὸν στόλον ἐφυγάδευσε τὸ πεζόν. λέγει γὰρ ὅτι βαπτίσας τὸν στόλον ἐφυγάδευσε τὸν στρατὸν πεζῇ.

197,2 ὅσῳπερ ἄν τις σεμνύνῃ τὴν ἐν Πλαταιαῖς— καὶ πρόνοιαν κοσμεῖ οἶδε τοὺς Λακεδαιμονίους αὐχοῦντας ἐπὶ τοῖς γενομένοις ἐν Πλαταιᾷ. διὸ

ταπεινοῖ αὐτὰ, λέγων ὅτι ὁ ἐπαινῶν τὰ κατὰ Πλαταιὰν μᾶλλον ἐπαινεῖ τὸν Θεμιστοκλέα.

197,3 τὴν ἐκείνου τοῦ ἀνδρὸς σύνεσιν καὶ πρόνοιαν ἢ τὸ αὐτὸ παρὰ τοῦ αὐτοῦ εἶπεν, ἢ πρόνοιαν λέγει τὴν μαντείαν· καὶ ὁ Θουκυδίδης πρόνοιαν λέγει τὴν πρόγνωσιν.

197,4 πολλοστημόριον τῆς κατὰ γῆν δυνάμεως ὑπολειφθὲν οὐ μόνον μόριον εἶπεν, ἀλλὰ πολλοστὸν, ἵνα παντελῶς καθέλῃ, καὶ δείξῃ αὐτὸ τὸ τυχόν. τριακοσίων γὰρ μυριάδων οὐσῶν τοῦ παντὸς πλήθους, διακοσίας ἑβδομήκοντα ἔλαβε μεθ' ἑαυτοῦ φεύγων, καὶ τὰς τριάκοντα ἀφῆκε μετὰ Μαρδονίου.

197,6 ὑπάρχου βασιλέως τὴν Μαρδονίου λέγει· οὗτος γὰρ ἦν ὁ στρατηγὸς τοῦ Πέρσου. φοβερώτερος δὲ ὁ βασιλεὺς καὶ παρὼν καὶ δι' ἑαυτοῦ μαχόμενος.

197,7 ἦ που τὸν πυρφόρον οὐδ' ἂν εἷς ἔγνω ἔθος εἶχον ἐν ταῖς μάχαις οἱ Ἕλληνες ἱερέα τινὰ ἔχειν, ὃς προηγεῖτο τοῦ στρατοῦ, τελῶν τὰ μυστήρια. εἰ δὲ παντελῶς ἡττηθῆναι συνέβη τῶν στρατευμάτων, ἐν τούτῳ τὸν ἱερέα, τὸν καλούμενον πυρφόρον, οὐκ ἀνῄρουν. λέγεται δὲ αὕτη ἡ παροιμία ἐπὶ τῶν κατὰ κράτος ἀπολλυμένων· οὐδὲ πυρφόρος ἐσώθη. οἱ δὲ λέγουσιν ὅτι τοῦτον τὸν πυρφόρον ἔπεμπον οἱ ἀποικίζοντες πόλιν μετὰ τῶν ἀποικιζομένων πῦρ ἄγοντα. καὶ εἰ συνέβη τινὰ ἀντιστῆναι τοῖς ἀποικιζομένοις καὶ ἀνελεῖν αὐτοὺς, τοῦτον οὐκ ἐφόνευον. ἔθος εἶχον οἱ Ἕλληνες ἱερέα τινὰ ἔχειν προηγούμενον τοῦ στρατοῦ ἐν ταῖς μάχαις, τελοῦντα τὰ μυστήρια, πυρφόρον Διὶ ὄντα, ὃν, εἰ καὶ τὸ στράτευμα ἡττηθῆναι συνέβη, οὐκ ἀνῄρουν οἱ ἐναντίοι. λέγεται δὲ παροιμία ἐπὶ τῶν κατὰ κράτος—τινὰ ἀποστῆναι—ἐφόνευον. τὸν πυρφόρον τὸν Θεμιστοκλέα.

197,8 ἀλλ' οὐ μέρος πάλιν τὸ μέρος εἶπεν, ἵνα καθέλῃ τὸν Παυσανίαν, ὅτι πρὸς μέρος ἠγωνίσατο οὗτος.

197,10 μετ' ἐλπίδων ἀκραιφνῶν ἐπιόντος τοῦ στρατοῦ οἱ γὰρ Πέρσαι νικήσαντες ἐν Πύλαις τοὺς ἀντιστάντας Λακεδαιμονίων ὥσπερ ἐλπίδας εἶχον τοῦ

νικῆσαι τοὺς Ἕλληνας. καὶ τῷ περὶ τὰς Πύλας ἔργῳ προεπῃρμένου λεληθότως καθάπτεται τῶν Λακεδαιμονίων διὰ τῶν τριακοσίων, καὶ δοκῶν ἐπαινεῖν διαβάλλει αὐτοὺς, λέγων αὐτῶν ἐπῆρθαι τὸ φρόνημα ἐξ ἐκείνου τοῦ κατορθώματος. κατὰ κοινοῦ δὲ τὸ ἦ πού γε τὸν πυρφόρον οὐδ' ἂν εἷς ἔγνω.

197,12 ἡ Θεμιστοκλέους, ὥς φησι Πλάτων, — σοφία καὶ πρόνοια δείκνυσι τὸν φθόνον τοῦ Πλάτωνος, τὴν κοινὴν δόξαν ἀντιτιθεὶς τῇ ἰδίᾳ τοῦ Πλάτωνος.

198,2 μηδὲ ῥήματος τῶν ἐπιεικῶν ὡς τοῦ Πλάτωνος ῥήματα μόνον ἔχοντος.

198,4_6 καίτοι σύ γ' ἐκεῖνον ἐπαινεῖς, ὅτι ἐν τῇ ἀπὸ Δηλίου—εὖ καὶ καλῶς ἀμυνεῖται Δήλιον τῆς Βοιωτίας. ἔνθα ἡττήθησαν Ἀθηναῖοι τελέως ὑπὸ Θηβαίων· καὶ ἐν Ἀμφιπόλει δὲ ὁμοίως. ἐν ἀμφοτέροις δὲ τοῖς τόποις ἐστρατεύετο Σωκράτης καὶ Λάχης, καὶ ἔφευγον ἀμφότεροι. ὁ οὖν Πλάτων λέγει ἐν τῷ Λάχητι ὅτι ἐν τῇ ἀπὸ Δηλίου φυγῇ Θαρρούντως ἀπῄει καὶ καταφανὴς ὢν ὁ Σωκράτης, ὅτι, εἴ τις ἅψοιτο αὐτοῦ, εὖ καὶ καλῶς ἀμυνεῖται.

198,6 καὶ λόγων καὶ ἔργων ἡγεμόνες ἐπειδὴ καὶ ῥήτωρ καὶ στρατηγὸς ὁ Θεμιστοκλῆς, διὰ τοῦτο εἶπε λόγων καὶ ἔργων.

198,8 κάλλιον Λάχητος τούτου ἐμνήσθη καὶ ἐν τῷ Περικλεῖ. γενναῖος δὲ ὁ στρατηγὸς οὗτος ἦν, ὥσπερ καὶ ἡγεῖτο ἐν τῷ Δηλίῳ.

198,9 ἃ τῆς δειλίας καὶ τῆς ἀνανδρίας ἔστ' ὀνόματα, τούτοις καλοῦντα μὴ φροντίζειν διάκονον γὰρ καὶ κόλακα εἶπεν αὐτόν.

198,10 ὃς καὶ ὅτ' ἀπ' Εὐβοίας ἀνεχώρει νενικηκὼς ἤδη μὲν τοῦτο εἶπε καὶ ἐν τοῖς ἄλλοις ῥήτορσιν, ἀλλ' ἐπειδὴ εἶπε τὸν Σωκράτην μετὰ φυγῆς ἀναχωροῦντα, ἠναγκάσθη εἰπεῖν τὸν Θεμιστοκλέα μετὰ νίκης ἀναχωροῦντα.

198,11 τοιαῦτα τἀν μέσῳ διεπράττετο, οἷα ἂν οὐδείς πω τῶν ἐπειγομένων ὁπωσοῦν ἀπελθεῖν ἤδη εἴπομεν ἐν τῷ Μιλτιάδῃ ὅτι Πλάτων οὐ τὴν ὁπωσοῦν σωτηρίαν ἐπαινεῖ, ἀλλὰ τὴν μετ' ἀρετῆς. καὶ ἀνεῖλεν ἐκεῖ ὁ

ῥήτωρ τὸ παράδειγμα τὸ τοῦ κυβερνήτου· καὶ νῦν δείκνυσιν ὅτι καὶ τὸ ὁπωσοῦν σώζειν τὸν χρήσιμον. διεπράττετο δὲ εἶπεν, ὅτι ἔγραψεν ἐν ταῖς πέτραις μνήσθητε, Ἴωνες, πατρῴου φρονήματος.

198,12 ἐπελθεῖν ποιῆσαι. εἶτα λέγεις ὡς οὐ πολλοῦ τινος ἄξιον ἡ σωτηρία λέγουσιν οἱ φιλόσοφοι ὅτι καὶ ἐπὶ κακῷ ἐστι σωτηρία, ἐὰν τὸν ἁμαρτήσαντά τι ῥύσωμαι, καὶ σωθεὶς ἐκεῖνος συλήσῃ τἀμά.

198,14 ἀλλ᾽ ἐγὼ μὲν ἐάσω τὸ βλάσφημον τὸ σχῆμα κατὰ σιωπήν.

198,15 ἐγὼ δ᾽ ἐκεῖνον ἂν ᾤμην ἀμείνω ἀντιφιλοσοφεῖ τῷ Πλάτωνι, λέγων ἐκεῖνον καὶ ᾤμην· χαίρει γὰρ ὁ Πλάτων ταῖς λέξεσι ταύταις.

198,16 ὡς θεοὶ μὲν τῷ ὄντι σωτῆρες ἐπειδὴ μέλλει καὶ τοὺς ἄνδρας σωτῆρας καλεῖν, διὰ τὸ βλάσφημον τῷ ὄντι λέγει τοὺς θεοὺς σωτῆρας, τὸ φορτικὸν παραιτούμενος. ἐπειδὴ καὶ τοὺς ἄνδρας σωτῆρας ἔμελλεν εἰπεῖν, διὰ τοῦτο τὸ φορτικὸν παραιτούμενος τὸ τῷ ὄντι προσέθηκεν. διηκόνησαν δὲ Μιλτιάδης καὶ Θεμιστοκλῆς οἵαν δεινότητα λέγει τοῦ ῥήτορος· ὅπου γὰρ ἔπαινον ἔχει ἡ διακονία, τότε ὁμολογεῖ, διακόνους εἶναι τοὺς ἄνδρας, δηλῶν ὅτι ἐστὶ καλὴ διακονία. ᾗπερ ὥσπερ.

199,1 τοῖς κρείττοσι τοῖς θεοῖς.

199,2 κἀγὼ φαίην ἂν ἐκείνους γενέσθαι τοὺς ἄνδρας ὑπηρέτας καὶ διακόνους τὸ σχῆμα διδακτικόν· λέγει γὰρ ὅτι ἔδεισε τοὺς ἄνδρας ὑπηρέτας λέγειν. συντρέχει μὲν οὖν τῷ λόγῳ τῆς διαβολῆς τὸ τῆς διακονίας. λύει δὲ τὸ φαῦλον τῇ διαφορᾷ τοῦ τρόπου. συντρέχει τῷ τῆς διακονίας ζητήματι, ᾧπερ ἐκεῖνος ἐχρήσατο ἐπὶ διαβολῇ καὶ ὕβρει, οὗτος ἐπ᾽ ἀγαθῷ, λύει τὸ φαῦλον τῇ διαφορᾷ τοῦ τρόπου.

199,4 ἔτι τοίνυν οὐδὲ τοῖς γονεῦσι χάριν ἄν τις ἔχειν ἐῴη τοῖς λόγοις τούτοις τοὺς γονεῖς ὥσπερ τῶν ἀνθρώπων δευτέρους ὀνομάζει θεούς. τοῖς λόγοις τούτοις τοῦτο ἄριστον εἶπεν, ἵνα μὴ φανερῶς ὑβρίσῃ τὸν Πλάτωνα, βλάσφημον αὐτὸν ἀποκαλῶν.

199,5 εἰ δὲ δὴ καὶ τὸν Εὐριπίδην μάρτυρα τοῦτο βαρέως ἐπήγαγεν, ὥσπερ τραγῳδοῦντος τὴν φύσιν τοῦ Πλάτωνος πάντων τῶν ἀνθρώπων, καὶ

τοὺς λόγους αὐτοὺς παραβάλλει τῷ Εὐριπίδῃ, ὅτι κακὸν ἡ σωτηρία, ὅ ἐστι τὸ ζῆν· τοῦτο γὰρ Εὐριπίδης λέγει.

199,7 ἦ που σφόδρα ἄν τι δόξειε λέγειν εἰρωνικὸν τὸ σχῆμα. ἀντὶ τοῦ πολλῷ πλέον τοῦτο δοκεῖ λέγειν τι. ἔστι δὲ κατὰ εἰρωνείαν τὸ σχῆμα. ἀλλ᾽ οἶμαι τῶν μὲν πραγμάτων, οἷς ἐντυγχάνομεν λύσις τοῦ ἀντιπίπτοντος. ἀντιπῖπτον λύει· ἀλλὰ κακῶν αἴτιον τὸ ζῆν. δείκνυσι δὲ οὐ μόνον κακῶν αἴτιον ὂν, ἀλλὰ καὶ καλῶν, μεταστατικῶς ἀπολογούμενος, ὅτι ἡ τύχη ἀμφοτέρων ἐστὶν αἰτία.

199,8 καὶ νὴ Δί᾽ εἰ βούλει, προστίθει τὸ καὶ ἡμᾶς αὐτοὺς δεῖν παρὰ τὸ Ὁμηρικὸν «Ὡς δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλλοι ἔχουσι.» τουτέστιν ὅτι ἡμεῖς πολλάκις αἴτιοι κακῶν ἑαυτοῖς γινόμεθα.

199,10 δι᾽ ὧν πρῶτον ἤλθομεν εἰς φῶς ἢ τοῖς θεοῖς λέγει, ἢ τοῖς γονεῦσιν, ὅπερ ἄμεινον. αὐξητικῶς δὲ εἶπε τὸ φῶς, ὡς ἐν σκότῳ ὄντες πρότερον. μετὰ τοὺς ἔτι τούτων προτέρους θεοὺς διὰ τούτου δεῖ νοεῖν τὸ ἄνω ὑπηρέτας τοὺς γονεῖς.

199,11 εἰ τοίνυν τοῖς γονεῦσι δι᾽ αὐτὸ τὸ εἶναι μόνον λύσις ἀντιθέσεως κατ᾽ ἔνστασιν. ἐνταῦθα λύει τὴν ἀντίθεσιν κατ᾽ ἔνστασιν, ὅτι οὐ μόνον σωτηρίας αἴτιοι ἐγένοντο, ἀλλὰ καὶ ἀρετῆς. καὶ τῶν γονέων κρείττους δείκνυσιν αὐτοὺς, ὅτι οὐ μόνον σωτῆρες, ἀλλὰ καὶ ἀρετῆς διδάσκαλοι.

199,12 χρέα πάντων χρεῶν πρεσβύτατα ἀντὶ τοῦ πρεσβύτερα καὶ μείζονα. τῶν δὲ πατέρων τιμιωτέρους ἀποδείκνυσιν αὐτοὺς, ὅτι οὐ σωτῆρες μόνον εἰσὶν, ἀλλὰ καὶ ἐν ἀρετῇ διαγενόμενοι.

199,14 ἄτοπον δέ μοι φαίνεται, εἰ μὲν συμμάχους τινὲς, ἢ φρούριον, προύδοσαν, ἢ ναῦν μίαν ἢ δύο ἀντὶ τοῦ εὐτελεῖς τινας. ἐκ τοῦ ἐναντίου δὲ ὁ συλλογισμός. τοῦτο καὶ ἡ τέχνη διδάσκει ἡμᾶς, ὅτι, εἰ ὁ ἀδικῶν τιμωρίας ἄξιος, τοὐναντίον ὁ μὴ ἀδικῶν στεφάνων. τοῦτο καὶ ὁ Δημοσθένης ἐχρήσατο ἐν τῷ πρὸς Λεπτίνην περὶ τοῦ Χαβρίου. τὸ σχῆμα κατὰ ζῆλον Δημοσθενικὸν, ᾧπερ ἐκεῖνος ἐν τῷ πρὸς Λεπτίνην ἐχρήσατο περὶ τοῦ Χαβρίου, ἐν ᾧ περὶ ἀτελείας ἀγωνίζεται· καλεῖται δὲ ἐκ τοῦ ἐναντίου.

199,17 ἀποκτείναντα οὓς οὐ προσῆκεν τὸν γὰρ δεσπότην ἀνελὼν ἐβασίλευσεν.

199,18 καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν προκινδυνεύοντες τουτέστι καὶ πεζομαχήσαντες καὶ ναυμαχήσαντες.

200,2 καὶ τὴν ἐπωνυμίαν αὐτὴν τοῦ γένους τὸ ὄνομά φασι τοῦ Ἕλληνος, ὡς καὶ αὐτοῦ τοῦ ὀνόματος κινδυνεύοντος. ἐκ τοῦ περὶ ἀτελείας περὶ Χαβρίου ὑπὸ τοῦ ῥήτορος λεγόμενον μετακεκόμισται. ὡς καὶ αὐτοῦ τοῦ τῶν Ἑλλήνων ὀνόματος κινδυνεύοντος παραπολέσθαι τῇ ἁλώσει τῶν βαρβάρων.

200,5 τῆς Μιθαίκου καὶ Θεαρίωνος μοίρας αὐτοὺς ἀξιοῦν εἶναι ἐνταῦθά ἐστιν ἡ ἀπόδοσις τοῦ ἐπεὶ δ' ἅπαντας μὲν ἠλευθέρωσαν, καὶ τόδε καὶ τόδε ἐποίησαν, τῆς Μιθαίκου καὶ Θεαρίωνος μοίρας αὐτοὺς ἀξιοῦν εἶναι. ὅρα δὲ πῶς τὰ τῶν μαγείρων ὀνόματα εἰπὼν γέλωτα τὴν κατηγορίαν ἐποίησε.

200,9 οὐκ ἂν ταῦτα συγχωρήσειε Πλάτων αὐτὸς αὑτῷ ἀπόλυτόν ἐστι. δεινῶς δὲ εἶπεν ὅτι οὐδὲ ὁ κατήγορος ταῦτα ἀπεδέχετο, ἀλλ' αὐτὸς ἑαυτῷ μέμφεται.

200,10 ὑπὲρ Σικελιωτῶν ἀνδρῶν καλῶς τὸ Σικελιωτῶν ἀντὶ τοῦ ξένων, ὡσανεὶ ἔλεγε, προτιμοτέρους τοὺς ξένους τῶν πολιτῶν ἡγήσατο. ἀρχήν τινα πράττων αὐτοῖς βασιλικὴν, ὡς ἂν δὴ Δίων αὐτὸς ὢν Δίων συγγενὴς μὲν ἦν Διονυσίου τοῦ τυράννου, μαθητὴς δὲ Πλάτωνος. οὗτος ἠδίκητο ὑπὸ Διονυσίου. τέλος λέγει αὐτῷ Διονύσιος ὅτι, εἰ βούλει τοῦ πάσχειν κακῶς ἀπαλλαγῆναι, μετάπεμψαι Πλάτωνα. ὁ Δίων πέμπει εὐθὺς πρὸς αὐτόν. ἐλθὼν ὁ Πλάτων εἰς Σικελίαν καὶ κακὰ παθὼν παρὰ Διονυσίου ἄπρακτος ὑποστρέφει. αὖθις αὐτὸν ὁ Δίων μεταπέμπεται γνώμῃ Διονυσίου. ἦλθεν οὖν τὸ δεύτερον Πλάτων, ὅτε καὶ ἐπράθη. λέγουσι δὲ τοιαύτην αἰτίαν τοῦ πεπρᾶσθαι αὐτόν· ἐρωτῶντος Διονυσίου τὸν Πλάτωνα ποῖος εἴη βελτίων πάντων τῶν χαλκῶν, ἀπεκρίνατο ὅτι ὁ ποιήσας τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας τῶν τυραννοκτόνων. ἀγανακτήσας ἐπὶ τῷ εἰρημένῳ ἐκέλευσεν αὐτὸν πραθῆναι. μετὰ τὴν τελευτὴν οὖν Διονυσίου καὶ Δίωνος οἱ παῖδες τούτων ἐφιλονείκουν περὶ τῆς βασιλείας. ὁ Πλάτων ἀκούσας τοῦτο γράφει ἐπιστολὴν Σικελιώταις, τὸ πρόσωπον τοῦ Δίωνος ἀναλαβὼν, ὅτι τοὺς ἐκγόνους τῶν διωξάντων τοὺς Καρχηδονίους τῆς

Σικελίας, ἡνίκα αὐτῇ ἐπῄεσαν, δεῖ ἐκείνους μερίσασθαι τὴν ἀρχήν. λέγει οὖν ὁ Ἀριστείδης ὅτι ἄτοπόν ἐστιν, εἰ ἐκείνους τοὺς ἐκγόνους τῶν σωσάντων τὴν Σικελίαν δεῖ λαμβάνειν τὴν Σικελίαν, τοὺς δὲ σώσαντας πᾶσαν τὴν Ἑλλάδα μήτε πρέποντος τυγχάνειν, ἀλλὰ μαγείρων καὶ καπήλων. Διονύσιος, πιστευθεὶς ὑπὸ Συρακουσίων στρατηγίαν ἐπὶ Καρχηδονίους, ἔλυσε τὴν δημοκρατίαν, καὶ λοιπὸν ἐτυράννησεν οὗτος ἀδελφιδοῦν εἶχε Δίωνα. τοῦτον ἀγαπῶν τὴν ἑαυτοῦ ἀδελφὴν δέδωκεν αὐτῷ πρὸς γάμον. οὗτος δὲ ὁ Δίων ἀγαθὸς ὢν, καὶ ὁρῶν ἀδικοῦντα Διονύσιον, ἠγανάκτει. μετεπέμψατο οὖν Πλάτωνα αἰσθόμενον Διονύσιον ἐπὶ τὸ πεῖσαι ἀπέχεσθαι τῆς πλεονεξίας. ἐλθὼν οὖν ὁ Πλάτων οὐκ ἔπεισεν, ἀλλὰ καὶ κακῶς ἀπεπέμφθη. τελευταῖον Διονύσιος παῖδα καταλιπὼν Διονύσιον, ὃς μετὰ θάνατον τοῦ πατρὸς μεταπέμπεται Πλάτωνα, ὡς ἀπολογησόμενος αὐτῷ ὑπὲρ τῆς ὕβρεως τοῦ πατρός. ἐλθόντος δὲ ῥᾳθύμως ἐδέξατο. ἐπανελθὼν δὲ ὁ Πλάτων ἐν ταῖς Ἀθήναις, ἢ ἀπὸ χρησμοῦ τινος, ἢ ἄλλοθέν ποθεν γνοὺς, συμβουλεύει Δίωνι μιᾷ νηὶ πλεῦσαι ἐπὶ Διονυσίου. ὁ δὲ πεισθεὶς λαβὼν μίαν ναῦν — ὡς καὶ Δημοσθένης λέγει — ἔρχεται εἰς Σικελίαν, καὶ ἐκβάλλει Διονύσιον. οἱ δὲ Συρακούσιοι τυχόντες ἀδείας ἐφοβήθησαν μὴ Δίων αὐτῶν ἀντὶ Διονυσίου τυραννήσῃ, καὶ ἐκβάλλουσιν αὐτόν. ἐξελθόντος δὲ Δίωνος, πάλιν ἐπιτίθεται τῇ τυραννίδι Διονύσιος. ὁ οὖν Πλάτων ὡς ἀπὸ Δίωνος αὐτοῦ αἰτήσαντος γράφει Σικελιώταις τοὺς παῖδας Διονυσίου καὶ Δίωνος προστήσασθαι ἄρχοντας. εἶχε γὰρ παῖδας ὁ Δίων ἐκ τῆς ἀδελφῆς τοῦ μεγάλου Διονυσίου. ἰστέον δὲ ὅτι ὁ Τιμολέων μετὰ ταῦτα πεμφθεὶς ὑπὸ Κορινθίων ἐξέβαλεν αὐτόν. δεῖ δὲ γνῶναι ὅτι οὐ πᾶσά ἐστιν ἡ ἐπιστολὴ, ἀλλὰ τὰ ἀναγκαῖα. μετὰ Διονύσιον ὁ υἱὸς αὐτοῦ Διονύσιος ἦρξεν, ὃς μεταπέμπεται Πλάτωνα, ὡς ἀπολογησόμενος ὑπὲρ τῆς τοῦ πατέρος ὕβρεως. ἐλθόντι δὲ ὅμως ῥᾳθύμως ἐδέξατο. ἐπανελθὼν δὲ Πλάτων ἐν ταῖς Ἀθήναις, ἢ ἀπὸ χρησμοῦ τινος, ἢ ἄλλοθεν γνοὺς, συμβουλεύει Δίωνι μιᾷ νηὶ πλεῦσαι ἐπὶ Διονύσιον. ὁ δὲ ἔρχεται πεισθεὶς, καὶ ἐκβάλλει Διονύσιον. οἱ δὲ Συρακούσιοι τυχόντες ἀδείας δείσαντες μὴ καὶ Δίων τυραννήσῃ, ἐκβάλλουσιν αὐτόν. πάλιν δὲ ἐπιτίθεται τυραννίδι Διονύσιος. Πλάτων δὲ ὡς ἀπὸ Δίωνος αἰτήσαντος γράφει Σικελιώταις. ὁ Δίων οὗτος ἀδελφιδοῦς Διονυσίου, ἀλλὰ καὶ γαμβρὸς ἐπ᾽ ἀδελφῇ. ὁ δὲ

Διονύσιος ἀρχὴν πιστευθεὶς Συρακουσίων, ἐπὶ Καρχηδονίους ἐτυράννησε, καὶ πολλὰ δεινὰ αὐτούς τε Σικελιώτας καὶ Δίωνα ἔδρασε, δι' ἃ καὶ Πλάτων ὡς πείσων μετεπέμφθη, σημαίνων ὅτι τὸν Διονύσιον, τὸν υἱὸν τοῦ πρώτου Διονυσίου, Τιμολέων πεμφθεὶς ὕστερον ὑπὸ Κορινθίων ἐξέβαλλε τυραννήσαντα. ὡς ἂν δὴ Δίων αὐτὸς ὢν τοῦτο εἶπεν, ἐπειδὴ ἀπὸ προσώπου τοῦ Δίωνός ἐστιν ὁ λόγος· Πλάτωνος δὲ ἦν τὸ σκέμμα. ἔχει δὲ ἔμφασιν ὁ λόγος, ὅτι καὶ Δίων ὁ Πλάτων ἐγένετο Δίωνος χάριν.

201,2 οἵας οὐδ' ἂν αὐτὸς ἄν τις ῥᾳδίως αἰτήσειε τίς γὰρ αἰτεῖ βασιλείαν, ἣν ᾐτει ὁ Δίων, ὅ ἐστι δουλείαν τῶν Σικελιωτῶν. δυνατῶς δὲ λέγει ὅτι εὐεργέτης ὁ Δίων τίς γὰρ αἰτεῖ βασιλείαν, οἵαν ὁ Δίων, δουλείαν Σικελιωτῶν.

201,4 οὐκοῦν ἢ 'κεῖν' ἀπαλείφειν προσῆκεν δεῖ οὖν ἐκεῖνα ἀπαλείφειν, ὡς κακῶς εἰρημένα, ἢ καὶ τούτους τιμᾶν. εἰς δὲ τὸ ἐξελήλεγκται, τὸ φαῦλα ὄντα.

201,7 τῆς γ' αὐτῆς ὁδοῦ τῆς πολιτείας τουτέστι τῷ αὐτῷ τρόπῳ τῆς πολιτείας. οὕτω λέγε καὶ σεσωκόσι καὶ Σικελίαν καὶ Ἰταλίαν αὐτῆς τῆσδε τῆς ὁδοῦ τῆς πολιτείας· τουτέστιν, ὅσοι Σικελιῶται καὶ Ἰταλοὶ τὴν αὐτὴν τοῖς Ἕλλησι πολιτείαν μετέρχονται, ἢ Ἕλληνές εἰσιν, ἀλλ' ἔστιν ἐν αὐταῖς καὶ ἄλλα τινὰ ἔθνη.

201,9 καὶ μὴν αὐτός γε σὺ φὴς οὐ τῶν ἐν Κυρήνῃ μᾶλλον ἢ τῶν Ἀθήνησι κήδεσθαι ἡ Κυρήνη πόλις ἐστὶ Λιβύης. ἦσαν δὲ δηλονότι καὶ Λίβυες ἐν Ἀθήναις παιδευόμενοι. εἰσάγει δὲ ὁ Σωκράτης ἐρωτῶντά τινα, τίνες ἐπιδέξιοι πρὸς γεωμετρίαν εἰσὶν, Ἀθηναῖοι, ἢ Κυρηναῖοι; μᾶλλον γάρ μοι τῶν Ἀθηναίων μέλει. κἀκεῖνος μὲν ἐπὶ τῶν φιλοσόφων εἶπεν, οὗτος δὲ ἐπὶ πάντων τῶν Ἑλλήνων ὀφείλοντος τούτου σώζεσθαι, ἔλαβεν αὐτό. φασὶ δὲ ὅτι συνεχῶς ἀπῄει ὁ Πλάτων εἰς Κυρήνην, διὰ τὸ εἶναι ἐκεῖ φιλόσοφόν τινα Θεόδωρον, φίλον αὐτοῦ.

201,10 τοῖς ἐκγόνοις αὐτῶν ἐφεὶς λέγειν περὶ δωρεῶν αὐτῶν λέγει τῶν Ἀθηναίων. ἐκγόνους δὲ λέγει τῶν Ἀθηναίων τοὺς Σικελιώτας, ἐπειδήπερ ἄποικοι ἦσαν. τὸ δὲ ἐφεὶς νῦν ἀντὶ τοῦ ἐπιτρέπεις.

201,11 καὶ ἅμα μὲν τοὺς τυράννους ἐλέγχεις τὸ ἐπιχείρημά ἐστι τοῦ ἐναντίου, ὅ ἐστι κεφάλαιον τῆς ἀντιρρήσεως. λέγει δὲ περὶ τοῦ Ἀρχελάου.

201,12 κἀνταῦθα ὁ κολοφὼν τοῦ λόγου κολοφῶνα λέγει τὸ ἄκρον. Κολοφὼν δέ ἐστιν ὄρος ὑψηλὸν τῆς Ἀσίας καὶ πόλις. παροιμία δὲ λέγεται ἐπὶ τῶν βουλομένων μέγα τι δηλῶσαι. Κολοφὼν ὄρος λέγεται ὑψηλὸν τῆς Ἀσίας καὶ πόλις, ἧς ψῆφοι προεῖχον τῶν παρὰ τοῖς ἄλλοις Ἕλλησι. λέγεται δὲ τοῦτο παροιμία ἐπὶ τῶν μεγάλων

201,13 ἆρ᾽ οὖν καὶ τότε τοῖς Ἀθηναίοις ἄμεινον ἦν ἀκοῦσαι ἀπὸ τοῦ καιροῦ τὸ ἄτοπον δείκνυσιν. εἶτα ἀπὸ τῶν πράξεων ἀπόδειξις

201,14 καὶ μὴν οὐ πόρρωθεν, ἀλλ᾽ ἐξ αὐτῶν ὧν ἔπραττον ἄξιοι τῆς ἐλευθερίας ὄντες ἐδείκνυσαν ἀπὸ τῶν κατορθωμάτων ἡ ἀπόδειξις. νικήσας γὰρ αὐτοὺς ἐν τῇ Ἑλλάδι καὶ Σικελίᾳ καὶ Ἰταλίᾳ, καὶ τοῖς ἁπανταχοῦ γῆς Ἕλλησιν, εἶρξεν αὐτῶν ἐπιθέσθαι.

201,15 ἔτι δ᾽ οὐ Διοσκούροις δείκνυσιν ὅτι τοῖς τοιούτοις δουλεύειν καλόν.

201,16 τοῖς ἀρίστοις καὶ δικαιοτάτοις τῶν ἡμιθέων τοὺς περὶ Αἰακὸν λέγει καὶ Μίνωα. Ἡρακλείδας δὲ εἰπὼν οὐχ ἁπλῶς νῦν τοὺς Ἡρακλείδας λέγει, ἀλλ᾽ ἵνα δηλώσῃ τοὺς προγόνους τῶν Λακεδαιμονίων.

202,3 ἀφαιρούμενοι ἀποσπάσαντες.

202,4 αὐτοὶ οἱ Ἀθηναῖοι. οἱ ἐπιόντες οἱ βάρβαροι. οἱ Πέρσαι. ἐκείνων τῶν Ἀθηναίων.

202,5 πῶς οὐκ ἐνταῦθα, εἴπερ που, καιρὸς ἦν δεῖξαι δουλείαν θανάτου μᾶλλον πεφοβημένους λοιπὸν ἀνακεφαλαιοῦται πᾶν τὸ νόημα καί φησιν οὕτως· ἀλλὰ μὴν, εἰ μήτ᾽ Ἀθηναῖοι ἄξιοι ἦσαν δουλεῦσαι μήθ᾽ οἱ Πέρσαι ἄξιοι τοῦ κρατεῖν τῶν Ἀθηναίων, ὅτε κίνδυνος περὶ ἐσχάτων ἦν, πῶς οὐκ ἔδει μᾶλλον κατ᾽ ἐκεῖνον τὸν καιρὸν δεῖξαι ὅτι τὴν δουλείαν πλέον τοῦ θανάτου φοβοῦνται.

202,6 ἐπιθήσω γὰρ τὰ Πλάτωνος αὐτοῦ ῥήματα ἀντὶ τοῦ προσθήσω· ὁ γὰρ Πλάτων εἶπε δεῖν αἱρεῖσθαι θάνατον ὑπὲρ δουλείαν. ὁ γὰρ Πλάτων εἶπεν αἱρεῖσθαι θάνατον παρὰ δουλείαν.

202,8 τῆς πολιτικῆς ἀρετῆς τοῦ δικαίου. πολιτικὴν ἀρετὴν λέγει τὴν δικαιοσύνην, ἴσως δὲ καὶ ὅνπερ λέγει ὁ Πλάτων πολιτικὸν τοῦτο αἰνίττεται, δεικνὺς ὅτι ἃ προείλοντο πολιτικοῦ ἦσαν ἀνδρὸς πράξεις.

202,9 βεβαιώσαντας ἅπασι μετὰ τῆς σωτηρίας τὴν ἐλευθερίαν ὁμοῦ τὰ τῶν δύο ἀντιθέσεων ὀνόματα συνέλαβε, τὴν σωτηρίαν καὶ τὴν ἐλευθερίαν.

202,10 καὶ μὴν οὐδ' ἀνειμένην γε τὴν ἐλευθερίαν ἐποίησαν αὐτοῖς ἀνειμένην ἀντὶ τοῦ ἔκλυτον καὶ ἀγεννῆ· ἔστι γὰρ καὶ ἐλευθερία κακὴ, ἡ τρυφητικὴ καὶ ἡ ἐν ἀτάκτοις ἡδοναῖς οὖσα, ἥτις πάλιν ἔοικε δουλείᾳ· δουλεύουσι γὰρ ταῖς ἡδοναῖς. συστέλλων δὲ τὸ ἄτοπον τῆς δουλείας φιλανθρώποις εἶπεν· ἐδόκουν γὰρ αὐτοὶ δεδουλευμένοι τῷ ὑπείκειν· διὸ καὶ τὴν λέξιν ἐπήγαγε τῷ εἰπεῖν εἶξαν.

202,12 πρὸς δὲ τοὺς Ἕλληνας οὕτω κοινῶς καὶ φιλανθρώπως συστέλλων τὸ ἄτοπον τῆς δουλείας φιλανθρωπίαν αὐτὴν εἶπεν· ἐδόκουν γὰρ αὐτοὶ δεδουλευκέναι τῷ ὑπείκειν· ἀμέλει καὶ τὴν λέξιν ἐπήγαγε τῷ εἰπεῖν εἶξαν. ὥστ' εἶξαν τῆς ἡγεμονίας ἑκόντες Λακεδαιμονίοις καλῶς τὸ ἑκόντες, ἵνα μὴ νομισθῇ ἐν φόβῳ.

202,13 καὶ γάρ τοι παρ' ἑκόντων πάλιν αὐτὴν τῶν Ἑλλήνων ἐκομίσαντο διὰ τούτου ἐδήλωσεν ὅτι διὰ χρείαν παρεχώρησαν τὴν ἡγεμονίαν καὶ διὰ φιλανθρωπίαν. διὰ τούτων ἐδήλωσεν ὅτι οὐ δι' ἀχρείαν παρεχώρησαν τῆς ἡγεμονίας, ἀλλὰ διὰ φιλανθρωπίαν.

202,14 οὐκ ἄνευ δικαιοσύνης, οὐδὲ σωφροσύνης οὐκ ἀκαίρως τοῦτο εἶπεν, ἀλλὰ δηλῶσαι βουλόμενος ὡς οὐκ ἂν οἱ Ἕλληνες κατέφυγον, εἰ ἀδίκους ὄντας ἑώρων, ἀλλὰ μᾶλλον θαυμάσαντες αὐτῶν τὴν φιλανθρωπίαν.

202,15 ὡς σὺ φὴς ἵνα μὴ αὐτὸς δοκῇ ὑβρίζειν, ἐκείνῳ προστίθησι τὴν λέξιν.

202,17 μέσην αὐθαδείας καὶ ταπεινότητος ἄγοντες τοὺς πολίτας ἐνταῦθα ἑρμηνεύει ὃ εἶπεν ἄνω, οὐκ ἀνειμένην τὴν ἐλευθερίαν ἐποίησαν αὐτοῖς. οὐ τὴν ἀναιδῆ ἀναιδῆ λέγει τὴν ἄνευ αἰδοῦς καὶ ἀναισχυντίας. καὶ ὁ Δημοσθένης· τῆς δὲ πομπείας ταύτης τῆς ἀναιδοῦς γεγενημένης.

202,18 ἐλευθερίαν εἰσάγοντες κατὰ κοινοῦ ἐνέπλησαν τὴν πόλιν συμμάχων.

203,2 αὐτὸς Πλάτων τὰ Πλάτωνος. πάλιν ἀπὸ τοῦ προσώπου τοῦ κατηγόρου ποιεῖ τὴν ἀπόδειξιν. αὐτὸς Πλάτων, εἰ δὲ βούλει Δίων, ὑπάρχει μάρτυς ὡς γὰρ ἐκ τοῦ προσώπου τοῦ Δίωνος ὁ Πλάτων ἐπέστελλεν.

203,5 ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ τότε χρόνῳ τὴν πόλιν ὅτε γὰρ ἐπήρχοντο οἱ Καρχηδόνιοι τοῖς Σικελιώταις, ὁ μὲν Διονύσιος ὁ τύραννος ἐστρατήγει, ὁ δὲ Ἱππαρῖνος, ὁ πατὴρ Δίωνος, συνεβούλευε πῶς δεῖ πολεμεῖν. ὁ δὲ υἱὸς Δίωνος Ἵππαρις ἐκαλεῖτο.

203,8 ὅτι τοίνυν καὶ βασιλείαν ἄξιον ἀντὶ τούτου διδόναι δοκεῖ μὲν ἐπὶ καλοῦ τὸ ὄνομα νῦν τῆς βασιλείας κεῖσθαι, ὡς πρὸς τὸν τύραννον. ἔχει δὲ καὶ δεσπότου προσηγορίαν. καὶ ὁ ῥήτωρ «Βασιλεὺς γὰρ ἅπας καὶ τύραννος ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος.» καὶ ταῦτά γε τοῖς ἐκγόνοις δεινῶς εἶπεν ἐκγόνοις, ἀντὶ τοῦ τοῖς μηδὲν εὐεργετήσασι. δεινῶς εἶπε τὸ ἐκγόνοις, ὡς ἂν εἰ ἔλεγε τοῖς μηδὲν εὐεργετήσασιν. καὶ μικροῦ τῆς ἐλευθερίας αὐτῆς παραχωρῆσαι τὸ μικρὸν προσέθηκεν, ἐπειδὴ γὰρ ἄνω βασιλείαν εἶπεν, ἵνα τὸ ἀνεπαχθέστερον δηλώσῃ. ἡ γὰρ βασιλεία φιλανθρωποτέρα ἐστί. ἐπειδὴ ἄνω βασιλείαν εἶπεν, ἵνα τὸ ἐπαχθέστερον δηλώσῃ, τὸ μικροῦ προσέθηκεν, μέλλων ἐρεῖν ἐλευθερίαν.

203,13 βελτίους τὰ πολιτικὰ ἀντὶ τοῦ κατὰ τὴν πολιτικὴν ἀρετήν.

203,14 εἴ γε οἱ μὲν ἀντ᾽ ἐκείνων τῶν ἔργων, — εὖ πεποιηκέναι τοὺς Ἕλληνας τὸ πολιτικὸν πάλιν ὑποφαίνει, τὸ προῖκα ἐλευθεροῦν τοὺς Ἕλληνας, ὅπερ Πλάτων ἐπαινεῖ. ἀντ᾽ ἐκείνων τῶν ἔργων ἐμφαντικόν ἐστι τὸ ἐκείνων, ὅ ἐστι τῶν μεγάλων καὶ θαυμαστῶν.

203,16 ἐν οἷς ἦν ἀκούειν τῶν ἐξ ἐκείνου τοὺς ἄλλους ἀντὶ τοῦ ἄρχεσθαι ὑπὸ τῶν παίδων ἐκείνου.

203,17 μὴ ἐφ᾽ ἑκάστου τῶν καιρῶν ἀντὶ τοῦ μὴ καθ᾽ ἕκαστον καιρόν. ἔστι δὲ ἀντὶ τοῦ μὴ διαπαντός.

203,18 εἰσάπαξ ἀντὶ τοῦ καθόλου καὶ ἁπλῶς, ὅπερ ἐστὶν ἀκρίτως. κἂν εἴ τινες αὐτῶν βελτίους ἐνεῖεν δεινῶς εἶπε τοῦτο, δηλῶν ὅτι δεῖ τὸν βασιλέα βελτίονα εἶναι τῶν ἄλλων.

203,19 ἆρ᾽ οὐ πανταχόθεν σεαυτὸν ᾔρηκας; ὡς ἐπὶ πολεμίων εἶπε τὴν λέξιν. ὅπου γε δὴ καὶ τῆς ἰσότητος καὶ γεωμετρίας Πλάτων γὰρ ἔλεγε· καλὸν ἡ γεωμετρία, ὅτι ἔχει τὸ ἴσον ἐν ἑαυτῇ.

203,20 καὶ ταῦτα ὁμιλήσαντες τῷ δεινοτάτῳ γεωμετρίαν Πλάτωνι ὅσον ἐπαινεῖ, πλέον καθάπτεται, λεληθότως διαβάλλων αὐτὸν, ὡς ἀδύνατον γενόμενον διδάξαι.

204,1 τρίτον δέ φησιν ἡ ἐπιστολὴ τὸ τρίτον μέρος ἐστὶ τοῦτο τῆς ἐπιστολῆς. προκαλεῖσθαι χρὴ βασιλέα γίγνεσθαι Συρακουσίων λείπει τὸ ἐὰν δὲ τοὺς παῖδας τοὺς ἐμοὺς μὴ ἐθέλετε βασιλέας. ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττεσθαι ἀντὶ τοῦ ἀπαλλάττεσθαι τῆς τυραννίδος καὶ ἔχειν βασιλείαν.

204,4 ἐλεῶν δὲ πατρίδα καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους ἐλεῶν λέγει, ὅτι κακῶς ἔπασχεν ὑπ᾽ αὐτοῦ· τότε γὰρ οὐδὲν τὰ ἱερὰ ἐθεραπεύοντο, ὡς ἠσχολημένων τῶν Σικελιωτῶν εἰς τὸν πόλεμον. ἢ ὅτι αὐτὸς ὁ τύραννος ἐθεράπευσε διὰ τὴν φιλονεικίαν τὴν πρὸς τὴν πόλιν, ἵνα ἐντεῦθεν αὐτῷ προστεθῶσιν οἱ βάρβαροι καὶ συμπράξωσιν αὐτῷ ἐπὶ τὴν τυραννίδα.

204,5 βαρβάροις ἐπίχαρτος γενόμενος ἐπίχαρτος καλεῖται ὁ πρός τινας χαίρων καὶ ἡδόμενος αὐτοῖς. τοῦτο δὲ εἶπεν, ὡς τῶν Συρακουσίων στασιαζόντων πρὸς αὐτὸν, κἀκείνου ἔχοντος ἔνδον στράτευμα βαρβαρικὸν, ὃ ἔμελλε πολεμῆσαι αὐτούς. τῷ τοῦ τυράννου παιδὶ καὶ γὰρ ὁ πατὴρ Διονυσίου, Διονύσιος, τύραννος ἦν. τὸ δὲ καιρόν ἐστιν ἔχον ἀντὶ τοῦ συμφέρον ἦν. τῷ τοῦ τυράννου παιδὶ καὶ τῷ τοῦ τῶν πολεμίων ἄρχοντι στρατοπέδου τὸν αὐτὸν καὶ τυράννου παῖδα καὶ πολεμίων ἄρχοντα λέγει.

204,7 ἦ που τοῖς γε ἀντὶ τοῦ πολλῷ πλέον. τὸ δὲ ἦ που πρὸς τὸ εἰκὸς ἦν.

204,9 εἰκὸς ἦν σπείσασθαι δηλονότι τὸν Πλάτωνα. ὡς ἐπὶ πολεμίου δέ ἐστιν ἡ λέξις, ἵνα δείξῃ πολεμοῦντα τοῖς ἀνδράσι τὸν Πλάτωνα. τήν γε βλασφημίαν αὐτοῖς ἀνεῖναι ἀντὶ τοῦ ἀφεῖναι αὐτοὺς τῆς ὕβρεως, καὶ ὥσπερ αὐτοῖς δωρεὰν δοῦναι τὴν σιωπὴν ἑαυτοῦ.

204,10 φέρε γὰρ πρὸς θεῶν, εἰ, ὅτ᾽ ἦν ἐκεῖνα τὰ πράγματα τὸ σχῆμα Δημοσθενικόν. ἔστι δὲ ὡς καθ᾽ ὑπόθεσιν. ἐκεῖνα δὲ λέγει τὰ ἐπὶ Μηδικοῦ

πολέμου.

204,11 βοηθεῖν ὅ τι ἔχοι κελευόντων ἀντὶ τοῦ ὅπερ ἠδύνατο, καὶ ἁπάσῃ δυνάμει, οἱονεὶ τῇ σοφίᾳ καὶ τῇ συνέσει, ἢ ἀντὶ τοῦ κἄν τι μικρόν· ἐν γὰρ τοῖς μεγάλοις κινδύνοις καὶ τὸ μικρὸν εὐεργέτημα μεῖζόν ἐστι.

204,12 μήτ᾽ ἔννομον βασιλείαν δεινῶς εἶπεν· ἐμφαίνει γὰρ αὐτὸν ἄξιον βασιλείας, καταφρονήσαντα δὲ καὶ αὐτῆς καὶ χάριν αἰτοῦντα εὐτελῆ.

204,13 ἐὰν καταστήσῃ τὰ πράγματα αὐτοῖς ὡς ἐπὶ χειμῶνος εἶπε τὴν λέξιν, τὸ μέγεθος τοῦ κινδύνου δηλῶν καὶ τὴν ἐν αὐτῷ μάχην.

204,14 ὁ τοῖς Συρακουσίοις ταῦτα συμβουλεύων τὴν εὐτέλειαν ἐμφαίνει τῶν προσώπων· ταῦτα δὲ λέγει τὴν βασιλείαν.

204,15 ἐμοὶ μὲν γὰρ κἂν προσηγγυῆσθαι δοκεῖ ταῦτα ὑπὲρ τῆς πατρίδος ὁ μὲν οὐ μόνον, φησὶν, ἐδίδου, ἀλλὰ καὶ ἐνεγγυᾶτο ὑπὲρ τῶν Ἑλλήνων.

204,16 οὐκοῦν ἄτοπον; μελλόντων μὲν ἔσεσθαι τῶν ἔργων λοιπὸν συνάγει τὸ νόημα, καί φησιν οὕτως· πῶς οὖν οὐκ ἔστιν ἄτοπον τὸν Πλάτωνα ἐπιχειρεῖν ὑβρίζειν τὸν Θεμιστοκλέα, τὸν καὶ τελειώσαντα τὰ πράγματα τῆς πόλεως καὶ διάδηλον ἔχοντα τὴν ἀρετὴν παρὰ πᾶσιν Ἕλλησι καὶ βαρβάροις. τὸ δὲ σχῆμα σχετλιαστικόν. ὑπογράφει δὲ ἡμῖν τὴν τῶν ἀνθρώπων φύσιν, ὅτι πρὸ μὲν τοῦ τυχεῖν τινος δοκοῦσιν εὐγνώμονες, μετὰ δὲ τὸ τυχεῖν μεταβάλλονται. τὸ δὲ ὅμοιον εἶπεν ἐν τῷ πρὸς Λεπτίνην Δημοσθένης· οὐκοῦν ἄτοπον, εἰ μέλλοντες μὲν εὖ πάσχειν ἀποδεχόμεθα τὰς τιμὰς, μετὰ δὲ τὰς χάριτας ἀχάριστοι φανῶμεν.

204,17 τῆς ἀρετῆς τῆς ἐκείνου φανερᾶς ἅπασιν Ἕλλησι καὶ βαρβάροις γεγονυίας τοῦτο δηλοῖ, ὅτι τὰ ἄδηλα οἱ ἄνθρωποι προτιμότερα ποιοῦνται ὡς ἐπὶ τὸ πλεῖστον τῶν φανερῶν.

204,18 μήτε ἱερὰ μήτε τάφους αἰσχύνεσθαι ἀσέβειαν λεληθότως ἐπιφέρει τῷ Πλάτωνι.

204,19 μήτ᾽ ἐπιγράμματα δοκεῖ γὰρ καὶ τὰ ἐπιγράμματα πολλὴν ἔχειν τιμὴν ἐν τῇ πόλει. ὃν ἐπαινεῖν βουληθέντα τῆς ἀξίας ἔργον ἦν τυχεῖν πολλὴν

ἐπίτασιν ἔχει τοῦτο τῶν κατορθωμάτων αὐτοῦ τὸ μὴ ἀρκεῖν εἰς τὸν ἔπαινον τοῦτον Πλάτωνα.

204,20 καὶ μὴν οὐχ ὅμοιον ἐν μέσῃ τῇ θαλάσσῃ θέλει σημᾶναι ὅτι Θεμιστοκλῆς μὲν ἐν τοῖς κινδύνοις συνεβούλευσε, σὺ δὲ ἐν τῇ διατριβῇ φιλοσοφεῖς, ὦ Πλάτων. ἐπειδὴ Πλάτων τὴν ναυμαχίαν διέβαλε, δείκνυσιν ὁ ῥήτωρ τὸ ναυμαχεῖν μεῖζον τοῦ ἀπὸ τῶν τειχῶν μάχεσθαι. τὸ μὲν γὰρ ἀσφαλὲς, ἡ δὲ κατὰ θάλασσαν μάχη εἰς ἔσχατα φέρει κινδύνου.

205,1 ἃ Πλάτων παντὸς μᾶλλον καλῶς εἰδὼς ἑκὼν ὑπερβαίνει πάλιν τὴν βασκανίαν δηλοῖ τοῦ Πλάτωνος καὶ οὐκ ἄγνοιαν.

205,3 ἑτέρωθι δὲ ἀντὶ τοῦ οὐκ ἐν τῷ Γοργίᾳ, ἀλλ᾽ ἐν τῷ ἑτέρῳ διαλόγῳ. φάσκων αὐτοὺς ἐθισθῆναι φεύγειν ἐκ τούτου φησὶ γὰρ ὁ Πλάτων ἐν τῷ τετάρτῳ τῶν νόμων ὅτι Θεμιστοκλῆς ἐμβιβάσας Ἀθηναίους εἰς τὰς ναῦς εἴθισε φεύγειν.

205,4 ὡς δὴ σὺ μὲν κἀγὼ πολλὰς τροπὰς ὁπλιτῶν ἐποιησάμεθα κατὰ ἦθός ἐστιν ὁ λόγος. ὅμοιος δέ ἐστι τῷ ἐν τῷ παραπρεσβείας «Αὐτὸς ὢν θαυμάσιος στρατιώτης, ὦ Ζεύς.» ἔθος τοῖς ῥήτορσι τοῦτο, τὸ συνδιαβάλλειν ἑαυτοὺς τοῖς σκωπτομένοις.

205,5 εἰ μὲν ἦν ἕτερον τρόπον νικῆσαι, ἢ καὶ σωθῆναι τὸ πρῶτον πολλάκις γὰρ οἱ κινδυνεύοντες πρὸ νίκης σωτηρίαν αἰτοῦσι.

205,7 τίς ἡ θαυμαστὴ φιλοσοφία, τεθνάναι μάτην οἱ γὰρ φιλόσοφοι λέγουσιν ὅτι οὐκ ἔστι κακὸν ὁ θάνατος, ἀλλὰ καὶ καλός.

205,8 ἀρχὴν δ᾽ ἔγωγε οὐκ ἐπινοῶ ποῦ διακέκριται κατὰ γῆν μὲν νικῆσαι καλὸν εἶναι, ἐν θαλάττῃ δ᾽ αἰσχρὸν ἀντὶ τοῦ οὐχ εὗρόν ποτε τοῦτο κείμενον ἐν τοῖς ἀρχαίοις, ὅτι καλὸν μέν ἐστιν ἐν τῇ γῇ νικᾶν, ἐν δὲ τῇ θαλάττῃ αἰσχρόν.

205,10 τὴν μὲν κρανίαν καὶ τὴν βύρσαν πολλοῦ τινος ἀξίαν εἶναι κρανίαν λέγει τὴν περικεφαλαίαν, παρὰ τὸ κράνος· βύρσαν δὲ τὸ ὅπλον, παρὰ τὸ ἔχειν βύρσαν περὶ αὐτό. τὸ δὲ σχῆμα διασυρμός. λέγει δὲ ὅτι οὐ δεῖ ὅπλα ζητεῖν, ἀλλ᾽ ἀνδρείαν διώκειν. τὰ δὲ νήια σχοινία. τὰ δὲ νήια καὶ τοὺς κωπέας

τοῦ μηδενὸς νήια ἀντὶ τοῦ σχοινία. λείπει δὲ τὸ δεῖ νομίζειν. κωπέας δὲ λέγει τὰ ξύλα τὰ πρὸς τοὺς κώπας ἐπιτήδεια. τοὺς κωπέας ξύλα.

205,11 διαγράφοι τὴν τοῦ Ποσειδῶνος ἀρχὴν δεύτερα τῶν πάντων ἔχουσαν, ὥς φησιν Ὅμηρος τοῦτο εἶπε παρ᾽ Ὁμήρου λαβών· λέγει γὰρ ὁ Ποσειδῶν παρὰ τῷ Ὁμήρῳ πρὸς τὴν Ἔριν «Τρεῖς γάρ τοι ἐκ Κρόνου ἦμεν ἀδελφοὶ, οὓς τέκετο Ῥέα, Ζεὺς καὶ ἐγὼ, τρίτατος δ᾽ Ἀΐδης ἐνέροισιν ἀνάσσων. τριχθὰ δὲ πάντα δέδασται.»

205,12 τί οὖν οὐχὶ καὶ περὶ τοῦ σίτου κατηγορήσομεν αὐτῶν πάλιν τὴν αἰτίαν ἀνάγκην ἀποφαίνει. ὁμοῦ δὲ καὶ τὸ τῆς θαλάττης λέγει χρήσιμον. ἴσμεν δὲ ὅτι λεπτόγεώς ἐστιν ἡ Ἀττική.

205,16 τοῦ καλοῦ τῆς σωτηρίας.

205,17 τῇ χρείᾳ τῇ σιτοπομπείᾳ. καλῶς προσέθηκε τῇ χρείᾳ, ἵνα μὴ εἴπῃ, ἀλλ᾽ οὐκ ἀπήτει ἀνάγκη τις ἐν θαλάττῃ μάχεσθαι.

205,18 οὐκοῦν ἔδει τριήρων καὶ τοῦ ναυμαχεῖν ἐπίστασθαι βεβαιωτικὸν τὸ σχῆμα. οὐχ ἁπλῶς δὲ πλοῖα λέγει τὰ σιτηρὰ, ἀλλὰ τριήρεις, δι᾽ ὧν ἀνδρεία δείκνυται.

205,20 ἵνα καὶ τοῦτο προσθῶμεν ἀντὶ τοῦ περιττόν τι εἴποιμεν, εἰ καὶ μάταιον ἐν τῷ χρῆσθαι ναυσίν. οὐχ ὡς περιττὸν δὲ τοῦτο προστίθησιν, ἀλλ᾽ ὡς ἄλλην ὑπερβολὴν ἔχων ἀπολογίας.

205,21 ὥσπερ ἂν εἰ καὶ τῇ φύσει τῆς Ἀττικῆς μεμφοίμεθα, ὅτι αὐτὴν ἔχει θάλαττα κύκλῳ μικροῦ πᾶσαν δείκνυσι τὴν θάλατταν καὶ οἰκείαν οὖσαν τῇ Ἀττικῇ καὶ ἀναγκαίαν.

206,1 τί οὖν εἰ τοῖς κρείττοσιν οὕτως ἔδοξεν εἰ ἐπήνεσε, φησὶν, ὁ Ἀπόλλων τὴν ναυμαχίαν.

206,2 ἔστω τὸ γειτόνημα ἁλμυρὸν, ὥς φησιν Ἀλκμὰν ὁ λυρικὸς τοῦτο εἶπεν· ἁλμυρὸν τὸ γειτόνημα· ἀντὶ τοῦ τί κακόν ἐστι γείτονα ἔχειν τὴν θάλασσαν. ἢ ὅτι ἡ λέξις Πλατωνική ἐστι. λέγει οὖν ὁ ῥήτωρ· συγχωρῶμεν, φησὶ, ταῖς Ἀθήναις τὴν θάλατταν προσοικεῖν. εἰ μὲν τοίνυν

Θεμιστοκλῆς νίκην ἀντὶ νίκης ἠλλάττετο ἀντὶ τοῦ εἰ δυνάμενος κατὰ γῆν νικῆσαι κατὰ θάλατταν εἵλετο.

206,3 ἠδίκει τοὺς ναυπηγοὺς ἀντὶ τῶν δορυξόων κοσμῶν ἀντὶ τοῦ πεζομαχίᾳ. πάλιν ἀπὸ τῶν ὀργάνων ἡ σύγκρισις. ταῦτα δὲ καθ' αὑτὰ ἄνευ τῶν μαχομένων ἔργα ἐστί. καί τοι καὶ τὸ τῆς ναυμαχίας ἔργον εἰς τοὺς ὁπλίτας δήπου τοὺς ἐπὶ τῶν καταστρωμάτων ἀφίκετο ἀποδείκνυσι λοιπὸν ὅτι ἡ ναυμαχία καὶ πεζομαχίαν ἔχει ἐν ἑαυτῇ. τοῦτο δὲ καὶ ὁ Θουκυδίδης εἶπε πολλάκις.

206,5 εἰ δὲ διπλοῦν ἀνθ' ἁπλοῦ τότε κίνδυνον θαυμασίως ἀποδείκνυσι τοὺς αὐτοὺς καὶ ναυμάχους καὶ πεζομάχους, πρὸς τὴν χρείαν μεταβαλλομένους.

206,6 οὐδὲν οἶμαι ταύτῃ φαυλότεροι ἀλλὰ μείζων, φησὶν, ὁ κατὰ θάλατταν κίνδυνος τῷ διπλοῦν εἶναι.

206,7 ἀλλ' ἔγωγε καὶ ταύτας ἀφαιρῶ τὰς προσθήκας τὸ λέγειν ὅτι διπλοῦν κίνδυνον εἵλοντο ἀνθ' ἁπλοῦ.

206,8 εἰ δ' ἅπασα μὲν ἡ γῆ κατείληπτο θαρροῦντος ὁ λόγος ἀποδείξεσι καὶ συγχωροῦντος, οὐχ ὅτι τῇ ἀληθείᾳ συντίθεται, κακὴν οὖσαν τὴν ναυμαχίαν. ἐπέρρει δὲ, ὥσπερ θαλάττης ἐπίκλυσις, ἡ στρατιὰ ὀαριστικῶς λοιπὸν ἅπαντα, ὡς οὐ τὸ πρᾶγμα μεμψαμένου τοῦ Πλάτωνος, ἀλλὰ τὸν τρόπον τῆς νίκης. οἰκείως δὲ τῷ ἐπέρρει ἐπήγαγε τὴν ἐπίκλυσιν.

206,10 οἱ δ' ἄκοντες ἦγοντο ἦσαν γάρ τινα ἔθνη φόβῳ ἥκοντα. λέγει δὲ καὶ Πελοποννησίους, διὰ τὸ τειχίσαι τὸν Ἰσθμόν. οἱ δ' ἔφευγον εἰς τὸ εἴσω τῆς Ἑλλάδος ἀεὶ οἱ Θηβαῖοι καὶ Θετταλοί.

206,11 τῶν πραγμάτων ὄντων τοὺς ἐν τῇ συμμαχίᾳ ἀντὶ τοῦ τοὺς δυναμένους συμμαχῆσαι τοῖς πράγμασι. κἀνταῦθα τῶν πραγμάτων ὄντων ἀντὶ τοῦ μὴ δυναμένων ἀλλαχοῦ γενέσθαι καὶ συμβῆναι, εἰ μὴ ἐν τῇ θαλάττῃ.

206,14 τί ταῦτα τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνομεν τοῦτο εἶπεν, ὅτι πεποίηκεν Ὅμηρος τὴν Ἑλένην καὶ τὸν Πρίαμον ἐκ τοῦ τείχους θεωροῦντας τοὺς Ἕλληνας, καὶ διαλεγομένους περὶ αὐτῶν. ἡ γοῦν

παροιμία ἐστὶν ἐπὶ τῶν ἄλλα ἀντὶ ἄλλων ποιούντων. ἔοικε δὲ βαθέως εἰς τὸν Πλάτωνα αἰνίττεσθαι, ὅτι ὑπὸ τειχίῳ καθήμενος κρίνει τὸν Θεμιστοκλέα, τουτέστιν ἐν τῇ διατριβῇ. ἡ δὲ σύνταξις αὕτη· εἰ δὲ ἅπασα μὲν ἡ γῆ κατείληπτο, καὶ τὰ ἐφεξῆς, τί ταῦτα τοὺς Ἀχαιοὺς ἀπὸ πύργου κρίνομεν; πεποίηκεν Ὅμηρος τὴν Ἑλένην καὶ τὸν Πρίαμον ἐκ τοῦ τείχους θεωροῦντας τοὺς Ἕλληνας καὶ διαλεγομένους περὶ αὐτῶν.

206,16 ὥσθ᾽ αἱρετώτερον εἶναι πρὸ αὐτῆς ἀπολωλέναι ἐν τῇ πεζομαχίᾳ δηλονότι. ἀλλὰ μᾶλλον τοῦ βίου καὶ τῆς σωτηρίας ἀντὶ τοῦ ὑπὲρ τοῦ βίου καὶ ὑπὲρ τῆς σωτηρίας.

206,19 τῇ τότε ἡμέρᾳ ὡς παράδοξόν τι εἶπε καὶ θαυμαστὸν τὴν τότε ἡμέραν.

207,1_3 εἰ γὰρ ἓν ἐξ ἁπάντων—ἐκεῖνό τις ἂν τὸ ἔργον λέγοι δικαίως εἰ γὰρ δεῖ μεμνῆσθαι μεγάλων ἔργων, δεῖ μάλιστα τῶν Θεμιστοκλέους ἔργων μεμνῆσθαι.

207,3 μόνος δέ μοι δοκεῖ πάντων ἀνθρώπων λύσις τῆς ἀντιθέσεως. ἀντίθεσιν ἐνταῦθα ἑτέραν προλύει· ἀλλὰ καὶ προδέδωκε, φησὶ, τὴν πόλιν Θεμιστοκλῆς, καὶ ἔρημον τὴν πατρίδα κατέλιπεν. ὀλίγοις δὲ προσέθηκε διὰ τὸ ἐπαχθὲς, ἵνα μὴ εἴπῃ τις ὅτι μόνος Θεμιστοκλῆς ἔδειξε, καὶ ὥσπερ ψευδόμενος φανείη. εἶτα ἐπάγει τὸ ποῖον λόγον.

207,4 ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο εἰς Πλάτωνα αἰνίττεται, ὅτι κλέψας τὸν λόγον ὡς ἴδιον αὐτοῦ ἔθηκε.

207,6 ὅπου πότ᾽ ἂν ὦσιν ἄνδρες αὐτοὺς σώζειν εἰδότες ἐνταῦθα καὶ τείχη καὶ πόλεις πόλεις καλεῖ τοὺς ἄνδρας καὶ ὁ ῥήτωρ «Τὸ δὲ ὑμᾶς ὅταν λέγω, τὴν πόλιν λέγω.»

207,7 οὔκουν τῷ γε ἀληθεστάτῳ τῶν λόγων ἐκλιπεῖν τὴν πόλιν ἡγεῖτο ἐνταῦθα φανερὰν ἔδειξε τὴν ἀντίθεσιν, ὅτι ἐχρῆν μὴ φυγεῖν τὴν πόλιν, ἀλλ᾽ ἐν αὐτῇ πολεμῆσαι.

207,8 ἀλλὰ μετασκευάζειν, ὥσπερ ἐν σκηνῇ, πρὸς τὸ παρεστὸς ἀντὶ τοῦ εἰς ἕτερον σχῆμα διέταττε τιθέναι. λέγει δὲ θαλαττίους ἀντὶ τοῦ ἠπειρώτας ποιεῖν.

207,9 τῶν ἀγωνιστῶν ἀγωνιστὰς λέγει τοὺς τραγικοὺς, ἢ τοὺς κωμικούς. ἀπολλύναι τὴν ἑαυτοῦ φύσιν ἡγεῖτο. τὴν ἑαυτοῦ φύσιν ἀντὶ τοῦ τὸ φρόνημα τὸ πρέπον αὐτοῖς. μεταμπίσχηται μετενδυθῇ.

207,10 καὶ τότε τοῖς Ἀθηναίοις ἐπιβάλλειν θαλαττίων σχῆμα προσθέσθαι κατὰ κοινοῦ τὸ ἡγεῖτο· ἐπιβάλλειν δὲ λέγει ἀντὶ τοῦ ὀφείλεσθαι· οἷον ἡγεῖτο ὀφείλεσθαι αὐτοῖς τότε σχῆμα λαβεῖν ναυμάχων, οὐ μὴν διὰ τοῦτο τὴν φύσιν ἀμείβειν. τὸ δὲ μεταμπίσχηται ὡς ἐπὶ ἐσθῆτος εἶπεν, ἀντὶ τοῦ μετενδύσηται καὶ ἕτερον σχῆμα λάβῃ.

207,11 τὴν μὲν χώραν καὶ τοὔδαφος τῆς πόλεως προεῖτο ὅρα πῶς πανταχοῦ χώραν καὶ οὐκ ἄνδρας λέγει.

207,12 τείχη καὶ ἑστίας καὶ νεὼς τὰ ἄψυχα ὀνομάζει, ἐπειδὴ καὶ ἡ πόλις ἄψυχός ἐστιν. τὴν τοῦ φρονήματος τάξιν τοῦ πρέποντος τοῖς Ἀθηναίοις.

207,13 ἃ πεπεικὼς αὐτὸν ἦν τουτέστιν ἃ ἠπίστατο καὶ ἔκρινε. λέγει δὲ τὸ ναυμαχῆσαι.

207,14 περὶ αὐτὰ φιλοψυχοίη φιλοψύχους ἐκάλουν τοὺς μικρῶν ἐρῶντας, οἷον τοὺς φιλοῦντας τὸ ὁπωσοῦν ζῆν. τοὺς ἄνδρας αὐτοὺς προσαπολεῖ ὅρα πάλιν πῶς διέστειλεν ἀπὸ τῶν ἐμψύχων τὰ ἄψυχα.

207,15 εἰ δὲ τὰς ναῦς προβάλοιτο αὐτῶν ἢ ὡς ἐπὶ προβολῇ εἶπε καὶ τείχους, ἢ ὡς ἐπὶ ὅπλων καὶ ἀσπίδος.

207,16 αὐτῆς τῆς κρίσεως ἀντὶ τοῦ τῆς δοκιμασίας. ὡς ἐπὶ ἀγῶνος δὲ εἴρηται ἡ λέξις. διὸ ἐπήγαγε τὸν ἀγωνιστήν.

207,18 καὶ οὐδὲν χείροσι χρήσεσθαι ἢ τῇ πόλει, ἢ τοῖς ἀνδράσι.

207,19 ἐκ πολλοῦ λείπει διαστήματος.

207,20 προλαβεῖν ἐάσας ὡς ἐπὶ δρομέως εἶπε. τῆς θαλάττης τοσοῦτον ἀπολαβὼν, ὅσον ταῖς ναυσὶν ἥρκει ἀντὶ τοῦ μέρος ὀλίγον τῆς θαλάττης.

208,1 οὐ ναύτας ἀνθ' ὁπλιτῶν ἐθίζων Ἀθηναίους εἶναι τοῦτο τὸ ῥητὸν Πλάτωνός ἐστιν.

208,2 οὐδὲ φυγῆς ἐφόδιον τὰς τριήρεις αὐτοῖς ἐξευρὼν τοῦτο γὰρ ἐνεκάλει ὁ Πλάτων λέγων ὅτι φυγῆς ἀφορμὴν εὗρεν αὐτοῖς ὁ Θεμιστοκλῆς τὸ ναυμαχεῖν. φυγῆς ἐφόδιον ἀφορμήν.

208,3 ὥσπερ τὸν Γλαῦκον φασὶ τὸν Ἀνδηθόνιον Ἀνδηθὼν πόλις Βοιωτίας. ἐκ ταύτης ἦν ὁ Γλαῦκος. οὗτος ἀγρεύσας ἰχθὺν μέγαν — ἦν γὰρ ἁλιεὺς — εἰς ἔδαφος ἔρριψεν, ἵνα ἀποθάνῃ. ὁ δὲ βοτάνῃ τινὶ, ἀειζώῳ λεγομένῃ, πλησιάζων ἥσπαιρε καὶ οὐκ ἐτελεύτα. γνοὺς οὖν ὁ Γλαῦκος ἔφαγεν ἐκ τῆς βοτάνης, καὶ ἀθάνατος ἐκεῖ διετέλει, ὅντινα δαίμονα λέγουσι θαλάττιον. τὸν Σάρωνα τὸν ἐπώνυμον τοῦ πελάγους κατὰ κοινοῦ τὸ δαίμονά φησι γίνεσθαι ναυτικώτατον. ἐκ τούτου ἐκλήθη τὸ Σαρωνικὸν πέλαγος. ἔστι δὲ τῆς Παλαιστίνης, ᾧ πρόσκεινται πόλεις ἄλλαι πολλαὶ, καὶ Ἰώππη καὶ Λύδδα.

208,8 μὴ πάντας ἀνθρώπους δουλεύειν συγκεχωρηκότας ὅτι πάντες ἦσαν δουλεύοντες. διὰ δὲ τοῦ πάντ᾽ ἄνω καὶ κάτω τὴν μεταβολὴν ἐμφαίνει τῶν στοιχείων.

208,10 πᾶσι πόλεως πληρώμασιν πλήθεσιν. πληρώμασι λέγει ἀντὶ τοῦ τοῖς πλήθεσιν. ὅρα δὲ πῶς τὸ καθόλου περιλαμβάνει, ἵνα μὴ δοκῇ περὶ μόνων λέγειν τῶν ὁπλιτῶν.

208,12 τοὺς περὶ τῶν δικαίων λογισμοὺς δικαίους λέγει λογισμοὺς τοὺς τῆς πατρίδος καὶ τῆς σωτηρίας.

208,13 οὔκουν ἔγωγε, φησὶ, φεύγων ᾠχόμην εἰς Ἰταλίαν ὡς παρὰ Θεμιστοκλέους ὁ λόγος, λύοντος τὴν ἀντίθεσιν, ὅτι οὐ δεῖ φεύγειν, οὐδὲ τὰ νῶτα διδόναι. Ἰταλίαν δὲ εἶπεν αἰνιττόμενος, ὑπὲρ οὗ ἐκεῖ ἀπῆλθεν ὁ Πλάτων. φησὶ ὁ Θεμιστοκλῆς. οὐδ᾽ ἐκεῖ πόλιν ἠξίουν οἰκίζειν πόλιν οἰκίζειν λέγει, ὅτι ἔλεγεν ὁ Πλάτων ἐν τῇ ἐπιστολῇ τοῖς Σικελιώταις προβαλέσθαι τὸν Διονύσιον ἑαυτῶν βασιλέα, ἵνα ἡ πόλις ἀκέραιος μένῃ ἡ ἑαυτῶν, μὴ διὰ φιλονεικίαν ἐκεῖνος, φησὶ, πάντας ἀπολέσῃ, βαρβάροις ἐπίχαρτος γενόμενος.

208,14 καί τοι τῶν μάντεων κελευόντων τοῦτο δείκνυσιν αὐτὸν τῶν μάντεων σοφώτερον· καὶ γὰρ ἐν τοῖς Περσικοῖς παρῄνουν οἱ μάντεις εἰς Σικελίαν

ἀπελθεῖν.

208,17 τοῦτον τὸν χρόνον θαυμασίως εἶπε τὸν χρόνον, ἵνα δείξῃ τὴν ἀνάγκην.

209,1 εἰ δ’ οἷόν τε, καὶ ἐξ αὐτῆς τῆς θαλάττης ὑπὲρ τοῦ ῥοθίου φέρε τουτέστι καὶ ἐπὶ τῶν κυμάτων ἱστάμενος. φέρε δὲ λέγει τὴν ἀσπίδα.

209,3 τὸ εἰς τὰς τριήρεις μεταστῆσαι τὴν πόλιν μεταστῆσαι λέγει, ὃ εἶπεν ὄπισθεν μετασκευάσαι.

209,5 μεγαλοψυχίαν μεγαλοψυχίαν νῦν καταφρόνησιν λέγει, ὅτι κατεφρόνησαν τῆς πόλεως· οὐδὲ γὰρ περὶ χρημάτων πρόσκειται ὁ λόγος.

209,7 στρατοπέδῳ τῇ Σαλαμῖνι χρησάμενος οὐκ εἶπε πόλει, ἀλλὰ στρατοπέδῳ, τουτέστι σκηνῇ, ὅπου καὶ παρεσκευάζοντο πρὸς τὴν χρείαν.

209,8 τὸν αὐτὸν τρόπον, ὅνπερ οἱ πρότερον τῷ Μαραθῶνι τὸν Μαραθῶνα τῇ Σαλαμῖνι παρατίθησι, δεικνὺς ὅτι καὶ τότε τὴν πόλιν ἐξέλιπον, ἀλλὰ σοφίζεται· τότε γὰρ στράτευμα μόνον ἐξῆλθεν.

209,9 εἵς τε τὴν πόλιν ἦγεν εὐθὺς αὐτοὺς ἄνω ἄνω εἶπεν, ὅτι κάτω δοκεῖ ἡ θάλαττα, εὐθὺς δὲ τὸν ἔρωτα δηλῶν, ὃν εἶχε περὶ τὴν πόλιν ὁ Θεμιστοκλῆς.

209,10 ὥς φασιν οἱ ἐξηγηταὶ εἰς τὸν Θουκυδίδην αἰνίττεται· ταῦτα γὰρ ἐν τῇ πεντηκονταετίᾳ φησίν. εἰπὼν δὲ τὸ μόνος ἐξ ἁπάντων εἰς τὴν ἀπάτην αἰνίττεται τοῦ Θεμιστοκλέους.

209,12 κατὰ ποίαν τύχην ἀντὶ τοῦ κατὰ ποίαν συμφοράν. ἐν γὰρ ταῖς συμφοραῖς αἱ φυγαὶ γίνονται

209,13 παρὸν ἥντινα βούλωνται χώραν καὶ πόλιν λαβεῖν αὐτοὺς εἰς τἀρχαῖα ἐπανῆγε καὶ τοῦτο γάρ ἐστιν ἀρετὴ, τὸ μετὰ νίκην μὴ ὀρέγεσθαι τῶν μειζόνων.

209,15 πρὸς Διὸς, ὦ Πλάτων, εἰ δὲ δὴ σοῦ τις ἐκ τῶν ἐναντίων λαμβάνει τὴν ἀπόδειξιν, ὅπερ ἐστὶ ῥητορικώτατον.

209,16 ὅσα δὴ διέπλεις ἐν ὁλκάσι τὴν θάλατταν χάριεν τὸ ὁλκάσιν, ἵνα δείξῃ ὅτι οὐχ ἵνα ναυμαχήσῃ, ἀλλ᾽ ἵνα ψιλῶς πλεύσῃ. περὶ τὴν Χάρυβδιν δεινῶς εἶπε τὴν Χάρυβδιν, τὸ μέγεθος τοῦ κινδύνου δηλῶν. ταύτην καὶ ὁ ποιητὴς λέγει, καὶ ὁ Θουκυδίδης ἐν τῇ τετάρτῃ, μεταξὺ τῆς Σικελίας καὶ ᾽Ιταλίας.

209,18 δυσχεραίνων μισῶν. δυσχεραίνων τὰ ναυτικὰ τουτέστι μισῶν τὰ ναυτικά. τοῖς ὁπλίταις Λακεδαιμονίοις.

209,19 ἅτε ὢν μουσικὸς ἐπειδὴ τὸ ὦ μοχθηρὲ χαμαιζηλῶν ἀνθρώπων ἐστὶ καὶ οὐ προσῆκον παρ᾽ ἀνδρῶν φιλοσόφων λέγεσθαι, τὸ δὲ δαιμόνιε θεῖον καὶ φιλοσόφοις ἁρμόζον, ἔθος δὲ καὶ τῷ Πλάτωνι ἐν τοῖς διαλόγοις τούτῳ τῷ ῥήματι χρῆσθαι, διὰ τοῦτο λέγει τὸ ἅτε ὢν μουσικὸς, τουτέστιν ὑπερηρμένος καὶ θεῖος καὶ οὐ φρονῶν ἀνθρώπινα· τοιοῦτον γὰρ τὸ τῆς μουσικῆς χρῆμα, ἐπειδὴ καὶ τὸ πᾶν τοῦτο ἐμμελῶς καὶ ἡρμοσμένως τέτακται.

210,1 ὦ μοχθηρὲ μελαγχολᾷς τὸ μελαγχολᾷς εἴωθε λέγειν ὁ Πλάτων πρὸς τοὺς ἀντιλέγοντας αὐτῷ. ὥσπερ δὲ ἐπιπλήττει αὐτῷ, ὅτι ὀργίλος ἐστὶ, φιλόσοφος ὢν, πρὸς τοὺς διαλεγομένους αὐτῷ. εἶπες δ᾽ ἂν οὐτωσί πως ἠθικῶς ὁ ῥήτωρ διδάσκει αὐτὸν πῶς ἐχρῆν ἀποκρίνεσθαι.

210,2 οὐδ᾽ ἐν γήρᾳ ναυτίλλεσθαι μεταμανθάνων καθάπτεται αὐτοῦ ὅτι καὶ τοῦ γήρως κατεφρόνησε. τὸ δὲ μετὰ ἀντὶ τοῦ μετὰ τὴν ἡλικίαν. ὅρα πῶς τὴν ἀνάγκην τῆς ναυμαχίας προσβάλλεται.

210,5 καὶ μὴν οὐδ᾽ ἐκεῖνό τις ἂν φήσειεν, ὡς ὑπὲρ μὲν λύσις τοῦ ἀντιπίπτοντος. τοῦ ἀντιπίπτοντος λύσις· ἀλλ᾽ ὑπὲρ φίλου ἔπλεον.

210,6 μήτε τὸ πολλάκις ἐξηπατῆσθαι ἀποτυχεῖν. τὴν ἀποτυχίαν ἀπάτην ἐκάλεσε τοῦ Πλάτωνος· οὐ γὰρ ἐβασίλευσεν ὁ Διονύσιος ὥσπερ ἐσπούδαζεν ὁ Πλάτων. πολλάκις γὰρ πλεύσας, ἐφ᾽ ᾧ καταστήσασθαι Δίωνι καὶ τῷ ἐκείνου παιδὶ τὰ πράγματα, ἄπρακτος ἀνεχώρησεν.

210,7 ὑπὲρ δὲ τῆς Ἑλλάδος καὶ τοσούτων πραγμάτων οὐκ ἆρ᾽ ἔδει ταῖς ναυσὶ χρήσασθαι θαυμασίως ἀντέθηκε Δίωνι τὴν Ἑλλάδα καὶ ταῖς ὁλκάσι τὸ ναυτικόν.

210,9 ὁ δέ γε Βελλεροφόντης, ὦ ἄριστε λύσις ἀπὸ παραδείγματος. ἡ λύσις ἀπὸ παραδείγματος κατὰ μετάληψιν· μεταλαμβάνει γὰρ τὸν τρόπον τῆς μάχης, ὅτι οὐ φαύλως ἐγένετο. εἴληφε δὲ τὸ παράδειγμα συγκριτικῶς ἐξ ὑπερβολῆς, ὅτι καὶ ὁ Βελλεροφόντης οὐκ ἀπὸ γῆς ἐμάχετο, ἀλλ᾽ ἀπὸ τοῦ ἀέρος.

210,10 καὶ ὅμως οὐκ ἔδοξε δειλὸς εἶναι οὐχ ὁ τρόπος, φησὶ, παρατάξεως δειλίαν αὐτοῦ κατηγόρηκε.

210,11 κἂν εἰ τὸν Δαίδαλον οἷός τ᾽ ἦν μιμήσασθαι θαυμασίως ὁ ῥήτωρ ἐξαλλάττει τὰ παραδείγματα.

210,13 ἢ κἂν εἰ μάχην πεζὴν μέλλων συνάψειν ἐκ τῶν ὑψηλοτέρων ἐπῄει, δειλίαν ὀφλήσειν ἔμελλε ἐρωτηματικὸν τὸ χωρίον· ἆρα, φησὶ, πεζομαχῶν ὁ Θεμιστοκλῆς, ὃ σὺ θαυμάζεις, ἐκ τῶν ὀρέων ἐμάχετο, τὸ ἰσχυρὸν δεχόμενος ἐξ αὐτῶν, δειλὸς ἦν διὰ τὸν τρόπον τῆς μάχης.

210,14 Λακεδαιμονίους δέ γε αὐτὸς σὺ φῂς τὴν ἐν Πλαταιαῖς λεληθότως Λακεδαιμονίων καθάπτεται, ὅτι πρὸς Πέρσας μαχόμενοι ἐνήλλαττον τὴν τάξιν· καὶ δοκεῖ μὲν παραδείγματι χρῆσθαι, δειλίαν δὲ κατηγορεῖ αὐτῶν. τούτου μέμνηται καὶ ἐν τῷ τέλει τοῦ δευτέρου μέρους τοῦ Παναθηναϊκοῦ.

210,15 ἀλλ᾽ ὑπάγειν τοὺς Πέρσας πρὸς τὸ συμφέρον αὐτοῖς ἀντὶ τοῦ ὑπαναχωρεῖν· ἵνα μὴ καταντικρὺ τῶν Περσῶν ὦσι. λαθραίως φέρειν, οἳ ἂν κάλλιστα τὴν μάχην ἔμελλον ἐργάσασθαι.

210,16 ἐῶ γὰρ Σκύθας, ὅσα δὴ φεύγοντες νενικήκασιν παράδοξον εὗρε παράδειγμα, τὸ τῶν Σκυθῶν, ὅτι καὶ φεύγοντες νικῶσιν· ὅ ἐστι φυγὴ τρόπος νίκης. λέγεται δὲ περὶ τῶν Σκυθῶν ὅτι φεύγοντες ἐνίκων τοὺς πολεμίους. ἢ ὡς λέγει ἐν τῇ τετάρτῃ Ἡρόδοτος, ὅτι ἐνταῦθα ἑώρων ἐπικρατεστέρους τοὺς πολεμίους λαμβάνοντες ἐκ τῆς χώρας, ὅσων ἐδέοντο, τὰ δὲ λοιπὰ ἔκαιον, ἵνα ἄχρηστα γένωνται τοῖς ἐχθροῖς. ἐπολέμει δέ ποτε ὁ Δαρεῖος τοῖς Σκύθαις. ἀμαξόβιοι ὄντες οὗτοι καὶ καταδιωκόμενοι ὑπ᾽ αὐτοῦ εἰς τὰ ἐντὸς τῆς χώρας ἔφευγον. διώκων οὖν ἐπὶ πολὺ Δαρεῖος ὤκνησεν. ἦσαν δὲ οἱ Σκύθαι πέμποντες ὀπίσω αὐτοῦ,

ἐπὶ τῷ κατακαίειν τὸν σῖτον καὶ τὰ δένδρα. τοῦτο ἐπὶ καλῷ καὶ κακῷ ἐγένετο Δαρείῳ· ἐπὶ καλῷ μὲν, ὅτι κεκαυμένων τῶν ἐν τῇ ὁδῷ, καὶ ἀκολουθῶν τούτοις εὗρε τὸν τόπον, ἔνθα αὐτοῦ ἦσαν αἱ τριήρεις· ἐπὶ κακῷ δὲ, ὅτι ἀναχωρῶν ἀπὸ τῆς διώξεως τῶν Σκυθῶν οὐκ εἶχε τὰ πρὸς τροφὴν ἐπιτήδεια, ἢ ποῦ δεῖ αὐτὸν καταλῦσαι, πάντα γὰρ ἦσαν ἐμπρήσαντες οἱ Σκύθαι. παραδόξως εὗρε παράδειγμα τὸ τῶν Σκυθῶν, ὅτι καὶ φεύγοντες νικῶσιν. ὁ γὰρ Δαρεῖος ἐπολέμησέ ποτε Σκύθαις. ἀμαξόβιοι δὲ ὄντες οὗτοι καὶ καταδιωκόμενοι ὑπ᾽ αὐτοῦ εἰς τὰ ἐντὸς τῆς χώρας ἔφευγον. διώκων οὖν ἐπιπολὺ Δαρεῖος ὤκνησεν· οἱ δὲ Σκύθαι πέμποντες ὀπίσω αὐτοῦ κατέκαιον τὸν σῖτον καὶ τὰ δένδρα. τοῦτο δὲ ἐπὶ καλῷ καὶ κακῷ τῷ Δαρείῳ· ἐπὶ καλῷ μὲν, ὅτι κεκαυμένων τῶν ἐν τῇ ὁδῷ, ἀκολουθῶν τούτοις εὗρε τὸν τόπον, ἔνθα ἦσαν αὐτοῦ αἱ νῆες· ἐπὶ κακῷ δὲ, ὅτι ἀναχωρῶν ἀπὸ τῆς διώξεως τῶν Σκυθῶν οὐχ εὕρισκε τὰ πρὸς τροφὴν ἐπιτήδεια.

210,18 εἰ μὲν τοίνυν αὐτοῦ γνώμῃ μόνον περὶ τούτων ἐπὶ τὴν μείζονα ἦλθεν ἀπόδειξιν, τὴν μαντείαν τοῦ Ἀπόλλωνος, Δημοσθενικῶς τὰ ἰσχυρὰ τῶν πραγμάτων τελευταῖα τηρῶν.

211,1 ἐγὼ μὲν ὀκνῶ λέγειν, πᾶς δ᾽ ἄν τις συνίοι τὸ λοιπὸν ἀντὶ τοῦ καὶ αὐτοῦ τοῦ θεοῦ κατηγορεῖ αὐτός. ἐν ταὐτῷ δὲ καὶ τὸ βλάσφημον ἔδειξε Πλάτωνος, καὶ τὸ ἄτοπον ἐσιώπησεν.

211,2 ὅταν μὲν δέῃ Σωκράτη σοφώτατον εἶναι δοκεῖν ἐπειδὴ μέγα ἐφρόνει ὁ Πλάτων ἐπὶ τῇ μαντείᾳ Σωκράτους, ἔνθα λέγει ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτερος, εἰκότως καὶ ἐπὶ Θεμιστοκλέους Ἀπόλλω ποιεῖ μάρτυρα.

211,3 εἰς ἀξιόχρεων μάρτυρα ἀνοίσομεν τὸν θεὸν τὸν ἐν Δελφοῖς οὐχ ἁπλῶς ἡ προσθήκη τοῦ ἐν Δελφοῖς, ἀλλὰ ἐπειδήπερ δοκεῖ καὶ ἄλλα μαντεῖα εἶναι, τοῦτο δὲ ἀληθέστερον τὸ ἐν Δελφοῖς, τοῦτο ἴσως προσέθηκεν. ἔχομεν δὲ καὶ Ἡρόδοτον τούτῳ τῷ μαντείῳ μαρτυροῦντα ἀκρίβειαν.

211,4 τοῖς λογίοις ἰσχυριούμεθα, ἃ Χαιρεφῶν καὶ ὀλίγοι τινὲς ᾔδεσαν, οἷς ἔμελε Σωκράτους σημαίνει ὡς ἐκεῖνοι τὰ ἔπη ἔλεγον διὰ φιλίαν. ψευδὴς δὲ ἦν ὁ

χρησμός. λεληθότως δὲ διαβάλλει τὸ χρησθὲν, ὅτι οὐ πολλοὶ ᾔδεσαν αὐτὸ, ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ καὶ οἷς ἔμελεν αὐτοῦ.

211,5 κοινότατα ἀντὶ τοῦ φανερώτατα καὶ πάσῃ τῇ Ἑλλάδι δηλωθέντα, οὐκ ἐν μέρει τισίν. οἷς ἅπαντα τὰ μέλλοντα ἠκολούθησε ἐκ τοῦ τέλους καὶ τῶν ἀποβάντων ἀπέδειξε τὸ συμφέρον τῆς ναυμαχίας.

211,7 ὅπου γὰρ ταυτὰ ἔδοξεν ἐκείνῳ καὶ τῷ θεῷ ὥσπερ ἴσον καὶ τῷ Ἀπόλλωνι ἀποδείκνυσι τὸν Θεμιστοκλέα.

211,9 ὃ πάντες θρυλλοῦσι οὐχ ἁπλῶς ὃ λέγουσιν, ἀλλ᾽ ὃ θρυλλοῦσι, τουτέστιν ὃ θαυμάζουσι.

211,10 ἀλλ᾽ ὥσπερ ἐπισφραγίζεται τὴν γνώμην τῇ προσθήκῃ ἐπειδὴ ἀμφίβολον ἦν τὸ ξύλινον τεῖχος, καὶ οὔπω τοῦ Θεμιστοκλέους ἐγκώμιον, ἀδήλου τοῦ χρησμοῦ ὄντος, διὰ τοῦτο ἐπαγωνίζεται. γνώμην δὲ εἶπεν, ὥσπερ δεῖξαι βουλόμενος καὶ μάντιν τοῦ Θεμιστοκλέους ὄντα τὸν θεόν.

211,11 μοῦνον ἀπόρθητον τελέθειν τὸ ἀπόρθητον λύει τὴν πλάνην· μὴ τούτου γὰρ λεχθέντος οὐκ εἶχον συμβαλεῖν εἴτε κατὰ γῆν εἴτε κατὰ θάλατταν ἔδει μάχεσθαι· νῦν δὲ ἡ τούτου προσθήκη τὴν κατὰ θάλατταν νίκην αὐτοῖς ἐπηγγέλλετο· ᾔδεσαν γὰρ ἀκριβῶς ὡς πάντα τὰ ἐν τῇ γῇ καθάπαξ ἀφανισθήσεται. δέον δὲ εἰπεῖν λέγοντος, τοῦ χρησμοῦ δηλονότι, λεγόντων εἶπε πρὸς τὸ σημαινόμενον· τί γὰρ ἄλλο ὁ χρησμὸς ἢ λόγοι θεῖοι; ἄλλος θ᾽ ὅτε καὶ ἄνω εἶπε· τίν᾽ οὖν ἦν τὰ χρησθέντα.

211,13 μηδὲ τρυφῶσιν καταφρονοῦσι. ἀντὶ τοῦ καταφρονῶσιν· οἱ γὰρ τρυφῶντες καταφρονοῦντες τοῦ σπουδάζειν τοῦτο ποιοῦσι.

211,14 ἅτ᾽ ὢν μουσηγέτης ὁ θεὸς καὶ λέγειν ἄριστος δήπου οὐ μόνον μάντιν δείκνυσι τὸν θεὸν, ἀλλὰ καὶ ῥήτορα, μουσηγέτην εἰπὼν, τουτέστιν ἡγεμόνα Μουσῶν.

211,16 ἀλλὰ καὶ τοὺς ὕστερον μέλλοντας ἔσεσθαι ἐκ τοῦ ἀορίστου αὔξει τὸν ἔπαινον τοῦ Θεμιστοκλέους· σωθέντος γὰρ τοῦ Ἑλληνικοῦ ἀνάγκη καὶ τοὺς μέλλοντας ἔσεσθαι ἐξ αὐτῶν σώζεσθαι.

211,17 οὕτω συνεκληρώθησαν τῇ τύχῃ τῆς πόλεως αἱ τριήρεις οὐ μόνον εἰς τὸν θεὸν ἄγει τὸ ναυτικὸν, ἀλλὰ καὶ εἰς τὴν εἱμαρμένην. εἴ ποτε γὰρ εὖ πράττοιεν, κατὰ ταύτας εὖ πράττειν αὐτοῖς περιῆν ὅλως εἰ γάρ ποτε ηὐτύχουν, διὰ τῶν νεῶν καλῶς ἔπραττον.

212,1 καὶ οὐδ' ἐνταῦθ' ἔστη τῆς δημηγορίας οὐκ εἶπε τῆς μαντείας, ἀλλὰ τῆς δημηγορίας, ὡς φανερᾶς τοῖς Ἕλλησι γενομένης τῆς μαντείας, καὶ ὡς ῥήτορα δεικνὺς αὐτόν.

212,2 ἀλλ' ὥσπερ προκαταλαμβάνων καὶ ὥσπερ ὑποτεμνόμενος τὰς Πλάτωνος ἐπιτιμήσεις χαριέντως δείκνυσι τὸν θεὸν προμαθόντα τὰς τοῦ Πλάτωνος διαβολάς. τὰς Πλάτωνος ἐπιτιμήσεις διαβολάς.

212,3 λέγων ἐκ τοῦ εὐθέος ἤδη τουτέστιν ἐκ τοῦ σαφοῦς καὶ μὴ πλαγίου καὶ ποικίλου, ἐπειδὴ δόξας ἐφθέγγετο ὁ θεός. μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ—ἔτι τοί ποτε κἀντίος ἔσσῃ ἐπειδὴ ὁ Πλάτων ἔλεγεν ὅτι τὴν θάλασσαν τῆς γῆς προετίμησεν ὁ Θεμιστοκλῆς, φησὶν ὁ Ἀριστείδης ὅτι, ὥσπερ προειδὼς ὁ θεὸς τὰς μελλούσας παρὰ Πλάτωνος γίνεσθαι ἐπιτιμήσεις, διὰ τοῦτο εἶπεν ἐν τῷ χρησμῷ· μήτε σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ἀναχωρεῖν. εἶτα τέλος ἄλλου στίχου· ἔτι τοί ποτε κἀντίος ἔσσῃ. τὸ δὲ μένειν ἀντὶ τοῦ μὴ μένε ἀπαρέμφατον ἀντὶ προστακτικοῦ· Ἀττικὸν δὲ τὸ ἔθος.

212,5 καὶ ἔγωγε ἡδέως ἂν ἐροίμην τοὺς τὰς βαθείας ἐλεγκτικὸν τὸ σχῆμα. τοὺς τὰς βαθείας ὑπήνας ἕλκοντας, ἔφη τις τῶν κωμικῶν ἐπειδὴ οἱ φιλόσοφοι κομῶντες τὸ γένειον ἀεὶ κατέχουσι καὶ ἕλκουσιν αὐτὸ, διαβάλλει αὐτοὺς Ἀριστοφάνης· τὸ δὲ σχῆμα ἐλεγκτικόν. τὰς βαθείας ὑπήνας ὑπήνη αἱ ὑποκάτω τοῦ γενείου τρίχες· ἀπὸ τοῦ ὑπεῖναι, ἤγουν ὑποκεῖσθαι τῷ γενείῳ· οἱ δὲ παρὰ τὸ ἵημι, οὗ ὁ μέλλων ἥσω, ἥνη, καὶ ὑπήνη, παρὰ τὴν ἔσιν τῶν τριχῶν. ἐν δὲ τῷ ῥηματικῷ εὗρον ὅτι σημαίνει μύστακα, γένειον, πώγωνα καὶ τὴν ἄνω τοῦ χείλους τρίχωσιν.

212,6 μέχρι τούτου ἀντὶ τοῦ μέχρι τοῦ ἕλκειν τὰς ὑπήνας φιλοσοφούντων. μέχρι τούτου τὸν Πλάτωνα σεμνύνοντας τοῦτο λέγει, ἢ ὅτι καὶ Πλάτων βαθὺν πώγωνα εἶχεν, ἢ ἐπειδὴ ὁ Πλάτων προστάτης ἦν τῆς φιλοσοφίας,

ταύτην εἰς ὕψος ἄρας, διὰ τοῦτο ἀντὶ τοῦ εἰπεῖν τὴν φιλοσοφίαν τὸν Πλάτωνα εἶπεν.

212,10 οὐ σοφοῦ πρᾶγμα ἔμελλε πείσεσθαι βαρὺ τὸ ῥῆμα ὡς πρὸς Πλάτωνα λεγόμενον. πρὸς Πλάτωνα λεγόμενον.

212,12 δυοῖν γὰρ τῶν ἐσχάτων ἀπόδειξις ἦν γράφεται καὶ σύμβολον ἦν.

212,16 σταθήτωσαν παρὰ τὸν τρίποδα τὸν ἐν Δελφοῖς, ὃν Ἕλληνες ἀπὸ τῶν βαρβάρων ἀνέστησαν ὡς ἄλλο, φησὶν, ἀνάθημα, καὶ τοῦτο σταθήτω. τὸ δὲ ἀπὸ τῶν βαρβάρων ἀντὶ τοῦ ἀπὸ τῶν βαρβαρικῶν λαφύρων. ἢ ἐχέτωσαν τιμὰς τὰς αὐτὰς τῷ Ἀπόλλωνι, ἤγουν ἐκ τοῦ τοὺς βαρβάρους καταπολεμῆσαι καὶ τἀκείνων λαβεῖν.

212,17 ἀλλὰ μὴν οὐκ ἦν πρὸς δαίμονα φωτὶ μάχεσθαι αὐτὸς προλαμβάνει τὴν ἀπόκρισιν, ὡς ἀδύνατον τὸν Πλάτωνα πρὸς τὸν Ἀπόλλωνα μάχεσθαι. δεινῶς δὲ εἶπε τὸ τελευτώντων, δεικνὺς ὅτι Πλάτων τοὺς ἀποθανόντας προτιμοτέρους ποιεῖται τῶν ζώντων. φασὶ δὲ ὅτι, καὶ ὅτε ἐτελεύτα τις, ἐπυνθάνοντο τῆς Πυθίας οἵας ἦν ἄξιος τιμῆς ὁ ἀπελθών. ἀλλὰ καὶ ὁ Πλάτων ὑποτιθέμενος πόλιν φησὶν οὕτως, ἐάν τις ἀποθάνῃ, ἐρωτᾶν τὴν Πυθίαν δεῖ εἰ ἄξιός ἐστιν ὁ τελευτήσας τιμῶν.

212,20 ὑπὲρ τῆς τῶν ζώντων σωτηρίας ἐνταῦθα δηλοῖ σαφῶς τὸ ἀντικείμενον· τοῖς γὰρ τελευτήσασιν ἀντέθηκε τοὺς ζῶντας.

212,21 τῷ πεισθέντι θαυμασίως τῷ πεισθέντι· πρώην γὰρ αὐτὸν σύμβουλον εἶπε τῶν Ἑλλήνων, νῦν δὲ πειθόμενον τῷ Ἀπόλλωνι μέσον αὐτὸν δείκνυσι τοῦ θεοῦ καὶ ἀνθρώπων.

213,1 σχεδὸν εἰς μόνον τὸν Θεμιστοκλέα τῇ προσθήκῃ τοῦ σχεδὸν ἐκόλασε τὸ παράδοξον τοῦ νοήματος.

213,3 τῷ παρόντος τοῦ πολέμου πεῖσαι ναυμαχεῖν καὶ γὰρ τὸ πεῖσαι μὴ δειλιᾶν τοὺς φοβουμένους μέγα ἐστὶ κατόρθωμα.

213,4 εἴτε γὰρ ἐποιήθησαν ἐξ ἀρχῆς αἱ τριήρεις ἕκαστον λοιπὸν τῶν τριῶν λέγει, πῶς χρήσιμον ἦν. ὥσπερ δὲ ἀντιπῖπτον λύει, ἵνα μὴ εἴπῃ τις· ἀλλ' ἦν ἄλλο ναυτικόν· ἑκατὸν γὰρ ἦσαν αἱ πᾶσαι νῆες τῆς Ἑλλάδος.

213,6 στήσασθαι συστήσασθαι καὶ πολεμῆσαι. συστήσεσθαι ἀντὶ τοῦ πολεμεῖν· σύστασις γάρ ἐστιν ὁ πόλεμος.

213,8 ἄλλον δέ τινα αὐτοῖς ἔδοξε τρόπον τὸν πόλεμον διαφέρειν ποῖον δὲ τούτου τὸ κατ᾽ ἤπειρον πολεμῆσαι.

213,9 ἥ γε φύσις τῆς θαλάττης τὰ στενὰ λέγει, ἔνθα ἐποίησεν ὁ Θεμιστοκλῆς τὴν ναυμαχίαν. ἄχρηστον τὸ πλῆθος τῶν νεῶν τοῖς βαρβάροις ἐποίησε τὸ τρίτον γὰρ αὐτῶν τοῦ πλήθους ἀπώλετο.

213,12 στησάμενος τὴν ναυμαχίαν κατιόντος τοῦ πνεύματος οὕτω, φησὶν, ἔστησαν τὰς ναῦς ὥστ᾽ ἔχειν τὸν βορέαν ὄπισθεν, ἵνα προσβαλὼν τοῖς Πέρσαις ὀξέως ἐπέλθοι. τοῦτο δέ φησιν ἀπὸ τοῦ μύθου, ὅτι ὁ Βορέας ἐραστὴς ὢν Ὠρειθυίας κόρης Ἀττικῆς συνέπραξε τοῖς Ἀθηναίοις. τούτου δὲ ὁ Ἡρόδοτος οὐ μέμνηται, βούλεται δὲ ῥητορικῶς βιαζόμενος καὶ τὴν νίκην Φορμίωνος ἀναγαγεῖν εἰς Θεμιστοκλέα.

213,15 τίνα δὴ τἀπὶ τούτοις ἐφθέγξατο ὁ θεός; διὰ τοῦ εἰπεῖν ἐφθέγξατο τὸ σαφὲς δηλοῖ τῆς μαντείας.

213,17 ὁ μὲν τοίνυν θεὸς θείαν τὴν Σαλαμῖνα προσεῖπεν, —ἢ κατὰ πάντα τἀνθρώπινα κατασκευάζει λοιπὸν ὅτι ἐκ τῶν μελλόντων ἔργων ἐν αὐτῇ γενέσθαι θείαν αὐτὴν εἶπεν, ἵνα μή τις εἴπῃ· ἀλλ᾽ ὡς θαυμαστὴν οὖσαν τὴν νῆσον θείαν ἐκάλεσεν. ὡς ἐν αὐτῇ μελλόντων ἔργων ἔσεσθαι κρειττόνων ἢ κατὰ πάντα τἀνθρώπινα τουτέστι μελλόντων τῶν Ἑλλήνων ἐκεῖ νικᾶν τὸν βάρβαρον.

213,18 τὸν ταῦτα κατειργασμένον ἐμφαντικόν ἐστι τὸ ταῦτα ἀντὶ τοῦ τὰ θεῖα προστάγματα. ὁ μὲν Ἴακχος ἐξεφοίτησε καὶ μετέσχε τῶν δρωμένων ἐκ τοῦ ἱεροῦ ἐξῆλθε πρὸς τὸ μετασχεῖν τῆς ναυμαχίας. τοῦτον λέγουσιν υἱὸν Δήμητρος εἶναι, τὸν δὲ αὐτὸν καὶ Διόνυσον. τῇ δὲ συμμαχίᾳ τῶν θεῶν αὔξει τὸν ἔπαινον Θεμιστοκλέους· οὗτος γὰρ λέγεται παρεῖναι αὐτοῖς ἐν τῇ ναυμαχίᾳ. σεμνύνει δὲ καὶ τὴν ναυμαχίαν· εἰ μὴ γὰρ ἦν καλὸν, οὐκ ἂν ὁ θεὸς συνέπραττεν αὐτῇ· καλὴ δὲ ἡ προσθήκη τοῦ ἐξεφοίτησε· δείκνυσι γὰρ ὅτι καταλιπὼν τὸ τέμενος ἐπεθύμησε κοινωνῆσαι τῆς ναυμαχίας. τοῦτον λέγουσιν υἱὸν Δήμητρος εἶναι, τὸν δὲ αὐτὸν καὶ Διόνυσον· ἄλλοι

δὲ παῖδα Διονύσου. ἡ δὲ ἱστορία τοιαύτη· λέγουσιν ὅτι καταλιπὼν τὸ τέμενος ἐπεθύμησε κοινωνῆσαι τῆς ναυμαχίας· ὅτε γὰρ ἔμελλεν ἡ ναυμαχία γίγνεσθαι, φωνή τις ἐδόθη ὑπὸ τοῦ Ἰάκχου, καὶ οἱ μὲν μεμυημένοι ἤκουσαν, οἱ δὲ ἀμύητοι ᾔσθοντο· τῷ δὲ καὶ ἀπὸ τῆς Ἐλευσῖνος ὥσπερ κονιορτὸν ἐλθεῖν ἐπὶ τὴν Σαλαμῖνα ἐνομίσθη, ὅτι ἡ Δημήτηρ καὶ ἡ κόρη ἦλθον συμμαχῆσαι τοῖς Ἕλλησιν.

214,1 νέφη παρὰ ταῖν θεαῖν εἰς τὴν ναυμαχίαν ἐγκατέσκηψε ὅτε ἤμελλεν ἡ ναυμαχία γίνεσθαι, φωνή τις ἐδόθη ὑπὸ τοῦ Ἰάκχου. καὶ οἱ μὲν μεμυημένοι ἤκουσαν, οἱ δὲ ἀμύητοι ᾔσθοντο. τὸ δὲ καὶ ἀπὸ τῆς Ἐλευσῖνος ὥσπερ κονιορτὸν ἐλθεῖν ἐπὶ τὴν Σαλαμῖνα ἐνομίσθη, ὅτι ἡ Δημήτηρ καὶ ἡ Κόρη ἦλθον συμμαχῆσαι τοῖς Ἕλλησιν. εἶπε δὲ νέφη εἰς τὴν ναυμαχίαν ἐγκατασκῆψαι· ἡ γὰρ Κόρη καὶ ἡ Δημήτηρ ἔπεμψαν τὰς νεφέλας ὕστερον, ἵνα καὶ διὰ τοῦ χειμῶνος φοβήσωσι τοὺς βαρβάρους. παρὰ ταῖν θεαῖν τῇ Ἀθηνᾷ καὶ Ἥρᾳ.

214,2 τιμῶντες ἔργῳ Θεμιστοκλέα τὴν φιλανθρωπίαν τῶν θεῶν τιμὴν Θεμιστοκλέους ἐκάλεσε. τὸ δὲ ὅμοιον πεποίηκεν ἐν τῷ Μιλτιάδῃ.

214,3 καὶ ἡ προσηγορία τῇ Σαλαμῖνι πανταχόθεν ἠκριβοῦτο καὶ κατέστη θεία τοῖς ἅπασι διὰ γὰρ τὸ εὐτυχῆσαι τοὺς Ἕλληνας ἐκεῖ εἰκότως θεία ἡ Σαλαμὶς ὠνομάζετο.

214,5 ὁ θεὸς τὴν ναυμαχίαν θείαν δι᾽ ἐκείνης προσεῖπε θαυμασίως κατασκευάζει, ὅτι ἡ ναυμαχία θεία παρὰ τῷ Θουκυδίδῃ ἐκλήθη.

214,6 Πλάτων δὲ, ὡς ἔοικεν, ἀναίνεται τὴν νίκην ἀντὶ τοῦ ἀποστρέφεται. ὅρα δὲ πῶς οὐκ εἶπε τὴν ναυμαχίαν, ἀλλὰ τὴν νίκην ὠνόμασε παρὰ τοῖς πᾶσι ποθουμένην.

214,7 ταῦτα ἀντὶ τοῦ τὰ θεῖα προστάγματα.

214,10 τὸν ἐπαλείψαντα τῇ μίλτῳ τὰς ναῦς ἀντὶ τοῦ χρίσαντα. τοιαῦται γὰρ ἦσαν αἱ τοῦ Ὀδυσσέως, ὡς Ὅμηρος «Τῷ δ᾽ ἅμα νῆες ἕποντο δυοκαίδεκα μιλτοπάρῃοι.» ὅρα δὲ πῶς διέσυρε τὸ ἔργον τοῦ Ὀδυσσέως, σιωπήσας αὐτοῦ τὸ κατόρθωμα. εἰ γὰρ ὁ μὲν Ζεὺς ἐδίδου τῇ Ἀθηνᾷ δωρεὰν τὰς

ναῦς εἶπε γὰρ ὁ χρησμὸς «Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ
εὐρύοπα Ζεύς.»

214,11 ὁ δ᾽ ἐξ ἀρχῆς πρὸς ταῦθ᾽ ἥρμοστο καλῶς εἶπε τὸ ἐξ ἀρχῆς, ἵνα μὴ δόξῃ τοῦ θεοῦ τὸ ἔργον. εἶτα ἐπήγαγεν ἥρμοστο, δεικνὺς ὅτι καὶ προῄδει, καὶ παρὰ τὴν χρείαν ὅμοιος ἦν τῷ θεῷ.

214,13 πῶς ἄν τις μᾶλλον μεγαλοπρεπείᾳ παρὰ καιρὸν ἐχρήσατο; καὶ ἐπαινεῖ τὸν Πλάτωνα τῷ εἰπεῖν μεγαλοπρεπείᾳ, καὶ ψέγει τῷ λέγειν παρὰ καιρὸν αὐτὸν λέγειν ὃ βούλεται.

214,17 ἐκρίνετο ἐν τῷ Ἀπόλλωνι τῷ Πυθίῳ καλῶς πάλιν τὸν Ἀπόλλω δέχεται δικαστὴν, τὸν καὶ μαντείας ὄντα κύριον.

214,19 ἀλλ᾽ ἄτοπον προειπεῖν μὲν αὐτὸν ταῦτα καὶ χρῆσαι, τοῦ δὲ ὑπακούσαντος καταψηφίζεσθαι πάλιν τὸν Ἀπόλλωνα δείκνυσιν αἴτιον, ἀλλ᾽ οὐ τὸν Θεμιστοκλέα· ὁ μὲν γὰρ προσέταξεν, ὁ δὲ ἐπείσθη τῷ θεῷ.

214,21 εἰς τὸν Ἀπόλλω τὸ ἔργον ἀνενεγκόντα εἰπὼν γὰρ ὅτι κατὰ κέλευσιν τοῦ Ἀπόλλωνος ἐφόνευσε τὴν μητέρα ἀπελύθη. ἢ που τόν γε παρ᾽ αὐτῷ τῷ Ἀπόλλωνι φεύγοντα, ὑπὲρ ὧν μετ᾽ ἐκείνου κατέπραξεν, οὐδεὶς λόγος ἦν ἁλῶναι πολλάκις γὰρ κρινομένων τινῶν ἔπεμψεν ἡ Πυθία κελεύουσα αὐτοὺς ἀπολυθῆναι τῆς κρίσεως.

215,1 ὃν οὐκ ἦν ἑλεῖν παρὰ τῷ θεῷ κριτῇ, τούτου Πλάτων ἠξίωσε κατηγορεῖν; ἔθος τῷ Ἀριστείδῃ, ὥσπερ καὶ Δημοσθένει τοῦτο, ὅτε λάβῃ τὸ καθ᾽ ὑπόθεσιν καὶ δείξῃ αὐτὸ ἀληθὲς, λοιπὸν ἐπάγειν αὐτῷ συμπέρασμα· ὥσπερ καὶ ἐνταῦθα πεποίηκεν, εἰρηκὼς ὅτι, εἰ ἐκρίνετο Θεμιστοκλῆς παρὰ τῷ Ἀπόλλωνι, ὡς κακῶς πεποιηκὼς ἐν Σαλαμῖνι τὴν ναυμαχίαν, πῶς οἷόν τε ἦν τὸν Ἀπόλλωνα Θεμιστοκλέους καταψηφίζεσθαι, ὡς κακῶς ἐγχειρίσαντος, ὅστις καὶ αὐτὸς ἦν μαντευσάμενος ἐκεῖ πολεμῆσαι τοὺς Ἕλληνας. εἶτα ὡς ἀπέδειξεν ὅτι ἀληθές ἐστιν, ἐπήγαγε συμπέρασμα, πῶς οὐκ ἦν εἰκὸς παρὰ τῷ θεῷ κριτῇ ἡττηθῆναι τὸν Πλάτωνα τούτου κατηγοροῦντα;

215,3 ἐκείνοις τοῖς Ἀθηναίοις.

215,4 καθάπερ πρότερον φασὶ τὸ περὶ τῶν φυλῶν ὅτι Κλεισθένης ἔλαβε μαντείαν, πῶς δεῖ τάξαι τὰς φυλάς. λέγεται δὲ ὅτι γνώμῃ τοῦ Ἀπόλλωνος τὰς δέκα φυλὰς ἔταξεν. ὁ Κλεισθένης ἔλαβε τὰς μαντείας, πῶς δεῖ τάξαι τὰς φυλάς.

215,5 ἐπεὶ δ’ ἔφθη πρὸ τῆς αἰτίας αὐτὸν ἀφεὶς ὁ θεὸς εἰ δὲ καὶ πρὸ τοῦ ἐνθυμηθῆναι τὸν Θεμιστοκλέα πολεμῆσαι τοὺς Ἕλληνας ἐκεῖ τῷ βαρβάρῳ ὁ θεὸς τοῦτο προειρήκει, καὶ οὐ μόνον οὐκ ἔλεγε πῶς δεῖ ναυμαχεῖν, ἦ που ἄξιός ἐστιν ὁ Θεμιστοκλῆς μέμψεως. ἡ ἀπόδοσις ἀπὸ κοινοῦ, ὅτι οὐ νῦν μᾶλλον τῆς αἰτίας δέον ἀφεῖσθαι. ἔθος δὲ τοῖς ῥήτορσιν, ὅταν θυμῷ κινούμενοι χρῶνται τοῖς λόγοις, ἐλλείπειν τὴν ἀπόδοσιν, ὥστε καὶ Δημοσθένης πολλαχοῦ τε ποιεῖ καὶ ὅτε πρὸς τὸν Αἰσχίνην καταφερόμενος αὐτοῦ ἀποτείνεται.

215,7 καὶ μόνον οὐ συνεῖπεν αὐτῷ περὶ ἁπάντων ἐξ ἀρχῆς τὸ συνεῖπε νῦν οὐκ ἔστιν ἐπὶ τοῦ συνηγόρησεν, — οὐ γὰρ κρίσις τὸ παρὸν — ἀλλὰ κεῖται ἀντὶ τοῦ ταῦτα εἶπεν.

215,8 ὅμως οὐκ ἀπέσχηται Πλάτων βαρέως τὸ Πλάτων εἴρηκεν, ἀντὶ τοῦ καὶ τοῦ Ἀπόλλωνος Πλάτων ἐστὶ δικαιότερος. ἐναντία τῷ χρησμῷ πεφιλοσόφηκε κυρίως ἐνταῦθα τῇ λέξει ἐχρήσατο πρὸς τὸ ἐπιτήδευμα Πλάτωνος· λέγει γὰρ ὅτι φιλόσοφος ὢν κατηγορεῖ τοῦ χρησμοῦ, ὡς κακῶς κελεύσαντος πολεμῆσαι ἐκεῖ τοὺς Ἕλληνας.

215,9_11 τί οὖν οὐχὶ καὶ τοὺς Ἡρακλείδας— πρὸς τὸ Ῥίον περαιωθέντες οἱ περὶ Ὕλλον Ἡρακλεῖδαι τὸν Ἀπόλλωνα ἤροντο πῶς ἂν κρατήσωσι τῆς Πελοποννήσου, καὶ ἔχρησεν αὐτοῖς διὰ τῶν στενῶν κατελθεῖν. μὴ συνιέντες δὲ τὸν χρησμὸν διὰ τοῦ Ἰσθμοῦ κατήρχοντο. ἁπαντησάντων αὐτοῖς τῶν Πελοποννησίων, ἔδοξε μονομαχῆσαι τοὺς ἡγεμόνας τῶν δύο στρατευμάτων. δόξαντος τούτου, ὁ μὲν Ὕλλος ὑπὸ τῶν Ἡρακλειδῶν, ὑπὸ δὲ τῶν Πελοποννησίων ὁ τῆς Ἀρκαδίας βασιλεύς. ἦν δὲ καὶ τοῦτο δόξαν, τοὺς ἡττηθέντας ἐπὶ ἑκατὸν ἔτη σχεῖν ἡσυχίαν. συμβαλόντων τῶν στρατηγῶν πίπτει ὁ Ὕλλος. πάλιν οἱ τῶν Ἡρακλειδῶν τούτων μετέκγονοι ἀπῆλθον ἐν Δελφοῖς περὶ τῆς καθόδου χρησόμενοι, καὶ ἀνήγγειλεν αὐτοῖς διὰ τῶν στενῶν κατελθεῖν. ἐκεῖνοι ἀντεῖπον

ἀκούσαντες· ἀλλὰ καὶ οἱ πατέρες ἡμῶν σοὶ πεισθέντες ἀπώλοντο. ὁ δὲ εἶπεν αὐτοῖς ὅτι ἐκεῖνοι μὲν οὐκ ἠρώτησαν διὰ ποίων στενῶν, πότερον διὰ τοῦ Ἰσθμοῦ, ἢ διὰ τῶν δύο ῥίων, τοῦ Ἀχαϊκοῦ καὶ τοῦ Μολικρίκου· δεῖ οὖν ὑμᾶς διὰ θαλάσσης ἀπελθεῖν. ταύτῃ τραπομένων αὐτῶν, νομίσαντες αὐτοὺς διὰ τοῦ Ἰσθμοῦ πάλιν ἰέναι ἐχώρησαν ἐπ᾽ ἐκεῖνο τὸ μέρος Πελοποννήσιοι. καὶ ἀπόντων αὐτῶν Ἡρακλεῖδαι ἔρημον εὑρόντες κατέσχον τὴν Πελοπόννησον. δεινὸν δὲ τὸ παράδειγμα τῶν Ἡρακλειδῶν, τῶν προγόνων Λακεδαιμονίων, οὓς Πλάτων ἐπαινεῖ.

215,11 ἀπὸ τοῦ Ῥίου πρὸς τὸ Ῥίον περαιωθέντες Ῥίον τὸ ἀκρωτήριον, ἐπειδὴ περιρρεῖται ὕδατι. ἴσως δὲ ἐκ τοῦ ἀκρωτήριον γέγονε μείωσις, ἵν᾽ αἱ πρῶται συλλαβαὶ ὦσιν ἀφῃρημέναι· ἢ ὅριον ἐστὶν, ἀφ᾽ οὗ ἐστὶν ὁρᾶν καὶ σκοπεύεσθαι.

215,15 οἱ δ᾽ ἀγνοήσαντες καὶ τὴν ἑτέραν σοφώτερον δείκνυσι τῶν Ἡρακλειδῶν τὸν Θεμιστοκλέα, εἴ γε οἱ μὲν οὐκ ἐνόησαν τὸ στενὸν, ὁ δὲ ἐνόησε τὸ ξύλινον τεῖχος.

215,16 τὴν ἑτέραν τραπόμενοι ἀντὶ τοῦ διὰ γῆς ἐρχόμενοι. λέγει δὲ διὰ τοῦ Ἰσθμοῦ. ὥσπερ δὲ καθάπτεται τῶν Λακεδαιμονίων, ὅτι ἡττήθησαν πεζομαχοῦντες.

216,2 στενὰ δ᾽, ὡς ἔοικεν, ἀμφοτέρωθι τὸ ἀμφοτέρωθι, ἢ εἰς ἀμφότερα· τὸ δὲ ἀμφοτέρωθεν, καὶ ἐκ τῶν δύο μερῶν.

216,3 διὸ καὶ τότε οἶμαι Θεμιστοκλῆς τὸν Ἰσθμὸν παντὸς μᾶλλον φεύγειν ἠξίου καλῶς τὸ οἶμαι· οὐδὲ γὰρ πάντως ἀληθὲς ἦν. ὥσπερ ἄλλο τι ἀρχαῖον κακὸν φυλαττόμενος ἐκεῖ γὰρ ἐν τῷ Ἰσθμῷ ἡττήθησαν οἱ Ἡρακλεῖδαι.

216,8 τὸ Δωρικὸν τοῦτο στρατόπεδον τὸ Δωρικὸν εἶπεν οὐ τοὺς Ἡρακλείδας μόνον, ἀλλὰ κοινὸν ὄνομα εἶπε κατ᾽ ἀμφοτέρων. καὶ Θουκυδίδης «Δωριεῖς δὲ σὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον.» τούτου τοίνυν οὐχ ἧττον ἐν καιρῷ τοῖς Ἕλλησι πάλιν ἀρχαίως ἔφρασεν, ἀντὶ τοῦ πάνυ εἰπὼν τὸ οὐχ ἧττον. ἐν καιρῷ δὲ λέγει ἀντὶ τοῦ εὐκαίρως καὶ ἐπιτηδείως. σοφίζεται δὲ ἐνταῦθα ὁ Ἀριστείδης· καὶ γὰρ καὶ ἐστράτευσαν μετὰ

Ἀθηναίων καὶ τροπὴν ἐποίησαν τῶν βαρβάρων οἱ Λακεδαιμόνιοι. ἀλλὰ μετὰ τὸ γενέσθαι τροπὴν ἐν Μυκάλῃ τῶν Ἀθηναίων ἐπιδιωκόντων, καὶ ἔτι ἐν ταῖς Μυκάλαις ὤκνησαν οἱ Λακεδαιμόνιοι καὶ ἀνεχώρησαν ἀπὸ τῆς Πελοποννήσου, καὶ μόνοι κατελείφθησαν Ἀθηναῖοι. ἐκ τοῦ οὖν ἀναχωρῆσαι τοὺς Λακεδαιμονίους ἐκ τῆς Μυκάλης λέγει ὁ Ἀριστείδης ὅτι διὰ τοῦτο ἀνεχώρησαν, διὰ τὸ προέχειν ῥώμῃ τοὺς Ἀθηναίους. σοφίζεται ἐνταῦθα· καὶ γὰρ ἐστράτευσαν μετὰ Ἀθηναίων, καὶ τροπὴν τῶν βαρβάρων Λακεδαιμόνιοι. ἀλλὰ μετὰ τὸ γενέσθαι τροπὴν τῶν Ἀθηναίων ἐπιδιωκόντων καὶ ἔτι ἐν τῇ Μυκάλῃ ὄντων, ὀκνήσαντες οἱ Λακεδαιμόνιοι ἀνεχώρησαν ἀπ᾽ οἴκου; καὶ μόνοι κατελείφθησαν Ἀθηναῖοι. διὰ τοῦτο οὖν φησὶν οὕτως ἀναχωρῆσαι αὐτοὺς, διὰ τὸ προέχειν ῥώμῃ τοὺς Ἀθηναίους.

216,10 ἔδειξε μὲν ἡ Πλαταιᾶσι μάχη, ἐν ᾗ μόνους Λακεδαιμονίους ἐφαμίλλους ἔσχον καλῶς εὐθέως ἐπήγαγε ταύτην τὴν πεζομαχίαν· ἅμα γὰρ τοῖς κατὰ Σαλαμῖνα ἐγένετο. μόνους δὲ εἶπεν ἀντὶ τοῦ ὁμοίους ἔσχον τοὺς Λακεδαιμονίους διὰ τὸ πιθανόν· οὐ γὰρ ἠδύνατο εἰπεῖν· οὐδένας ἔσχον ὁμοίους ἐνταῦθα.

216,12 ἡ ἐν Οἰνοφύτοις ταύτης μέμνηται ἐν τῇ πεντηκονταετίᾳ Θουκυδίδης.

216,13 εἰ δέ ποθ᾽ ὕστερον καὶ προσέπταισαν εἰς τὴν τύχην ἀνάγει τὴν ἧτταν· τὸ γὰρ πταῖσμα ἐπὶ τῆς τύχης λέγομεν. οὐδ᾽ ἐν ταῖς ναυσὶν ἐνίκων ἀεὶ περὶ ὧν εἶπεν ὁ Θουκυδίδης τὸν ἐπιτάφιον. ἀντιπῖπτον δὲ ἔλυσεν· ἀλλὰ πεζομαχοῦντες ἡττήθησαν. ὁ δὲ λέγει, πρῶτον μὲν σπανίως, ἔπειτα δὲ οὐδ᾽ ἐν ταῖς ναυσὶν ἀεὶ ἐνίκων, ἠτύχησαν γὰρ καὶ ἐν Αἰγὸς ποταμοῖς καὶ ἐν Σικελίᾳ.

216,15 ἀλλ᾽ οὐ Θεμιστοκλῆς γε οὐδετέρου— τοσοῦτον ἴσχυον ἀμφότερα ἐπειδὴ ἀπολογούμενος ὑπὲρ τοῦ ἡττηθῆναι πεζῇ ἔδοξε διαβάλλειν τὸ ναυτικὸν, ταχέως ἀνεῖλε τὸ λυπηρὸν, λέγων μήτε ἐν πεζομαχίᾳ μήτε ἐν ναυμαχίᾳ αὐτὸν ἡττηθέντα, ἀλλὰ μᾶλλον μετὰ θάνατον νικῶντα, ὅτι τῇ αὐτῇ δόξῃ ἐνίκων οἱ Ἀθηναῖοι.

216,18 τὸ μὲν κολακεύειν, ὡς ἐγὼ νομίζω, — καὶ δικαιοσύνης ἁπάσης οὐ μόνον κατὰ ἀναίρεσιν τῆς κολακείας αὐτὸν ἐπαινεῖ, ὅτι οὐκ ἦν κόλαξ, ἀλλ᾽

ἐπαινεῖ αὐτὸν καὶ ἐκ τῶν μορίων τῆς ἀρετῆς ὧν ἔσχε. τὴν τόλμαν δὲ εἶπεν, ὡς θαυμαστοτέρων τῆς ἀνδρείας καὶ σοφίας.

216,20 Μαρδόνιος μὲν ὑπὲρ βασιλέως καὶ Μαρδόνιον λελῃθότως ποιεῖται μάρτυρα τῆς ἀρετῆς τοῦ Θεμιστοκλέους· οὗτος καὶ ὁπλίτης ἦν φοβερός.

217,3 ὡς ἀνοικιεῖ τὴν πόλιν αὐτοῖς κατεσκαμμένην γὰρ εὗρον αὐτὴν ὑπ' αὐτῶν τῶν Περσῶν· ἐμπρησθεῖσα γὰρ ἦν. φιλανθρωπίας δὲ τὰς εὐπραγίας λέγει. κυρίως γὰρ ἡ φιλανθρωπία ἐστὶν ἡ ἐλεημοσύνη.

217,5 οὐδενὶ τούτων ἐπῄρθησαν τὸ μεγαλόψυχον αὐτῶν ἐμφαίνει, ὅτι καὶ χρημάτων κατεφρόνουν.

217,6 τὸν μὲν κίνδυνον τὸν ὑπὲρ τῶν Ἑλλήνων ἀντὶ τῶν κατὰ τῶν Ἑλλήνων δωρεῶν ἐδέξαντο μᾶλλον εἵλοντο τὸν κίνδυνον τὸν ὑπὲρ τῶν Ἑλλήνων ἢπερ τὰ βασιλέως δῶρα ἐπὶ τῷ προδοῦναι τοὺς Ἕλληνας.

217,8 προσέταξαν δ' ἐκποδὼν εἶναι παραχρῆμα ὥσπερ τι μέρος τιμωρίας εἶπε τὸ ἐκποδὼν γενέσθαι.

217,9 τοιαῦτα τῆς Θεμιστοκλέους πολιτείας καὶ στρατηγίας ἀπέλαυσαν ἐπειδὴ ἐδόκει κοινῶς τοὺς Ἀθηναίους ἐπαινῶν, μεταφέρει ἐπὶ τὸν Θεμιστοκλέα τὸν ἔπαινον. κυρίως γὰρ εἶπε καὶ τὴν μεγαλοψυχίαν· ἐπὶ γὰρ καταφρονήσεως χρημάτων εἶπε.

217,10 ἐαλωκότος μὲν δεύτερον αὐτοῖς τοῦ ἄστεος δεύτερον εἶπεν ἐμπρησθεῖσαν τὴν πόλιν, μίαν μὲν ἐπὶ Ξέρξου, καὶ μίαν ἐπὶ Μαρδονίου· μετὰ γὰρ τὸ ἀναχωρῆσαι τὸν βάρβαρον ὁ Μαρδόνιος ᾔτει τοὺς Ἀθηναίους προδοῦναι τοὺς Ἕλληνας, ὑπισχνούμενος τὴν πόλιν αὐτοῖς ἀνοικιεῖν. ὡς δ' οὐχ εἵλοντο, τὰ ὑπὸ Ξέρξου καταλειφθέντα ἐνέπρησαν καὶ οὕτως ἐλθὼν εἰς Πλάταιαν καὶ συμβαλὼν ἡττήθη. ἢ ὅτι πρώτην ἅλωσιν λέγει τὴν κατάληψιν τῆς πόλεως, ὡς καὶ ὁ Θουκυδίδης δύο ἀποστάσεις λέγει τοὺς Μιτυληναίους ἀποστάντας, μίαν μὲν, ὅτι ὅλως ἐβουλεύσαντο, δευτέραν δὲ τὴν ἔργῳ γινομένην.

217,12 τοῦ κήρυκος Ἀθήνηθεν ἥκοντος βαρέως εἶπε τὸ Ἀθήνηθεν, ὅτι, φησὶν, οὐκ ἐπέκλασεν αὐτοὺς ἡ τῆς πόλεως ἅλωσις, οὐδὲ κτῆμα γενομένης τῶν

βαρβάρων ἠχθέσθησαν. ἐπειδή τις εἶπεν ὁ Λυκομήδης. Κυρσῖλος κατὰ Δημοσθένην· ὁ γὰρ Ἡρόδοτος Λυκίδην αὐτὸν ἦν καλῶν.

217,15 ἃς σὺ κελεύεις μετὰ τῶν ἀνδρῶν συστρατεύεσθαι τὰ καὶ τὰ ποιούσας μετὰ δεινότητος εἶπε τὴν λέξιν· τῇ γὰρ ἀποσιωπήσει πολλὴν ἐμφαίνει διαβολήν. αἰνίττεται δὲ ἴσως τὸ κοινὰς εἶναι τὰς γυναῖκας· τοῦτο γὰρ, φησὶν, ἔλεγεν ὁ Πλάτων, ἵνα πάντες ἀλλήλων ὦσι συγγενεῖς.

217,16 ἢ ταῦτα παιδεύων τοὺς παρ᾽ αὐτὸν συλλεγομένους ὡς ἐπὶ μαθητῶν εἶπε τὴν λέξιν, ἀποτεινόμενος πρὸς Πλάτωνα, ὡς τοὺς νόμους διδάσκοντα. συλλεγομένους δὲ τοὺς βουλομένους παρὰ τοῦ διδάσκεσθαι τὰ περὶ τῆς πόλεως.

217,17 ἐλθόντων τοίνυν Λακεδαιμονίων ὑπὸ τοὺς αὐτοὺς χρόνους Ἀλεξάνδρῳ καὶ ἐν τῷ Παναθηναϊκῷ ἐλέχθη τὸ ὅμοιον, ὅτι φοβούμενοι Λακεδαιμόνιοι μὴ πεισθῶσιν οἱ Ἀθηναῖοι τοῖς Πέρσαις, λιμῷ πιεζόμενοι διὰ τὸ ἄπορον καὶ λεπτόγεων τῆς χώρας, ἦκον ὡς αὐτοὺς ἱκετεύοντες καὶ ἐπαγγειλάμενοι τρέφειν αὐτοὺς μέχρι τέλους τοῦ πολέμου. λεληθότως δὲ εἰς δειλίαν αὐτοὺς ἀποσκώπτει, ὅτι αὐτοὶ μὲν τοῖς Ἕλλησι βοηθεῖν οὐκ ἠδύναντο, ἱκέτευον δὲ τοὺς Ἀθηναίους, ὡσανεὶ ἔλεγεν, οἱ πεζομάχοι τῶν ναυμάχων ἐδέοντο.

217,20 ὡς οὐκ εἰδότας παρ᾽ οὕστινας πρεσβεύονται ἀντὶ τοῦ παρὰ τοὺς τὰ χρήσιμα μισοῦντας.

218,1 ἡ στήλη, ἣν ὕστερον τούτων ἔστησαν καλῶς εἶπε τὸ ὕστερον· τοῦτο γὰρ οὐκ ἔτι ἐν τῷ καιρῷ τοῦ πολέμου γέγονε. δείκνυσι δὲ ἀεὶ ἑαυτῷ παραπλήσιον ὄντα καὶ συμμεταβαλλόμενον.

218,2 τὸν ἐκ Μήδων χρυσὸν εἰς Πελοπόννησον ἤγαγεν καλῶς τὸ ἐκ Μήδων, ἵνα δείξῃ ὅτι καὶ τὸν χρόνον πολέμιον αὐτῶν ἡγοῦντο.

218,3 ἐγὼ μὲν οὐκ οἶδ᾽ ὅ τι τούτου ψήφισμα Πλάτων ἂν ἔγραψε κάλλιον, ἢ σεμνότερον, περὶ τοῦ αὐτοῦ πράγματος ἐνταῦθα φανερῶς ὀνομάζει τὸν Πλάτωνα, ἐπειδὴ θαρρεῖ τῷ παραδείγματι. εἶτα καὶ ἀσφαλῶς εἶπε, τὸ ψήφισμα εἰπὼν, οὐ δόγμα, οὐδὲ διάλογον· καὶ πάλιν περὶ τοῦ αὐτοῦ πράγματος εἰπὼν, καὶ οὐ περὶ φιλοσοφίας· οἷον εἰ περὶ μεγαλοψυχίας

χρήματα, ὅτι φιλοψυχίαν προήγαγεν ὁ Πλάτων τὸ διδάσκειν περὶ ψυχῆς καὶ τῶν ὁμοίων.

218,4 τῆς αὐτῆς φιλοσοφίας ἐστὶν ἄμφω τὼ δόγματε ἐνταῦθα τὸ ψήφισμα Θεμιστοκλέους φιλοσοφίαν ἐκάλεσε.

218,5 ὁ μὲν γὰρ τοῖς φύλαξιν ἀπεῖπε μὴ κτᾶσθαι χρυσὸν ἐν τῇ Πολιτείᾳ· ἵνα μὴ ἔρωτι τοῦ χρυσοῦ προδοῖέν ποτε. ὁ δὲ τὸν κομίσαντα τὸ ἐκ Μήδων χρυσίον λοιπὸν ἐνταῦθα καὶ τῆς Πλάτωνος φιλοσοφίας βέλτιον δείκνυσι τὸ τοῦ Θεμιστοκλέους ψήφισμα καὶ τῆς αὐτοῦ πολιτείας.

218,9 παραστήσαντες τῷ ἀγάλματι τῷ Μαραθωνόθεν ἀντὶ τοῦ στήσαντες ἐγγύς. καὶ ὁ Δημοσθένης δὲ προλαβὼν ἐπῄνεσε τοῦτο, μίαν στάσιν εἰπὼν τοῦ ἀγάλματος καὶ τιμωρίας τῶν προδοτῶν. τοῦτο λέγει, ἢ ὅτι ἐν Μαραθῶνι ἱστάμενον ἄγαλμα Ἀθηνᾶς ἔφερον εἰς ἀκρόπολιν· ἢ τὸ Μαραθωνόθεν νόει τὸ ἐκ τῆς ἐν Μαραθῶνι νίκης παρ᾽ Ἀθηναίων ἀνεγερθὲν τῇ θεῷ.

218,10 τῶν ἄλλων ἀναθημάτων τρία ἦσαν ἀγάλματα τῆς Ἀθηνᾶς Ἀθήνησι, τὸ Ἀριστεῖον, ἡ Παρθένος, τὸ τῆς Πολιούχου.

218,11 ἀμφοτέροις δέ μοι δοκεῖ τοῖς ἔθνεσι προσήκειν ἅπασιν ὑπὲρ Θεμιστοκλέους ψῆφον φέρειν ἀγαθὴν ἔθνη καλεῖ τὰ συστήματα, ἐπειδὴ οἶδε τὴν φύσιν διάφορον τῶν ἀνθρώπων, καὶ τοὺς μὲν χαίροντας ἐμπειρίᾳ, τοὺς δὲ μεγαλοφροσύνῃ καὶ εὐδοξίᾳ, ἀμφοτέροις ἔδοξε χρήσιμον τὸ ψήφισμα τοῦ Θεμιστοκλέους. τοῖς ἔθνεσι τοῖς συστήμασι.

218,12 ὅσοι τε γὰρ τὴν σωτηρίαν οἰκειότατον— τῶν ἐκείνου καλλίω παραδείγματα τοῦτο θέλει εἰπεῖν ὁ Ἀριστείδης, ὅτι καὶ οἱ σώζεσθαι βουλόμενοι παράδειγμα ἔχουσι Θεμιστοκλέα, καὶ οἱ μετὰ δόξης βουλόμενοι ἀποθανεῖν ὁμοίως καὶ τοῦτο ὑπὸ Θεμιστοκλέους ἔχουσι τὸ παράδειγμα. εἰπὼν ἀμφοτέροις τοῖς ἔθνεσι νῦν μερίζει εἵς τε τοὺς νομίζοντας τὴν σωτηρίαν κάλλιστον πάντων, καὶ εἰς τοὺς κρίνοντας κινδυνεύειν ὑπὲρ πατρίδος κάλλιον ἢ ζῆν· οὐ γὰρ πάντες Ἕλληνες ταυτὰ περὶ τούτων νομίζουσιν, ἀλλ᾽ οἱ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο. εἰ δέ τις εἴποι, πῶς πᾶσιν Ἕλλησιν εἶπε, φαμὲν ὅτι οὐ πᾶσιν ἁπαξαπλῶς Ἕλλησι λέγει,

ἀλλ᾽ ἐκείνοις, ὅσοι τὴν σωτηρίαν οἰκειότατον καὶ πρῶτον ἁπάντων νομίζουσιν.

218,14 τὴν εὐδοξίαν καλὸν οἱ ἀρχαῖοι λέγουσι τὸ ἔνδοξον· διὸ καὶ ἐπήγαγε τὴν εὐδοξίαν.

218,15 ὥστ᾽ ἀμφοτέροις ἂν τοῖς κριταῖς νικῴη δικαίως καὶ τοῖς σωτηρίαν ἄγουσι καὶ τὴν εὐδοξίαν. εἰπὼν δὲ ὄπισθεν τοῖς κρίνουσιν, οἰκείως ἐπήνεγκε πάλιν τοῖς κριταῖς.

218,16 καὶ γάρ τοι μετὰ τὴν ναυμαχίαν συλλεγέντων ἔφθασε ταύτην τὴν ἱστορίαν εἰπὼν ἐν τῷ προοιμίῳ, καὶ προέλυσε τὸ ἀντιπῖπτον ὅτι δεύτερον πάντες ἐπῄνεσαν τὸν Θεμιστοκλέα.

218,17 φερόντων τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ τοῦ Ποσειδῶνος λεληθότως καὶ ἀσεβεῖς δείκνυσι τοὺς Ἕλληνας καὶ ἐπιόρκους. περὶ τῶν ἀριστείων ἀριστεῖα λέγει τὰ ἐξαίρετα τῶν λαφύρων. ἔξεστι μέν τι ἄγνωμον ἐνταῦθα —ὑπὲρ Θεμιστοκλέους κατηγορεῖ τῶν Ἑλλήνων ἐνταῦθα ῥητορικῶς, καὶ μέμφεται τοὺς Ἕλληνας, καὶ ἀπολογεῖται ὑπὲρ αὐτῶν· ἄγνωμον μὲν γὰρ λέγει τὸ ἄδικον, ὅτι προετίμησαν ἑαυτοὺς Θεμιστοκλέους, εὐγνωμοσύνην δὲ λέγει τὸ δίκαιον, ὅτι δεύτερον ὡμολόγησαν τὸν Θεμιστοκλέα.

219,2 δεύτερον συνεξέπιπτον ἅπαντες ἀντὶ τοῦ κοινῇ συνεφώνουν. εἴρηται δὲ ὡς ἀπὸ μεταφορᾶς τῶν κύβων· οἱονεὶ εἰς ἕνα κύβον καὶ μίαν ψῆφον συνέπιπτον.

219,4 τοῦτο δ᾽ ἔστι μηδένα ἑαυτοῦ μᾶλλον φιλεῖν διότι ἕκαστος ἑαυτὸν φιλεῖ. ὥστ᾽ οὔτ᾽ ἰσχυρὸν εἶχεν οὐδὲν οὔτε συγγνώμης ἀπήλλακτο οὔτε γὰρ οὐδὲν ὠφέλουν ἑαυτοὺς πρώτους λέγοντες ἠριστευκέναι οὔτε ἐκτὸς συγγνώμης ἦσαν λέγοντες πρώτους ἑαυτοὺς προκεκινδυνευκέναι τῆς μάχης.

219,5 ἡ δὲ ὑπὲρ τῶν δευτέρων σαφῶς ἤδη σύμβολον ἦν τῆς ἀληθείας ταύτην εὐγνωμοσύνην προεῖπε. θέσθαι δὲ ἀντὶ τοῦ ψηφίσασθαι.

219,6 ὥστε εἰ προείρητο ἐξ ἀρχῆς πάλιν καθ᾽ ὑπόθεσιν.

219,10 τὰ μὲν γὰρ πρῶτα καὶ παρὰ τῆς ἀληθείας καὶ παρ᾽ αὐτοῦ λαβὼν εἶχε ἀλήθειαν εἶπε τὸ πάντας εἰπεῖν ἑαυτῶν δεύτερον τὸν Θεμιστοκλέα. τὸ δὲ παρ᾽ αὐτοῦ εἶπεν, ἐπειδὴ καὶ αὐτὸς ἑαυτὸν ἤνεγκεν. εἶτα ἐπήγαγε καὶ τὸ δικαίως, ἐπειδήπερ ἐπὶ τῶν ἄλλων εἰπὼν ὅτι οἱ Ἕλληνες ἑαυτοὺς τοὺς πρώτους ἕκαστος εἶπε, καὶ τούτου τὴν φύσιν αἰτίαν εἶπε τὴν ἀνθρωπείαν, οὐ τὴν ἀλήθειαν, καὶ ἵνα μὴ περιπέσῃ αὐτῷ ὁ ῥήτωρ λέγων ὅτι οὗτος ἑαυτὸν πρῶτον εἰπὼν δικαίως εἶπε.

219,11 τὸ γὰρ ἄλλο τοῖς ἄλλοις ἐποίησε, μόνος τῶν ἄλλων δικαίως ἐπειδὴ ἕκαστος ἑαυτὸν πρῶτον τοῦ Θεμιστοκλέους ἐκάλει. ἐκάλεσε δὲ καὶ ὁ Θεμιστοκλῆς ἑαυτὸν πρῶτον, ἀλλ᾽ οὗτος μὲν δικαίως, ἐκεῖνοι δὲ ἀδίκως.

219,13 ὡς εἶδον τὸ συμβαῖνον λέγει τὴν σύστασιν αὐτὴν καὶ τὴν φιλονεικίαν, ὅτι φιλονείκως πρώτους ἑαυτοὺς ἔλεγον.

219,14 οὐδ᾽ ἐκεῖνα ἐπὶ πᾶσι δικαίοις ἐψηφίσαντο ἐκεῖνα λέγει τὸ δεύτερον ψηφίσασθαι· οὐδεὶς γὰρ ἔχειν πρῶτον ἑαυτοῦ τινα βούλεται.

219,16 τοσοῦτον ἁπάντων κατεγέλασεν γέλως γὰρ ἦν ἡ κρίσις αὐτὴ, ἣν ἐκρίναντο πρώτους ἑαυτοὺς λέγουσιν.

219,17 ἦλθεν εἰς Λακεδαίμονα ὥσπερ ἐπίτηδες βουλόμενος αὐτοὺς δοκιμάσαι πῶς ἔχουσι περὶ αὐτοῦ.

219,19 οὐ κατέσχον πρὸς τὴν ἐπιδημίαν αὐτοῦ ἀντὶ τοῦ οὐκ ἐκώλυσαν αὐτόν. ὅρα δὲ πῶς εἶπε τὰς λέξεις ἐπὶ θείου τινός.

219,20 τῶν παρ᾽ αὐτοῖς βασιλέων τῶν Ἡρακλειδῶν· ἐξ αὐτῶν γὰρ ἦσαν οἱ βασιλεῖς ἐκεῖ.

220,4 τῶν ὁπλιτῶν ἕνεκα ἢ διότι οὐ κατ᾽ ἤπειρον ἔχων ὁπλίτας ἐμάχετο.

220,5 ὃν οἱ ἀντίπαλοι δοκοῦντες εἶναι καὶ ἄκοντες ἐτίμων, ἃ μηδένα τῶν πώποτε ἀντιπάλοις λέγει οὐ τῇ γνώμῃ· οὔπω γὰρ ἦσαν ἐχθροί· ἀλλὰ τῇ τέχνῃ ἀντίπαλοι. τὸ δὲ ἄκοντες εἶπεν, ἐπειδήπερ εἶπεν ἄνω ὅτι αἰσχυνόμενοι προέπεμπον αὐτόν. τὸ ἄκοντες εἶπεν—αὐτόν. ἀντιπάλους Θεμιστοκλέους, οἶμαι, λέγει τοὺς Λακεδαιμονίους κατὰ τὴν τοῦ Πλάτωνος δόξαν· ἐκεῖνος γὰρ τὴν ὁπλιτικὴν σεμνύνει, εἰς ἣν πάντων

προέχειν Λακεδαιμονίους φησὶν, ὅθεν καὶ ψέγει Θεμιστοκλέα ὡς κατὰ θάλασσαν Πέρσῃ βουληθέντα μαχέσασθαι. τὸ δὲ ἄκοντες λέγει, ἐπειδὴ ᾐδοῦντο τὴν ἀρετὴν αὐτοῦ, ὅθεν καὶ παρὰ γνώμην ἐτίμων.

220,6 τριῶν τοίνυν ὄντων καιρῶν καιρῶν εἶπε καὶ οὐ χρόνων. καιρὸν δὲ λέγει τὸν πρὸ τῆς μάχης, καὶ αὐτὸν τὸν τῆς μάχης, καὶ τὸν μετὰ τὴν μάχην. καὶ αὐτὸς δὲ ἐπιφέρει ἀνὴρ ἄριστος. καλῶς εἶπεν ἄριστον ἀπὸ τῆς ἀρετῆς.

220,7 πρὶν μὲν γὰρ ἥκειν τοὺς βαρβάρους οὗτος ὁ πρῶτός ἐστι καιρός.

220,8 τάς τε πόλεις διήλλαξε εἰρήνευσε. τοῖς ἀπὸ τῆς πόλεως πολίταις ἀνῆκε τὰ ἐγκλήματα κατήγαγε γὰρ ἀπὸ τῆς ἐξορίας τὸν δίκαιον Ἀριστείδην.

220,9 συμβάντων δὲ τῶν ἀγώνων οὗτός ἐστιν ὁ δεύτερος καιρός.

220,10 καταστάντων δὲ τῶν πραγμάτων οὗτός ἐστι τρίτος καιρός.

220,11 Λακεδαιμονίων ἐθελόντων ἐκσπόνδους τὰς πόλεις ποιεῖν ἀντὶ τοῦ ἐχθράς· ἔδοξε γὰρ τὰς πόλεις τὰς μηδισάσας δεκατεῦσαι ἀλλ᾽ οἱ Ἀθηναῖοι ἐπέσχον ὕστερον καὶ Θεμιστοκλῆς.

220,13 πλέον γὰρ ἢ τριάκοντα πόλεις ἔδει τῇ συμφορᾷ ταύτῃ περιπεσεῖν αὔξει τὴν συμφορὰν, ἵνα πλέον αὐξήσῃ τοῦ Θεμιστοκλέους τὸ κατόρθωμα.

220,14 οὔκουν ἠγεῖτο προσήκειν πάλιν τῆς γνώμης τοῦ Θεμιστοκλέους δηλοῖ τὸν ἔπαινον, εἰπὼν προηγεῖτο.

220,15 πῶς ἂν κρείττων ἀνὴρ ἐγένετο ἀντὶ τοῦ ποῖος φιλόσοφος.

220,16 ἔχων δὲ λέγειν καὶ περὶ τῶν ὕστερον αὐτοῦ συμφορῶν ὅπερ ἐποίησεν ἐπὶ Μιλτιάδου καὶ Κίμωνος, μετὰ τὰ ἐγκώμια συνάψας τὴν ἀντίθεσιν, τοῦτο καὶ νῦν ποιεῖ. ἀντέπιπτε γὰρ αὐτοῦ ὅτι μηδισμὸν αὐτοῦ κατέγνωσε. τεχνικῶς δὲ ποιεῖ· μετὰ γὰρ τὸ συστῆσαι τὰ πρόσωπα τῶν ἐγκωμίων, τότε ἐπάγει τὰς ἀντιθέσεις τῶν ἐγκλημάτων, σαθρώτερα ταῦτα ποιῶν τῷ καιρῷ τῆς παρατάξεως. τοῦτο δὲ ὠφελήθη παρὰ τοῦ Θουκυδίδου· κἀκεῖνος γὰρ εἰσφέρει τὸν Κορίνθιον δημηγοροῦντα παρὰ ταῖς Ἀθήναις, καὶ μετὰ τὸ καταλέξαι τὰς εὐεργεσίας τὰς πρὸς Ἀθηναίους, τότε τὰ δοκοῦντα ἐγκλήματα περὶ Κερκυραίων εἰσάγοντα. ὅρα δὲ πῶς συμφορὰν

εἶπε τὸ σύμβολον, καὶ οὐκ ἀδίκημα, ἵνα δόξῃ τῆς τύχης εἶναι τὸ πταῖσμα καὶ οὐ τῆς γνώμης. συνεσκευάσθη δὲ καὶ λέγει ὅτι οἱ Λακεδαιμόνιοι αἰσχυνόμενοι μόνον νομισθῆναι προδόται διὰ τὸν Παυσανίαν καὶ τὸν Θεμιστοκλέα συναίτιον αὐτῷ ἔλεγον. ὅπερ ἐποίησεν ὁ ῥήτωρ ἐπὶ Μιλτιάδου καὶ Κίμωνος, μετὰ τὰ ἐγκώμια τὴν ἀτυχίαν αὐτῶν ἐπενεγκών, ἐπὶ μὲν Μιλτιάδου τὴν κάθειρξιν, ἐπὶ δὲ Κίμωνος τὴν φυγήν, τοῦτο κἀνταῦθα ποιεῖ· ἀντέπιπτε γὰρ αὐτῷ ἡ πρὸς τὸν Πέρσην φυγή. τεχνικῶς δὲ τὰ τοιαῦτα τίθησιν ὕστερον, ἀσθενῆ τοῖς προτέροις ποιῶν. ἔχει δὲ τὴν μίμησιν παρὰ Θουκυδίδου· κἀκεῖνος γὰρ εἰσφέρει τὸν Κορίνθιον δημηγοροῦντα παρὰ ταῖς Ἀθήναις, καὶ μετὰ τὸ καταλέξαι τὰς γενομένας παρὰ Κορινθίων εἰς Ἀθηναίους εὐεργεσίας ἐπάγοντα καὶ τὰ δοκοῦντα κατὰ Κερκυραίων ἐγκλήματα. ὅρα δὲ πῶς εἶπε συμφορὰν τὴν φυγήν, ἵνα δείξῃ τύχης καὶ οὐ γνώμης ὂν τοῦτο. συνεσκευάσθη δὲ λέγει, ὅτι οἱ Λακεδαιμόνιοι αἰσχυνόμενοι νομισθῆναι προδόται διὰ τὸν Παυσανίαν καὶ τὸν Θεμιστοκλέα συναίτιον αὐτῷ ἔλεγον.

221,2 ἐβουλόμην μὲν ἂν ἐν τούτῳ χρείας εἶναι τὸν λόγον, ὥστε καὶ περὶ τούτων ἐπείγειν διελθεῖν πῶς εἶπεν ἐν τούτῳ χρείας, καίτοι εἰς αὐτὰ ταῦτα ἀντιλέγει τῷ Πλάτωνι. λέγει οὖν ὅτι ἀκριβέστερον ἐν τοῖς ἀγῶσι ταῦτα τηρεῖ· νῦν γὰρ περὶ μόνα τὰ ἐγκώμια καταγίνεται.

221,3 ἐπεὶ δ’ ἅμα τ’ ἔξω τῆς ὑποθέσεώς ἐστι δεινῶς δείκνυσιν ὅτι οὐδὲ ὅλως προσῆκον ἀπολογεῖσθαι.

221,4 τοσοῦτον ἐπιφθεγξάμενος ἀντὶ τοῦ μικρόν· ὡς ἀρκοῦντος μικροῦ λόγου πρὸς ἀπολογίαν.

221,5 ὅτι, ἐπειδὴ ἔδει στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, προύκρινε τελευτᾶν ὑποσχόμενος τῷ Πέρσῃ ἵνα μετ’ αὐτοῦ κατὰ τῆς Ἑλλάδος στρατεύσας παραδοίη ταύτην αὐτῷ, μνησθεὶς, ὥς φασι, τῶν προτέρων ὑπὲρ τῆς Ἑλλάδος αὐτοῦ πράξεων καὶ ὥσπερ ὑπὲρ αὐτῶν αἰσχυνθεὶς κωνίου πιὼν ἑκὼν ἐτελεύτησεν.

221,8 οὐ τὴν σωτηρίαν αὐτὴν τὸ τιμιώτερον ἐν ἑαυτοῖς τέταρτον ἔταξεν, ἵνα δείξῃ πλέον αὐτὸ σεμνότερον.

221,10 οὔτε τῷ βασιλεῖ πώποτε ἠξίωσεν παραδοξότερον εἰσήγαγε καὶ θαυμαστὸν τὸ τοῦ βασιλέως ὄνομα. ἀλλ᾽ ἀντὶ τούτου ταῦτ᾽ ἐβουλεύσατο τουτέστιν ἀντὶ τοῦ διακονεῖν εἵλετο θάνατον. ὅρα πῶς εἶπε καὶ τὸ ἐβουλεύσατο, βουλόμενος δεῖξαι καὶ τὸ ἑκούσιον τοῦ θανάτου.

221,12 ἐγὼ μὲν οὖν οἶμαι καὶ ἱερέας καὶ ἱερείας ὅρα τὴν αὔξησιν διὰ τοῦ ἐγκωμίου, πῶς καὶ τὰ ἱερὰ γένη συνάγει ὑπὲρ τῆς Θεμιστοκλέους φύσεως.

221,13 κατὰ γοῦν ἐκείνους τοὺς χρόνους τοῦτο εἶπε διὰ τὰ Ῥωμαϊκά, ἵνα μὴ δόξῃ ἐπανάστασιν αὐτοῖς παρέχειν κατὰ Ῥωμαίων.

221,14 καὶ ἕως ἐξῆν ἕως ἐξῆν εἶπεν, ἢ διὰ τῆς πολιτείας, ἢ ἕως ἡ φορὰ ἠδύνατο φέρειν τοιαύτην φύσιν. καὶ μετὰ τῆς ἄλλης φορᾶς καὶ τοῦτ᾽ ἐνεγκεῖν τὴν γῆν τἀγαθὸν ἀντιτίθησι μόνην τὴν φύσιν Θεμιστοκλέους τῇ τῶν ἄλλων καρπῶν φορᾷ.

221,15 οὔκουν ἐλάττω γ᾽ ἂν ὄνασθαί μοι δοκοῦσιν ἢ εἰ πάντα εἰς ἑκατὸν καὶ ἔτι πλείω τῆς χώρας αὐτοῖς ἐξενεγκούσης νομίζω γὰρ ὅτι, εἰ ἐγένοντο Ἀθηναίοις ἄλλοι τοιοῦτοι ἄνθρωποι, οἷος ἦν ὁ Θεμιστοκλῆς, πλέον εἶχεν ὠφεληθῆναι ἡ πόλις ἤπερ εἰ πλείω αὐτοῖς ἡ γῆ καρπὸν ἤνεγκε.

221,16 ἄλλως μὲν τοίνυν ᾐσχυνόμην ἂν ἔγωγε διὰ τῶν λέξεων ἐμφαίνει τὸ ἀναγκαῖον τῆς μαρτυρίας· μέλλει γὰρ εἰσαγαγεῖν τὸν Πλάτωνα μαχόμενον Αἰσχίνῃ μὲν τῷ Σωκρατικῷ, ἑταίρῳ δὲ Πλάτωνος.

221,18 σκεψώμεθα δὴ ποῖ᾽ ἄττα λέγει περὶ Θεμιστοκλέους ἡμῖν Αἰσχίνης, ὁ Σωκράτους μὲν ἑταῖρος, Πλάτωνος δὲ συμφοιτητὴς ῥητορικῶς σφόδρα καὶ τὸν διδάσκαλον ἕνα ὁρίζεται, καὶ αὐτὸς μίαν ἔχοντας ποιότητα προσώπων· φιλόσοφοι γὰρ ἄμφω· ἔστι δὲ Ἀλκιβιάδου διάλογος τοῦ Αἰσχίνου, ἔνθα ἐπαινεῖ τὸν Θεμιστοκλέα.

222,18 βασιλεῖ ἔπεμψε τἀναντία τοῖς ὑπὸ τῆς πόλεως δεδογμένοις Εὐρυβιάδου ἀντειπόντος.

223,4 ὥστε καὶ φεύγοντος αὐτοῦ τὰ πράγματα ταῦτα Θουκυδίδης φησί.

223,5 τίς ἂν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ τὸ συμπέρασμα καὶ ἡ συναγωγὴ τοῦ ἐπαίνου τοῦ Θεμιστοκλέους.

223,11 καὶ μηδέν γέ μου, ἦν δ' ἐγὼ, ὦ Ἀλκιβιάδη, καταγνῷς ἐπειδὴ ἐνομίζετο ὡς ἄθεος καινὰ δαιμόνια παρεισφέρων, ἐδόκει δὲ καὶ τοῦτο ἄθεον τὸ λέγειν ὅτι αὐτὸς ἀπὸ ἰδίας συνέσεως κατώρθωσε, καὶ οὐ συμπράττοντος αὐτῷ τοῦ δαίμονος, ταύτην λύει τὴν περὶ αὐτοῦ ὑποψίαν.

223,17 κἀκεῖ καὶ παρὰ σοὶ, ὦ Πλάτων.

223,20 προστιθεὶς ἐπιστήμην αὐτῷ τῶν πραγμάτων ἁπάντων προεῖπε γὰρ προστίθημι ἐκείνῳ ἐπιστήμην.

223,21 ἐγὼ τοίνυν τὸ μὲν τῆς προσθήκης τοῦτο οὐ δέχομαι τουτέστιν οὐ λέγω κατὰ σύνεσιν καὶ ἐμπειρίαν νικῆσαι τὸν βάρβαρον. προσθήκην δὲ αὐτὸ ἐκάλεσεν ὡς μικρόν.

224,1 ὅτι δὲ οὐχ ὁμολογεῖ ταῦτα ἐκείνοις, ἐλέγχω ὁμολογεῖ ἀντὶ τοῦ συμφωνεῖ. εὐφήμως δὲ εἶπε τὴν λέξιν, ἵνα μὴ εἴπῃ τις ὅτι ἐναντία αὐτῷ λέγει.

224,2 εἰ μὲν γὰρ ἅπαντα ταῦτ' ἐστὶ λόγος ἀμφοτέρωθεν λεγόμενος ὥσπερ ἀντιπῖπτον λύει, ἵνα μὴ εἴπῃ ὁ Πλάτων· ἄλλων λόγων ἐπίδειξίς ἐστι τὸ λεγόμενον. δεινῶς δὲ αἰνίττεται ὅτι λόγων ἐστὶν ἀγὼν τὰ κατὰ Πλάτωνα, καὶ οὐκ ἀληθείας ἀπόδειξις.

224,3 ὁμολογείσθω τοῦτο τὸ εἶναι μόνων λόγων ἐπίδειξιν καὶ οὐκ ἀληθείας.

224,4 πάντως καὶ οὕτως ἀναίτιον τό γ' ἡμέτερον ἴδιον ἑαυτοῦ πεποίηται τὸ κατὰ Θεμιστοκλέους πρᾶγμα.

224,5 καὶ μὴν ἐξ ἴσου μὲν ἔγωγ' οὐδέποτ' ἂν θείην Αἰσχίνην Πλάτωνι ὥσπερ κόλακός ἐστιν ὁ λόγος.

224,6 μή ποτε οὕτω φιλονεικήσαιμι αἰνίττεται ὅτι τινὲς τῶν φιλοσόφων τὴν Αἰσχίνου λέξιν καὶ φράσιν τῆς Πλάτωνος προετίμησαν.

224,8 τὸν μὲν γὰρ ἃ ἤκουσεν εἰκὸς ἦν λέγειν ὅρα πῶς δείκνυσιν αὐτοὺς ἃ ἤκουσε περὶ Θεμιστοκλέους, ταῦτα εἰπόντος καὶ οὐχ ἃ εἶδον, τὸ ψεῦδος τῶν ἐλέγχων δηλῶν.

224,9 ὁ δὲ τῆς φύσεως, οἶμαι, κέχρηται τῇ περιουσίᾳ πλούτῳ παραβάλλει τὴν φύσιν τοῦ Πλάτωνος, τὸ πλῆθος τῶν λόγων αὐτοῦ δηλῶν.

224,10 περὶ ὧν ὡμολόγηται μηδὲν ἐκεῖνον πραγματεύεσθαι λέγεται μηδὲν αὐτὸν γεγραφέναι, ἀλλὰ διὰ τῆς συνουσίας τὴν διδασκαλίαν ποιεῖσθαι.

224,11 τὸ τὸν διδάσκαλον ἀξιοῦν κοσμεῖν τῷ περιτιθέναι αὐτῷ τοὺς ἑαυτοῦ λόγους.

224,14 ἃ μὲν τοίνυν περὶ τῶν ἀνδρῶν εἰκὸς ἦν εἰπεῖν οἱ ἀγῶνες. πληρώσας τὰ ἐγκώμια ἄρχεται λοιπὸν ἅπερ δοκεῖ ἀπολογίαν ἔχειν τὰ ἐγκλήματα ὧν αὐτοῖς ἐπιφέρει ὁ Πλάτων. δείκνυσι δὲ Ἀριστείδης δεινῶς φύσει μὲν οὐκ ὄντα ἐγκλήματα, μᾶλλον δὲ οὐκ ὄντα κατηγορήματα, βουλόμενος δεῖξαι τὸν Πλάτωνα ἐγκαλοῦντα τὰς συμφοράς. θαυμασίως γοῦν ὁ ῥήτωρ ἀρχόμενος τῶν ἀγώνων ἐπισημαίνεται καὶ διορίζεται ἀπὸ τῶν ἀνδρῶν τὰ ἐγκλήματα· φησὶ γὰρ, ἃ μὲν τοίνυν περὶ τῶν ἀνδρῶν εἰκὸς ἦν εἰπεῖν, ὡς τούτων μὲν διαφερόντων τοῖς ἀνδράσιν, ἐκείνων δὲ ὄντων ἀλλοτρίων ὧν μέλλει ἐπιφέρειν. τίθησι τοιγαροῦν πρώτην ἀντίθεσιν τοῦ Πλάτωνος ὅτι κακοὶ ὄντες προσπεπόνθασι παρὰ τοῦ δήμου κακῶς, μεταφέρων τὴν αἰτίαν ἐπὶ τοὺς Ἀθηναίους, ὅτι οὐ δίκαιον τὴν Ἀθηναίων ἀδικίαν μεταφέρειν ἐπὶ τοὺς ἄνδρας. τῷ μέτρῳ δὲ τὸν Πλάτωνα παρελθεῖν βουλόμενος Ἀριστείδης πρὸς τὴν κατηγορίαν τὴν Πλάτωνος, μίαν οὖσαν τὸν ἀριθμὸν, τριπλῆν αὐτὴν ἀπολογίαν πεποίηται, καὶ λέγει μὲν ὑπὲρ τῆς τέχνης λόγους δύο, λέγει δὲ μετ᾽ ἐκείνων λόγον ἕτερον ὑπὲρ τῶν τεσσάρων ῥητόρων. εἶτα τρίτην ἐπιφέρει τὴν κοινὴν ἀπολογίαν. καὶ τινὲς αὐτὴν κοινὴν ἀξιοῦσι καλεῖσθαι διὰ τὸ κοινῶς ὑπὲρ τῶν τεσσάρων ἀπολογεῖσθαι ῥητόρων· τὸ δ᾽ ἀληθὲς, ἐπειδὴ κοινῶς ὑπὲρ τῆς τέχνης καὶ τῶν προσώπων τὴν ἀπολογίαν ποιεῖται, τὴν προσηγορίαν οὕτως ἐδέξατο. οἱ πρὸ ταύτης τῆς κοινῆς ἀπολογίας τέσσαρες λόγοι ὥσπερ παροιμία ταύτης δοκοῦσι καὶ τῆς τῶν ἀνδρῶν ἀνατροφῆς καὶ διαίτης καὶ πολιτείας ἔπαινοι καὶ διηγήσεις. ἡ δὲ κοινὴ ἀπολογία τοῖς ἀγῶσιν ἔοικεν· ἀπολογίας γὰρ ὑπὲρ αὐτῶν ἔχει καὶ λύσεις τῶν ἐπενεχθεισῶν αὐτοῖς κατηγοριῶν· καὶ γὰρ οἱ τέσσαρες ἐκεῖνοι λόγοι καὶ αὕτη εἷς ἐστι λόγος· διὸ καὶ οὕτως ὀνομάζεται παρὰ τῶν παλαιῶν ὁ ὑπὲρ τῶν τεσσάρων. εἰ δέ τις εἴπῃ, πῶς καὶ ἐν ἐκείνοις τοῖς λόγοις ἀπολογεῖται ὑπὲρ αὐτῶν; φαμὲν

ὡς εἰ καὶ ἀπολογεῖται, ἀλλ᾽ οὐκ εἰς πλάτος ὥσπερ ἐνταῦθα, βραχέως δὲ καὶ κατὰ ἀνάγκην τοῦτο συμβὰν ὑπὸ τῆς τοῦ λόγου ἀπολογίας.

224,15 ἀπειροκάλως φιλοδόξως. εἴρηται δὲ ἀπὸ τοῦ ἀπείρους εἶναι τοῦ καλοῦ, ἤτοι τῆς ταπεινώσεως. ἢ ἀπειρόκαλοι οἱ ἀμέτρως καλυνόμενοι. τοιοῦτοι δὲ οἱ τῆς νεανικῆς ἡλικίας.

224,15bis ἰσχυρίζεται δὲ ὁ Πλάτων.

224,18 ἐγὼ δ᾽ οὐδ᾽ ἄλλον τινὰ ἠξίουν ἂν ταῦτα ὀνειδίζειν οὐκ εἶπεν ἐγκαλεῖν, ἀλλ᾽ ὀνειδίζειν. ὄνειδος μὲν γὰρ γένοιτο τοῖς ἀπὸ τύχης συμβαίνουσιν, ὡς Ἰσοκράτης.

225,1 ἀλλὰ μεμνῆσθαι τοῦ τί δὲ χείρων ἐγὼ, ἂν ὁ δεῖνα πανταχοῦ ἐνταῦθα μεταστατικὴν ποιεῖται τὴν ἀπολογίαν· μεταφέρει γὰρ τὴν αἰτίαν ἐπ᾽ Ἀθηναίους καὶ περιτρέπει εἰς αὐτοὺς τὸ ἔγκλημα, ὅτι αὐτοὶ μᾶλλον ἠδίκησαν τοὺς ἄνδρας, ἀδίκως αὐτοὺς τιμωρησάμενοι. τοῦ τί δὲ χείρων ἐγὼ ἐν τῷ Γοργίᾳ.

225,3 τοὺς δὲ λόγους καὶ τὴν πολιτείαν αὐτῶν, ἀφ᾽ ὧν προείλοντο, δίκαιον σκοπεῖν αὐτοὶ μᾶλλον ἠδίκησαν τοὺς ἄνδρας· οὐδὲ δίκαιον τῇ ἀδικίᾳ τιθέναι τὴν κατὰ τούτων βλασφημίαν, καὶ ταῦτα Πλάτωνα τυγχάνοντα, εἰδότα τῶν ἀνθρώπων τὴν φύσιν.

225,4 ὅπως ἂν ἐμαυτῷ συγγνοίην ἵνα μὴ φανερῶς ὑβρίσῃ τὸν Πλάτωνα, ἐπὶ τοῦ ἰδίου προσώπου τὸν λόγον πεποίηται· οὐ γὰρ εἶπε σοὶ, ἀλλ᾽ ἐμαυτῷ. οὐ γὰρ εἰκὸς, φησὶ, παιδευθέντας ὑπ᾽ αὐτῶν εἰς αὐτοὺς ἐξαμαρτεῖν ἀντίθεσις παρὰ τοῦ Πλάτωνος. ἀλλ᾽ οὐκ ἂν, φησὶν, ἐτιμωρήσαντο αὐτοὺς, εἰ ἦσαν παρ᾽ αὐτῶν παιδευθέντες.

225,5 φησὶ ἐν τῷ Γοργίᾳ. οὐδ᾽ ἐξ ὧν βελτίους ἐγένοντο, ἐκ τούτων ἄδικόν τι ψηφίζεσθαι οὐ λέγει ἐξ ὧν ἀνθρώπων, ἀλλ᾽ ἐξ ὧν πραγμάτων· οἷον ἔμαθέ τις καὶ ἐπαιδεύθη τὸ δίκαιον. οὐκοῦν οὐκέτι μανθάνει ἐξ αὐτοῦ τοῦ δικαίου τὸ ἀδίκως ψηφίζεσθαι· οὕτως καὶ οἱ Ἀθηναῖοι, εἰ ἦσαν ὠφεληθέντες τὴν δικαιοσύνην, οὐκ ἔτι ἀδίκως ἐψηφίζοντο.

225,6 αὐτοὺς τοὺς Ἀθηναίους.

225,7 ἀλλ᾽ ὅτι μὴ πάντ᾽ ἐκείνοις ἐδυνήθησαν ὅμοιοι γενέσθαι καλῶς τὸ ἐκείνοις. ἔμφασιν ἔχει· οὐ γὰρ ἀνάγκη τοὺς μαθητὰς πάντας ὁμοίους τοῖς διδασκάλοις γίνεσθαι.

225,8 οὔτε γὰρ μὴ πάντ᾽ ἀναμαρτήτους γενέσθαι Δημοσθενικὸν τὸ ἐνθύμημα· μετὰ γὰρ τὸ ἐνεγκεῖν εἰς ἔλαττον τὸ ἁμάρτημα σπεύδει κἀκεῖνο περιελεῖν. καὶ ταῦτα ὄντας δῆμον καλῶς τὸ τοῦ δήμου ὄνομα προσέθηκεν· οὐ γὰρ δυνατὸν ἐνοχλεῖν, καὶ δῆμον εὑρεῖν ἀναμάρτητον· ὅπερ καὶ ἐν τῷ Μιλτιάδῃ προείρηκε.

225,12 ἦ που τοῖς γε ἄγουσιν αὐτοὺς πρὸς τὸ βέλτιστον ἀπὸ κοινοῦ τὸ συγγνώμην.

225,13 Πλάτων τοίνυν, ὡς μὲν ἐκείνοις χρώμενοι κατώρθουν, οὐδὲν ἐᾷ σκοπεῖν τὸ κακοῦργον ἐμφαίνει τοῦ Πλάτωνος. ἔοικε δὲ τὸ νόημα εἶναι ἀντιστατικόν· ἀντιτίθησι γὰρ αὐτῶν τοῖς ἁμαρτήμασι τὰ κατορθώματα.

225,16 ἃ δ᾽ οὐχ ὧν ἐπαιδεύθησαν ἦν, ἀλλὰ τῆς ἀνθρωπείας φύσεως ἐμμεμενηκότα ταῦτα γὰρ προαιρέσεως ἐγκλήματα· καὶ ἀντιτίθησι τῇ τύχῃ τὴν γνώμην.

225,18 τοὺς γραμματιστὰς τὸ τοῦ γραμματιστοῦ κοινόν ἐστι· λέγεται γὰρ καὶ ἐπὶ τῶν χαμαὶ διδασκάλων ὡς ἐν τῷ παρόντι, καὶ ἐπὶ τῶν γραμματικῶν, ὡς Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασι. τοῖς παισὶ ἔοικε δεινῶς εἰρηκέναι τοῖς παισί· παίδων γὰρ ἴδιον τὸ σφάλλεσθαι.

225,19 ἐκ τῶν δυνατῶν ἀντὶ τοῦ καθόσον ἠδύναντο. ὁ δὲ Πλάτων λέγει ὅτι τὰ ἁμαρτήματα ταῦτα τῶν παίδων ἐστὶ καὶ οὐ τῶν διδασκάλων. αὐτῷ οὖν κέχρηνται. εἴ τι μὴ καλῶς ὕστερον, μηδὲ ὡς χρὴ γράφοιεν ἐφ᾽ αὑτῶν δείκνυσιν ὅτι ὕστερον καθ᾽ ἑαυτοὺς γενόμενοι ἐξήμαρτον.

226,3 ταῦτα δὲ αὐτῶν ἐστιν ἁμαρτήματα ταῦτα ἴδια τῶν φοιτησάντων εἰσὶν ἐγκλήματα. εἴτ᾽ ἐνδείᾳ μαθήσεως εἴτε ῥᾳθυμίᾳ εἴτε μὴ ἀκριβῶς μαθόντων, εἴτε μετὰ τὸ μαθεῖν καταφρονησάντων.

226,5 οὐδὲ τὴν παρ᾽ ἐκείνου γε συντέλειαν κατεχρήσατο τῇ λέξει· συντέλεια γὰρ καλεῖται ἡ ἐκ πολλῶν εἰσφερομένη λειτουργία· ἢ συντέλειά ἐστιν ἡ

ἐκ πολλῶν ἀγαθῶν ἕν τι χρήσιμον ἀπεργαζομένη· ὡς καὶ Δημοσθένης· δεῖ γὰρ τούτων τὸν διδάσκαλον πολυμαθῆ καὶ ἄφθονον καὶ σπουδαῖον εἶναι περὶ τοὺς νέους. οὐ μᾶλλόν γ' ἢ καὶ οἱ τῶν τροφῶν ἀποροῦντες διὰ τοὺς πορίσαντας καὶ διδόντας αὐτοῖς ἀποροῦσιν ὥσπερ οὐ διὰ τοὺς δόντας ἀποροῦσιν ὕστερον ἀποροῦντες τροφῶν.

226,7 εἰ μὲν οὖν τι χεῖρον Ἀθηναίους ἐκεῖνοι προυδίδαξαν τουτέστι τὸ μὴ ἀδικεῖν οὐκ ἠδυνήθησαν μαθεῖν παρὰ τῶν ῥητόρων. εἶτά φησιν ὅτι πάντα ἔμαθον παρὰ τὸ ἀδικεῖν.

226,9 τί τό γ' ἐκπεφευγὸς τὸ μὴ δυνηθῆναι μαθεῖν· τοῦτο γὰρ σημαίνει τὸ ἐκπεφευγός.

226,10 ἀπώναντο ὠφελήθησαν.

226,12 οὕτως, ἅ γ' ἐπείθοντο, σαφῶς ἄρ' οἱ πείθοντες ἔπειθον καλῶς σφόδρα ἐκπέφευγε τοῦτο ῥητορικὴν ἔννοιαν· ἀλλ' ἵνα Πλάτωνος μιμήσηται χαρακτῆρα, οὕτως ἐχρήσατο. ὥσπερ γὰρ ἐκεῖνος πολλοὺς ἐπεξιὼν λόγους ὕστερόν φησιν, οὐκοῦν, ἐὰν τὸ καὶ τί ἐστιν ἀθάνατος ἡ ψυχὴ, οὕτως καὶ αὐτὸς ἔπλεξεν.

226,3 καὶ τὰς ἄλλας τέχνας λέγω καὶ τὰς πάνυ φαύλας ἵνα μή τις εἴπῃ ὅτι διὰ τὸ μέγεθος τῶν ἐπιστημῶν τούτων οὐχ οἷόν τε ἐστὶν ἀκριβῶς πάσας παραλαβεῖν, προσέθηκε καὶ τὰς πάνυ φαύλας.

226,16 μηδ' ὅμοιος ᾖ τῷ διδάξαντι δηλονότι τὴν τέχνην, οὐ τὸν τρόπον.

226,18 ὡς ἑκόντος ὑποστειλαμένου κρύψαντος. ὑποκρύψαντος, ὅτι ἐστὶ φθονοῦντος· πολλάκις γὰρ ἃ οἷδέ τις οὐ διδάσκει.

226,20 κἀπὶ τῶν τοιούτων ἰσχύοντα τουτέστιν ἐπὶ τῶν διδασκάλων καὶ μαθητῶν.

227,1 τὴν δὲ πολιτικὴν πολιτικὴν ἀρετὴν καλεῖ τὴν δικαιοσύνην· ἄλλο γὰρ ἐπιστήμη πολιτικὴ, ὅπερ κατηγορεῖ τούτων, ὅ ἐστι γνῶσις καὶ οἴκησις πόλεως· ἄλλο δὲ νῦν πολιτικὴν ἀρετὴν εἶπε, τουτέστιν ἀναντίλεκτον καὶ ὁμολογούμενον ἔγκλημα.

227,3 κατὰ φυλὰς καὶ κατὰ ἄνδρα τουτέστι κατὰ σύνταγμα καὶ κατὰ ἕνα, ἐπειδὴ οἱ προεστῶτες τῆς τῶν Ἀθηναίων πολιτείας κατὰ φυλὰς διεδίδουν τὸ θεωρικόν. οἱ δὲ τῆς φυλῆς προεστῶτες κατ᾽ ἄνδρα διένεμον τὸ τριώβολον. ὥσπερ οὖν, φησὶν, οὐδεὶς ἐγκαλεῖ τοῖς διανέμουσιν, ὅτι οὐ τὰς φύσεις κρίνοντες παρεῖχον, ἀλλ᾽ ἁπλῶς διένεμον, οὕτως δίκαιον ἐγκαλεῖσθαι τοὺς ῥήτορας, οἳ αὐτοὶ πᾶσιν Ἀθηναίοις ὁμοίοις οὖσι τὰς φύσεις προσῆεσαν. ὥσπερ θεωρικὸν τὴν ἐπιστήμην διανέμοντες τοῦτο γὰρ ἐξ ἴσου πᾶσιν ἐδίδοτο. αἰνίττεται δὲ ὅτι καὶ περὶ τοῦ ἔθους τῶν θεωρικῶν διαβάλλει Περικλέα ὁ Πλάτων. οἰκείως δὲ τῇ λέξει ἐχρήσατο περὶ τοῦ θεωρικοῦ.

227,4 τοῦ μὲν χυτρέως οὐ κατηγορεῖς, ὅτι μὴ πάντας ἐφεξῆς πλάττειν ἐδίδαξε χυτρέως, τοῦ κεραμέως. ἡ δὲ τέχνη εὐχερὴς πρὸς διδασκαλίαν. ἀπὸ τοῦ ἥττονος οὖν ἔλαβε. λέγει δὲ ὁ Πλάτων ὅτι οὐ δεῖ τοῦ κεραμέως κατηγορεῖν, εἰ μὴ πάντας ἐδίδαξεν.

227,6 καὶ οὐκ ἀγαπᾷς τὸ τοῦ σοῦ Πρωταγόρου διάλογος αὐτὸς Πλάτωνος. ἔστι δὲ ὁ Πρωταγόρας εἷς τῶν σοφιστῶν, οὓς διαβάλλει ὁ Πλάτων.

227,7 ἀνεγκλήτως ἀκατηγορήτως.

227,8 ὁ δῆμος ἐμμένει τῷ τοῦ δήμου ὀνόματι. καὶ μὴν ὁρῶμέν γε καὶ τοὺς ἰατροὺς ἐπειδὴ τὴν ἰατρικὴν ἐπαινεῖ Πλάτων, ἐντεῦθεν αὐτῷ παράγει τὸν λόγον. οὐχ ἁπλῶς δὲ ἡ παραβολή· μίαν γὰρ ταύτην τῆς ἀρίστης παρασκευῆς τοῦ σώματος. φησὶν οὖν ὅτι καὶ ὁ πάνυ τεχνίτης ἰατρὸς οὐ καθάπαξ ἐξαιρεῖ τὸ νόσημα.

227,11 ταῖς παντελέσι θεραπείαις ὅτι ὅλως ἔπαυσαν αὐτοὺς νοσοῦντας. τήν γε φύσιν οὐχ οἵους τε ὄντας ὑπερβῆναι ἀκολουθεῖ γὰρ ταύτῃ τὰ νοσήματα. κἀνταῦθα δὲ Δημοσθενικὸν τὸ ἐπιχείρημα· Δημοσθενικῶς γὰρ οἰκονομεῖ· τὰς γὰρ αἰτίας ἀναγαγὼν εἰς τὸν δῆμον ἐξαιρεῖ καὶ αὐτοὺς τῆς αἰτίας, φάσκων οὐκ αὐτῶν εἶναι τὰ ἁμαρτήματα, ἀλλὰ τῆς κοινῆς φύσεως.

227,14 τῶν δυσχερῶν τῶν ἀδίκων καὶ λυπηρῶν.

227,15 κατασχεῖν ἀντὶ τοῦ κωλῦσαι. μηδ᾽ ἀθάνατα ἰάσαντο ἀνέμεινε τῇ τροπῇ τῆς ἰατρικῆς. τοῦ δήμου δὲ φύσεως εἶπεν, οὐ φύσεως μόνης· διὸ καὶ

ἐπήνεγκε τῆς κοινῆς.

227,17 οὐκ ἀφικνούμενοι διὰ παντὸς τοῦ σπέρματος οὐ περιγινόμενοι τοῦ παντὸς σπέρματος τῶν λυμαινομένων, οἵων βοτανῶν ἀγρίων καὶ τῶν ἄλλων. ἀφικνούμενοι περιγενόμενοι καὶ νικῶντες.

227,19 σπέρμα ἀναγκαῖον ἀδικίας καὶ ἀγνωμοσύνης ἐνταῦθα σπέρμα τὸ φυσικὸν δηλοῖ ἁμάρτημα. καὶ οὐ πάνθ' ὑπήκουσεν αὐτοῖς ἀντὶ τοῦ ἠκολούθησε καὶ ὑπηρέτησε.

227,20 ἔσθ' ἃ καὶ καθ' αὑτὸν ὁ δῆμος ἐβουλεύσατο μόνος γενόμενος. τί δεῖ τὰ ἑτέρων ἐκείνοις λογίζεσθαι μεταστατικῶς ἀγωνίζεται.

227,21 τῆς ἑτέρας μερίδος δηλονότι.

228,3 καὶ δῆτ' ἔγωγ' ἐνεθυμήθην, ὡς λυσιτελούντως αὐτῷ Πλάτωνι τὰς αἰτίας ἀπολύομαι ὃ θέλει εἰπεῖν, τοιοῦτόν ἐστιν· ὅτι ἐγὼ ἀπολογούμενος ὑπὲρ τῶν ῥητόρων καὶ ὑπὲρ Πλάτωνος ἀπολογοῦμαι. λέγει γὰρ ὅτι οὐκ εἰσὶν ἄξιοι τοῦ κατηγορεῖσθαι· καὶ διὰ τούτου δεικνύω ὅτι ἀνάξιος ἦν ὁ Πλάτων παθεῖν τινὰ παρὰ Διονυσίου. προσποιεῖται δι' ὧν αὐτῷ προφέρει τὰς συμφοράς, καὶ διὰ τούτων ὑπὲρ αὐτοῦ μᾶλλον ἀπολογεῖσθαι· οὐ γὰρ αἱ συμφοραὶ προαιρέσεως ἔγκλημα. ἐντεῦθεν εἰσβάλλει εἰς τὴν ἠθοποιίαν τὴν θρυλλουμένην. ᾐτιάσαντο δέ τινες αὐτὸν ὡς Πλάτωνος κατηγοροῦντα, ἀγνοοῦντες ὅτι ἠθικῶς καὶ ἐσχηματισμένως, καὶ ὡς ὑπὲρ αὐτοῦ τὸν λόγον ποιησάμενος φαίνεται. καὶ αὐτῷ τῷ Πλάτωνι συμφερόντως ἀπολύεται τὰς αἰτίας ταύτας· καὶ ἅστινας σαφῶς κατηγορῶν δίδωσιν ἀφορμὰς κατ' αὐτοῦ, εἰ θέλει τις μιμησάμενος διαβάλλειν αὐτόν. καθ' ὑπόθεσιν τὸ ἐπιχείρημα, ἵνα μὴ διὰ τοῦ προσώπου δοκῇ διαβαλεῖν τοῖς ἀνδράσι τὸν λόγον, Δημοσθενικῶς ποιῶν. κατηγοροῦσι δὲ Ἀριστείδου, ὡς ὑβρίζοντος τὸν Πλάτωνα· ἀλλ' ἀγνοοῦσιν ὡς ἐσχημάτισται αὐτῷ πανταχοῦ τὰ τῆς ἠθοποιίας, καὶ ἠθικῶς καὶ ἐσχηματισμένως φαίνεται μεταχειρισάμενος, καὶ οὐκ ἐκ τοῦ φανεροῦ ὑβρίζων τὸν φιλόσοφον. ἤδη οὖν προθεραπεύει τὴν διαβολὴν, λέγων ὅτι αὐτῷ τῷ Πλάτωνι λυσιτελούντως ἀπολύομαι τὰς αἰτίας· μέλλει γὰρ προφέρειν τὰς συμφορὰς καὶ τὰς ἀτιμίας, ἃς ὑπέστη παρὰ Διονυσίου, τοῦ Σικελίας τυράννου.

228,5 εἴ τις αὐτὸν βούλοιτο μιμήσασθαι ὥσπερ αὐτὸς κατηγόρησε τῶν ῥητόρων, καὶ ἡμεῖς αὐτοῦ κατηγορήσομεν.

228,6 καθάπερ τὸν Πρωτεσίλαον φασὶ, παραιτησάμενον τοὺς κάτω, γεγενῆσθαι μετὰ τῶν ζώντων ὁ Πρωτεσίλαος δρᾶμα γέγραπται Εὐριπίδῃ. λέγει δὲ ὅτι γαμήσας καὶ μίαν ἡμέραν μόνην συγγενόμενος τῇ γυναικὶ αὐτοῦ, ἠναγκάσθη μετὰ τῶν Ἑλλήνων κατὰ τῆς Τροίας ἐλθεῖν, καὶ πρῶτος ἐπιβὰς τῆς Τροίας ἐτελεύτησε καὶ φασὶν ὅτι τοὺς κάτω δαίμονας ᾐτήσατο, καὶ ἀφείθη μίαν ἡμέραν, καὶ συνεγένετο τῇ γυναικὶ αὐτοῦ.

228,7 ὥσπερ τῶν κωμικῶν τις ἐποίησε τέτταρας τῶν προστατῶν ἀνεστῶτας, ἐν οἷς δύο τούτων ἔνεισιν Εὔπολις ἐποίησεν ἀναστάντα τὸν Μιλτιάδην καὶ Ἀριστείδην καὶ Γέλωνα καὶ Περικλέα. ἐν τούτοις οὖν ἔνεισι δύο, φησὶ, Περικλῆς καὶ Μιλτιάδης. λέγει δὲ Εὔπολις οὕτως
«Καὶ μηκέτι ἄναξ Μιλτιάδῃ καὶ Περικλεῖ, ἐάσατ’ ἄρχειν
μειράκια κινούμενα ἐν τοῖσι σφυροῖσιν ἕλκοντα τὴν στρατηγίαν.»
ἐν οἷς δύο τούτων ἔνεισιν Θεμιστοκλῆς καὶ Περικλῆς.

228,9 ἔπειτα ἔλεγον τὸν Περικλέα προστησάμενοι ὡς ῥητορικώτερον ὄντα τῶν ἄλλων. καὶ τοῦ Θεμιστοκλέους δὲ προσέθετο, ὡς καὶ αὐτὸν ὄντα ῥήτορα· Μιλτιάδης δὲ καὶ Κίμων στρατηγικοὶ μᾶλλον ἐτύγχανον.

228,11 ἐπανήσομεν ὑποχαλάσομεν.

228,12 τὸν ξύοντα δ’ ἀντιξύειν καὶ τοῖς ὄνοις ἡ παροιμία δήπου δίδωσι ἀντὶ τοῦ οὐδὲ ὄνος καρτερεῖ δακνόμενος· καὶ γὰρ ἐπὶ τῶν ὄνων ἡ παροιμία. τοῦτο δὲ εἶπε διὰ τὸ ἀντικνήθειν ἀλλήλους τοῖς ὀδοῦσι. βούλεται οὖν εἰπεῖν ὅτι, εἰ καὶ τοῖς ὄνοις δίδοται, πολλῷ πλέον τοῖς λέουσιν ἀπεικάσαι. τὸν ξύοντα ἀντιξύειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀμυνομένων, ἢ ἀμειβομένων. εἴληπται δὲ ἐκ τῶν ὄνων, οἳ δακνόμενοι ὑφ’ ἑτέρων ὄνων αὐτοὶ τοὺς δάκνοντας ἀντιδάκνουσι, κνήθοντές τε καὶ κνηθόμενοι.

228,13 Περικλέα δὲ, κἂν τοῖς λέουσι μᾶλλον ἢ τοῖς ὄνοις εἰκάζειν φαῖεν ἂν Ὁμηρίδαι ἐν διανοίᾳ ποιεῖται τὸν Περικλέα λέοντα, ἢ διὰ τὴν ὄψιν τῆς μητρὸς αὐτοῦ, ἢ τοὺς τοιούτους εἰώθασιν ἀπεικάζειν λέουσιν. Ὅμηρος τοὺς θαυμαστοὺς τῶν ἡρώων λέγειν ἀπεικάζει, οἷον Ἀχιλλέα, ἢ Αἴαντα·

εἰκότως δὲ τοῦτο περὶ Περικλέους εἶπεν· ἐγκυμονοῦσα γὰρ αὐτὸν ἡ μήτηρ λέοντα τεκεῖν ἔδοξε, καὶ ἐπὶ τῷ ὁράματι τούτῳ ἔτεκε Περικλέα, ὡς καὶ οὗτος ἐν τῷ ὑπὲρ αὐτοῦ τοῦ Περικλέους λόγῳ φησίν.

228,14 ὥστε τοσοῦτόν γ' ἐξέσται μεταδοῦναι παρρησίας αὐτῷ, ὅσον—μὴ κεκωλύσθαι διδάσκειν ὥστ' ἔξεστι τῷ Περικλεῖ ἀντιβλασφημεῖν πρὸς τὸν βλασφημήσαντα. ὅσῳ δὲ βελτίων τοῦ ὄνου ὁ λέων, Περικλῆς δὲ λέων, ἢ ὄνος. τοσοῦτον ἐξέσται μεταδοῦναι παρρησίας τῷ Περικλεῖ ὡς τὸ εἶναι αὐτὸ μὴ κεκωλύσθαι λέγειν ὑπὲρ αὐτοῦ, ὅσον εἰ μηδὲ ἀπὸ τοῦ Πλάτωνος ἐκ τοῦ αὐτῶν ἐνῆν κεκωλύσθαι διδάσκειν ὑπὲρ αὐτοῦ. ἢ οὖν τὸν Περικλέα λέγει, ἢ τὸν Πλάτωνα· ἔστι γὰρ ἐπ' ἀμφοτέρων λαβεῖν· ἐπὶ μὲν τοῦ Περικλέους, ὅτι οὐδὲ τοῦτο δεῖ κωλύειν τὰς συμφορὰς καταλέγειν· τὸ γὰρ μὴ ἐπίρρημα πλεονάζει παρὰ τοῖς Ἀττικοῖς· ἐπὶ δὲ Πλάτωνος, ὅτι οὐδ' αὐτὸς ὀφείλει συμφορὰς καταλέγειν. ἢ οὕτως· εἰ τῷ Πλάτωνι, φησὶν, οὐ γίνονται κωλύματα τῆς ἀπολογίας αἱ συμφοραὶ, ἃς ὑπέστη, οὐκοῦν οὐδὲ τῷ Περικλεῖ. συμφορὰν δὲ λέγει τὸν περὶ Σικελίαν πλοῦν.

228,15 ἐκεῖνον τὸν Πλάτωνα.

228,17 οἷς γὰρ τὸν Πλάτωνα συκοφαντεῖσθαι φήσει, τούτοις ὅπως συκοφαντεῖ βεβαιώσει εἰ γὰρ τὸ λέγειν συμφορὰς συκοφαντεία ἐστὶν, εἰ δὲ συκοφάντης ὁ Πλάτων, πολλὰς τῶν ἀνδρῶν συμφορὰς καταλέξας περιτρέπει εἰς ἑαυτὸν τὸ ἁμάρτημα.

229,3 δεξιόν τι νομίζειν κελεύσει κατὰ συνεκδοχὴν λάμβανε, εἰς τὸ πῶς εἰρηκέναι γ' αὐτόν. δέον δὲ οὕτω τὸν λόγον ποιήσασθαι· φέρε γὰρ εἰ ἀνάστασιν εὕραντο, ἔπειτα προστησάμενοι τὸν Περικλέα εἰς λόγον πρὸς σὲ κατέστησαν, τοιαῦτ' εἶπον ἄν· ἡμεῖς, ὦ Πλάτων, καὶ τὰ ἑξῆς· οὕτω δέον εἰπεῖν· ὁ δὲ πολλὰ θεὶς διὰ μέσου, ἐπανάληψιν ἐποιήσατο, καὶ φησίν· ἐροῦσι τοίνυν, ὡς ἐγὼ νομίζω, ταυτὶ, μᾶλλον εἶπον ἄν.

229,4 ἡμεῖς, ὦ Πλάτων, πολλὰ καὶ βλάσφημα ἀκούσαντες ὑπὸ σοῦ ὁ μὲν σοφιστὴς Ἀφθόνιος εἰδωλοποιίαν αὐτὴν καλεῖ, ὅτι τετελευτηκότα, φησὶ, ποιεῖ διαλεγόμενον, οὐ καλῶς λέγων· εἰδωλοποιίαν μὲν γὰρ ἐποίησεν Ὅμηρος ἐν Ὀδυσσείᾳ. εἰδωλοποιία δέ ἐστι τοῦ ὥσπερ τὸ εἴδωλον, τουτέστι τὸ ἀφομοίωμα, διαλέγεσθαι. ὁ δὲ Θέων προσωποποιίαν τὴν

αὐτὴν λέγει· ὅτι ἡ προσωποποιία ἐστὶ τὸ τὴν τοῖς ἀψύχοις περιθεῖναι φωνήν. ἄψυχοι δὲ οἱ τετελευτηκότες. προσωποποιία οὖν ἐστιν. ὁ δὲ Σώπατρος ἠθοποιίαν αὐτήν φησι λέγει, ὅτι οὐχ ὑπέθετο αὐτοὺς λαλοῦντας ἐκ τῶν κάτω, ἀλλ᾽ ὡς ὄντας αὐτοὺς, καὶ λέγοντας· βιοῦντας γὰρ αὐτοὺς ποιεῖ τὴν πρώτην ἡμέραν· εἰ δὲ τὴν τῶν ζώντων προσωποποιίαν ἐποίησε, λείπεται πᾶσαν ἠθοποιίαν προσωποποιίαν εἰπεῖν.

229,7 κάλλιστον δὲ πάντων κερδῶν ἡ τῶν ἀγαθῶν ἀνδρῶν φορὰ ἐπειδὴ διάφορα τὰ κέρδη, αὔξει τῇ ποιότητι τοῦ κέρδους τὸν ἔπαινον.

229,8 ὧν καὶ ἡμεῖς ποτε ᾠόμεθα εἶναι ζῶντες φησί. καλῶς δὲ ἔχει ὁ καὶ σύνδεσμος· δηλοῖ γὰρ ὅτι οὐκ ἀποστερεῖ τὸν Πλάτωνα ἐπαίνων.

229,10 εἰκὸς μέν σέ γ᾽ ἄμεινον ἡμῶν ἐπίστασθαι τὸ σύγγραμμα. οὐ γὰρ ἡμεῖς γ᾽ ἴσμεν περὶ τοιούτων συγγραμμάτων οὐδὲν καθάπτεται Πλάτωνος ἐνταῦθα βαθέως. εἶτα ὥσπερ τὸ πικρὸν θεραπεύει τῆς ὕβρεως· οὐ γὰρ ἡμεῖς, φησὶν, ἐπεδημήσαμεν τῇ Σικελίᾳ.

229,12 ἡμῖν ὑπὸ τῶν λόγων τῶν πολιτικῶν οὐχ ὑπῆρχε σχολὴ τῶν ἐκεῖ μαθεῖν οὐδὲν ἀκόλουθον ἦν εἰπεῖν, οὐκ ἔχομεν περὶ φιλοσοφίαν, ἀλλ᾽ ἐπὶ τοῦτο, ὅτι τοῦ βαρβάρου ἥκοντος παρῄνει Θεμιστοκλῆς, μὴ φεύγειν εἰς Σικελίαν, καὶ Περικλῆς, ἀρχὴν μὴ ἐπικτᾶσθαι.

229,14 εἰ καὶ μὴ ἑκόντα, ἀλλὰ καὶ ἄκοντα, — καὶ ἀκουσίων πεῖραν λαβεῖν ἐμφαίνει τὰς ἀπὸ Διονυσίου ὕβρεις εἰς αὐτὸν γενομένας.

229,15 ἅτε πολλάκις διὰ τοῦ Σικελικοῦ πελάγους νομισθέντα λέγεται γὰρ εἶναι τοῦτο δεινόν. αἰνίττεται δὲ τὴν Χάρυβδιν.

229,16 φέρε δὴ πρὸς αὐτῆς τῆς ἐν Σικελίᾳ τραπέζης τοῦτο τὸ κῶλον τῆς ἠθοποιίας βαρύτατόν ἐστι· διαβάλλει γὰρ αὐτὸν ὡς τρυφητήν.

229,17 εἴτε Μίθαικος αὐτὴν, εἴτε καὶ ὁστισοῦν παρετίθει τὸ παρετίθει ἀντὶ τοῦ συνέγραφεν. ὡς ἐπὶ τραπέζης δὲ τοῦτο. τὸ δὲ ὁστισοῦν, ἐπειδὴ παραβάλλει αὐτοὺς καὶ Θεαρίωνι καὶ Σαράμβῳ· ἦν δὲ ὁ μὲν Θεαρίων ἀρτοποιὸς, ὁ δὲ Σάραμβος κάπηλος.

229,19 εἰ μὲν βούλει, τὸν Ἑρμοκράτους αὐτὸς γὰρ στρατηγὸς ᾑρέθη ὑπὸ τῶν πολιτῶν κατὰ Ἀθηναίων, καὶ μετὰ τὰς εὐεργεσίας καθεῖλον αὐτὸν, καὶ ἐξέβαλον τῆς πόλεως. μετὰ ταῦτα καὶ τὸν τούτου υἱὸν ἐχειροτόνησαν στρατηγὸν κατὰ Χαλκιδέων. οὗτος οὖν ὁρῶν τὰ δεινὰ τὰ κατὰ τοῦ πατρὸς τὴν πολιτείαν αὐτῶν εἰς τυραννίδα μετέστησεν. ὃν Θουκυδίδης δημηγοροῦντα συνετὸν ὑποτίθεται ἐν τῇ τετάρτῃ, ὁμοίως δὲ ἐν ἕκτῃ, ὡς Ἀθηναίους κατηγωνίσατο. τούτου ὁ υἱὸς ὁ πρῶτος Διονύσιος· ὁ γὰρ Ἑρμοκράτους Διονύσιος Διονύσιον ἄλλον τέτοκεν.

230,1 οἱ δὲ τί σοῦ καὶ τῆς σῆς συνουσίας ἀπώναντο δοκεῖ μὲν ἐκείνους μέμφεσθαι ὡς μὴ δυνηθέντας ὠφεληθῆναι, αὐτὸν μᾶλλον ὠφελῆσαι μὴ δυνάμενον. καίτοι διελέγου δήπου πρὸς αὐτοὺς ἠθικῶς εἶπεν.

230,6 τί τῶν θείων, ἢ τῶν ἀνθρωπείων ἄμεινον μετεχειρίσαντο ὅτι οἱ τύραννοι καὶ εἰς θεοὺς ἀσεβεῖς καὶ εἰς ἀνθρώπους ἄδικοι.

230,9 ἔσχεν ἐγένετο.

230,10 εἰ δὲ μὴ τῶν Ἑλλήνων τισὶ, τῶν βαρβάρων τίνι τῶν ἐν Σικελίᾳ ὄντων Σικελιώτης μὲν γὰρ ὁ Ἕλλην, Σικελὸς δὲ ὁ βάρβαρος, ὡς δηλοῖ Θουκυδίδης.

230,14 ἡ σὴ πολιτεία ἡ μετὰ σοῦ διατριβή.

230,15 τῶν ἐν τῇ Λιβύῃ βαρβάρων ἔξω Ἰταλίας οὗτοι καὶ Σικελίας.

230,16 καὶ μὴν εἰ μὲν τοῖς συμβούλοις ἀνατιθέναι χρὴ εἰς ἀγαθοὺς συμβούλους· καὶ τὸ σχῆμα διλήμματον. διλήμματον τὸ σχῆμα. διαφέρει δὲ τοῦ ἀντικειμένου, ὅτι τὸ μὲν ἀντικείμενον δύο ἔχει τὰς προτάσεις, καὶ δύο τὰ συμπεράσματα. τὸ δὲ διλήμματον δύο μὲν τὰς προτάσεις ἔχει, ἓν δὲ τὸ συμπέρασμα, ὥστε κατὰ μὲν τὴν ἀρχὴν συγγενῆ τὰ δύο σχήματα, κατὰ τὸ τέλος δὲ ἀνόμοια.

230,17 τῶν ἐν ταῖς ἐξουσίαις ὄντων.

230,21 ἐν ἀμφοτέροις ἐν ἡμῖν καὶ ἐν σοί.

231,1 πότεροι βελτίονι καὶ δικαιοτέρῳ πράγματι ἐπειδὴ ἔδειξεν ἰσάζοντα τὰ πράγματα, συγκριτικῶς διαλέγεται καὶ ἀπὸ τοῦ προσώπου καὶ ἀπὸ τῶν πραγμάτων.

231,2 ὁ τὸν τύραννον παιδεύειν ἀξιῶν σύ.

231,5 πότεροι πλέον προυβιβάσαμεν; τοὺς ἀκούοντας. προυβιβάσαμεν ἐδιδάξαμεν.

231,6 καὶ μὴν ἐκείνοις μὲν, πλὴν ἴσως ὀλίγων, ἅπανθ' ἡμάρτηται ὅτι οὐκ ἀνεῖλον αὐτόν. διὰ δὲ τὸ πωλῆσαι λέγει τὸν Πλάτωνα.

231,7 τοῖς δὲ μεθ' ἡμῶν ἅπαντα κάλλιον, πλὴν ὀλίγων, ἢ κατὰ πάντας ἀνθρώπους πεποίηται τὸ καλῶς χρῆσθαι τοῖς ῥητοῖς. τῷ καλῶς χρήσασθαι τοῖς ῥήτορσιν.

231,8 εἰ δ' ἐρεῖς ὅτι βελτίους οὗτοι τὴν φύσιν ἐπειδὴ ἀντέπιπτεν αὐτῷ· ἀλλ' εὐφυέστεροι Ἀθηναῖοι.

231,15 ἀλλὰ ταῦθ', ὡς ἔφη Σοφοκλῆς, πεπονθότα ἐστὶ μᾶλλον ἢ δεδρακότα εἰσάγει Σοφοκλῆς ἔν τινι δράματι τινὰ λέγοντα ὅτι πέπονθα μᾶλλον ἅπερ ἔδρασα κακῶς· ἐν οἷς γὰρ ἡμάρτανον, ἔπασχον μᾶλλον ἅπερ ἔδρων.

231,6 πεπονθότα ἐστὶ μᾶλλον ἢ δεδρακότα ἐναλλαγὴ πτώσεώς ἐστι· συνεχῶς γὰρ τὴν αἰτιατικὴν ἀντὶ γενικῆς λαμβάνουσιν, ὥσπερ καὶ ἐν τῷ Παναθηναϊκῷ, ὡς ἐνταῦθα· εἴπερ τῷ τὴν δικαίαν φιλανθρωπίαν ἐνοῦσαν, ἀντὶ τοῦ τῆς δικαίας φιλανθρωπίας οὔσης. καὶ ἐνταῦθα οὖν· ἀλλὰ ταῦτα μᾶλλον πεπονθότων ἐστὶν ἢ δεδρακότων.

231,18 μὴ ἄρ' οὐ Πολυκράτης τὴν ἔξωθεν τύχην οὐδ' αὐτὸς ἡμῖν ἦσθα ἀντὶ τοῦ οὐ πάνυ εὐτυχής. ἡ δὲ ἱστορία παρ' Ἡροδότῳ. οὗτος ὁ Πολυκράτης Σαμίων τύραννος ἦν, πάνυ εὐτυχής. ἡ δὲ ἱστορία παρ' Ἡροδότῳ. ἔξωθεν δὲ τύχην λέγει, ἐπειδὴ ἡ μέν ἐστι περὶ τὰ ἔξω, ἡ τοῦ πλούτου, καὶ τῆς δόξης, καὶ τῶν τοιούτων· ἡ δὲ περὶ τὰ ἔνδον, τουτέστι τὴν ψυχὴν, οἷον αἱ ἀρεταί. θέλει δὲ εἰπεῖν ὡς οὐδὲ αὐτὸς οὕτως εὐτυχὴς, ὡς Πολυκράτης, ὑπῆρχες, ὡς μὴ περιπεσεῖν δυστυχίᾳ. τὴν ἔξωθεν τύχην τὴν ἔξωθεν τύχην λέγει, ἐπειδὴ ἡ μέν ἐστι περὶ τὰ ἔξω, ἡ δὲ περὶ τὰ ἔνδον· καὶ ἡ μὲν

περὶ τὰ ἔξω ποιεῖ λαμπρὸν, πλούσιον, ἡ δὲ κατὰ ψυχὴν δίκαιον, σώφρονα, καὶ συνάπτει τῷ θεῷ.

232,2 εἰ μὴ σὲ ἀνὴρ Ἰταλιώτης ἐξητήσατο, τῶν Πυθαγορείων Ἀρχύταν λέγει. τὸ δὲ ἐξητήσατο, ἔσωσε τοῦ μὴ ἐμβληθῆναι εἰς τὰς λιθοτομίας· οὐδὲ γὰρ λέγει ὅτι ἔλαβε καὶ ὁ Ἀρχύτας παρὰ τοῦ Διονυσίου· ἐπάγει γὰρ μετ' ὀλίγον· καὶ παραδίδωσι δή σε ἀνδρὶ Σπαρτιάτῃ Πόλλιδι, κελεύων πωλῆσαι, δηλονότι Διονύσιος· οὐδὲ γὰρ ὁ Ἀρχύτας, ὁ σώσας αὐτὸν ἠνείχετο πωλῆσαι αὐτὸν ὕστερον. ἀνὴρ Ἰταλιώτης ὁ Ἀρχύτας. ὥσπερ σὺ φὴς τὸν πρύτανιν, ὅτι ἡμῶν ἕνα, μέλλοντα εἰς τὸ βάραθρον ἐμπεσεῖσθαι διεκώλυσε ἕνα λέγει τὸν Μιλτιάδην· ὅτε γὰρ ἐκρίνετο ἐπὶ τῇ Πάρῳ, ἠθέλησαν αὐτὸν κατακρημνῆσαι. ὁ δὲ πρύτανις εἰσελθὼν ἐξητήσατο αὐτόν. ἡ δὲ αἰτία τῆς Πάρου αὕτη ἦν· καταδουλοῦσθαι τὰς νήσους τοῖς Ἀθηναίοις, καὶ ἐξελθὼν εἰς Πάρον πρώτην, καὶ παρελθὼν τὸ ἱερὸν μεμολυσμένος αἵματι τῶν πολεμίων· οἱ μέν φασιν ὡς βέλει ἐβλήθη, οἱ δ' ὡς ἀπὸ τοῦ τείχους κατηνέχθη. κατεαγεὶς οὖν τὸν μηρὸν ὑπέστρεφεν ἄπρακτος· διὸ ἐκρίνετο. τὸν δὲ πρύτανιν καλεῖ Δημοσθένης καὶ ἐπιστάτην.

232,4 οὐκ ἂν ὑπεξέφυγες Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα, τοῦ πορθμοῦ τὴν Χάρυβδιν λέγει, ἣν παραβάλλει τῇ Στυγί.

232,13 προσηλῶσθαι ἐσταυρῶσθαι. μεγίστη δὲ ἦν τιμωρία τὸ προσηλῶσθαι.

232,14 ὁ φίλτατος ἀνδρὶ Σπαρτιάτῃ οὐχ ἁπλῶς, ἀλλ' οὓς ἐπαινεῖ ὁ Πλάτων.

232,15 ὥσπερ ἀνδράποδον τῶν ἐπ' ἐξαγωγῇ ἐπὶ τῶν φαύλων ἀνδραπόδων τοῦτο ἦν παρ' Ἀθηναίοις.

232,16 καὶ τῶν τριήρων οὐσῶν ἃς διαβάλλει Πλάτων, ὡς κακοῦ ὄντος τοῦ ναυτικοῦ.

232,2 ἐν πολιτείᾳ δεύτερα τῶν πασῶν ἐχούσῃ παρὰ σοὶ κριτῇ δευτέραν τῶν πασῶν λέγει, ὅτι ἦν συνέγραψε πολιτείαν ὁ Πλάτων προκρίνει πασῶν, καὶ τῆς τῶν Λακεδαιμονίων. μετὰ δὲ τὴν ἑαυτοῦ ἀρίστην κρίνει τὴν Λακεδαιμονίων.

232,3 μᾶλλον δὲ τὰ πρῶτα τῶν οὐσῶν ἐπειδὴ ἡ κατὰ Πλάτωνα πολιτεία οὔπω ὑπέστη. λέγει οὖν ὁ Ἀριστείδης ὅτι τῶν οὐσῶν πασῶν προκρίνεις τὴν Λακεδαιμονίων. πρώτην δ' ἐπαινεῖ Πλάτων τὴν ἀριστοκρατίαν, δευτέραν δὲ τὴν βασιλείαν, τρίτην τὴν ὀλιγαρχίαν, τετάρτην τὴν δημοκρατίαν, πέμπτην τίθησι τὴν τυραννίδα. δευτέραν οὖν εἶπεν οὐ πρὸς τὰς ἄλλας, ἀλλὰ πρὸς τὴν Πλάτωνος, ἣν συνέγραψε, πρώτην δὲ ὡς πρὸς τὰς οὔσας ἐν ἀνθρώποις.

232,4 ὁ γοῦν τῶν Λακεδαιμονίων ποτὲ ναύαρχος ὁ Πόλλις. οἱ ἀρχαῖοι τοὺς μὲν τῶν Λακεδαιμονίων ἄρχοντας ναυάρχους ἐκάλουν, τοὺς δ' Ἀθηναίων ἄρχοντας στρατηγούς. δηλοῖ δὲ τοῦτο Θουκυδίδης ἐν τῇ τετάρτῃ. ὁ μέντοι Ἀριστείδης καὶ ἐπὶ Ἀθηναίων καὶ Λακεδαιμονίων χρῆται τῷ ὀνόματι, ὡς ἐν τῷ Παναθηναϊκῷ. ἐχειροτονεῖτο δὲ παρὰ Ἀθηναίων κατ' ἐνιαυτὸν ὁ ναύαρχος, καὶ οὐκ ἐξὸν ἦν πρὸ τοῦ καιροῦ ἀλλαγῆναι.

232,19 κομίσας εἰς Αἴγιναν, ἐν ᾗ θάνατος προείρητο, εἴ τις Ἀθηναίων ἐπιβαίνων ληφθείη κατὰ τὸν Πελοποννησιακὸν τῶν Αἰγινητῶν ἐκπεσόντων ὑπὸ Ἀθηναίων καὶ αὐτῶν Ἀθηναίων ἀποίκους πεμψάντων, ὕστερον οἱ Λακεδαιμόνιοι περιγενόμενοι τοὺς ἐν Αἰγίνῃ Ἀθηναίους ἐξέβαλον καὶ Αἰγινήταις παραδεδώκασι. καὶ τότ' Αἰγινῆται ψήφισμα ἔγραψαν τὸν ἁλόντα ἐν Αἰγίνῃ Ἀθηναῖον τεθνάναι. ὁ τοίνυν Πόλλις ἐλθὼν εἰς Αἴγιναν ἐβόα, λέγων Ἀθηναῖον πωλεῖν. συνελθόντες ἐκεῖνοι κατὰ τὸ ψήφισμα ἠβουλήθησαν αὐτὸν ἀποκτεῖναι. παρὼν δὲ ὁ Ἀννίκερος εἶπε· τὸ μὲν ψήφισμα περὶ ἀνθρώπου λέγει, Πλάτων δὲ μείζων ἢ κατὰ ἄνθρωπον. καὶ οὕτως ὠνήσατο. τοῦτο γὰρ ἔδοξε τοῖς Λακεδαιμονίοις ποιῆσαι, ἡνίκα ἠδυνήθησαν ἀποσπάσαι αὐτὴν τὴν Αἴγιναν ἀπὸ τῶν Ἀθηναίων, ἵνα, φησὶ, μὴ πάλιν ἀρχὴν λάβωσιν Ἀθηναῖοι τοῦ ἀποσπάσαι ἡμᾶς αὐτήν. κατὰ τὸν Πελοποννησιακὸν πόλεμον εἰσιόντων τῶν Ἀθηναίων, Αἰγινῆται, σύμμαχοι ὄντες Λακεδαιμονίοις, πρὸς Ἀθηναίους ἐχώρησαν. Ἀθηναῖοι δὲ εἰς Αἴγιναν ἔπεμψαν ἐποίκους ἐξ αὐτῶν, ὥσπερ ὑποπτεύοντες Αἰγινήτας, μὴ πρὸς Λακεδαιμονίους πάλιν χωρήσωσιν. ἔπειτα περιγενόμενοι Ἀθηναίων Λακεδαιμόνιοι ἦλθον εἰς Αἴγιναν, καὶ πολιορκήσαντες εἷλον αὐτήν τε καὶ τοὺς Ἀθηναίους ἐποίκους, οὓς καὶ παρέδοσαν Αἰγινήταις ἀποκτενεῖν. ἐντεῦθεν αὐτοὺς μᾶλλον

περιποιούμενοι, καὶ πρὸς τούτοις ἠνάγκασαν αὐτοὺς ψήφισμα γράψαι τὸν ἁλόντα ἐν Αἰγίνῃ Ἀθηναῖον τεθνάναι.

233,17 κἀνταῦθα αὖ τὸ τοῦ Θεμιστοκλέους ἠτύχεις, μᾶλλον δὲ καὶ ηὐτύχεις νῦν παραβάλλει αὐτὸν πάλιν τῷ Θεμιστοκλεῖ, ὥσπερ καὶ τῷ Κίμωνι. ἐκεῖνός τε γὰρ εἰς Μολοττοὺς ὡς Ἄδμητον, ἐχθρὸν ὄντα αὐτῷ, παραγίγνεται, καὶ δι᾽ ἐκείνου σώζεται Μολοττοὶ ἔθνος βάρβαρον. βασιλεὺς δὲ τούτων ὁ Ἄδμητος. τούτου δεηθέντος ποτὲ παρ᾽ Ἀθηναίων συμμαχίας τυχεῖν, Θεμιστοκλῆς παρὼν ἐκώλυσεν. εἶτα ποτὲ τελευταῖον ἐπὶ μηδισμῷ φεύγων ὑπὸ τῆς ἀνάγκης καταλύει πρῶτον Ἄδμητον· τούτου δὲ μὴ εὑρεθέντος εἰς τὸν οἶκον, ἡ γυνὴ αὐτοῦ δίδωσι τὸν παῖδα αὐτῆς τῷ Θεμιστοκλεῖ, ὅπως σὺν αὐτῷ παρὰ τὸν βωμὸν Ἑστίας καθίσας ἑτοιμότερον πρὸς τὸν ἔλεον παρασκευάσῃ τὸν Ἄδμητον. ὁ δὲ ἰδὼν ἠλέησεν. ἐπειδὴ τοίνυν καὶ ὁ Πλάτων παρὰ τοὺς ἐχθροὺς ἐκομίσθη, ἀτυχίαν ταύτην καλεῖ. εὐτυχίαν δὲ πάλιν αὐτὴν λέγει, διὰ τὸ ἐν καιρῷ συμφορᾶς εὑρεῖν ὅπως σωθείη. Μολοττοὶ ἔθνος βαρβάρων, ὧν ἦν βασιλεὺς Ἄδμητος. τούτου δεηθέντος ποτὲ παρ᾽ Ἀθηναίων συμμαχίαν τυχεῖν, Θεμιστοκλῆς παρὼν ἐκώλυσεν. ὡς δ᾽ ὕστερον διαβληθεὶς ὑπὸ Λακεδαιμονίων πρὸς Ἀθηναίους μετὰ Παυσανίου ἐπὶ τῷ μηδισμῷ πρὸς τὸν Πέρσην ἐχώρει, πρῶτον εἰς Ἄδμητον παραγίνεται, οὗ μὴ εὑρεθέντος τότε κατ᾽ οἶκον, τὸν παῖδα δίδωσιν αὐτῷ ἡ γυνή, ὅπως σὺν αὐτῷ παρὰ τὸν τῆς Ἑστίας βωμὸν καθίσας ἑτοιμότατον πρὸς ἔλεον παρασκευάσῃ τὸν Ἄδμητον· καὶ τοῦτο ποιήσας ἔτυχεν εὐμενοῦς τούτου, ὃς καὶ συνέπραξεν αὐτῷ πρὸς τὸν Πέρσην ἐλθεῖν. ἐπεὶ τοίνυν καὶ Πλάτων παρὰ τοὺς τῆς πατρίδος ἐχθροὺς ἐκομίσθη, ἀτυχίαν τοῦτο καλεῖ· εὐτυχίαν δὲ πάλιν, ὅτι παρ᾽ οὓς ἤλπιζον ἀπολέσθαι, τούτοις σέσωσται.

234,3 τοῦ τυράννου Διονυσίου. τοῦ διακόνου Πόλλιδος.

234,4 νῆσον ἀντὶ νήσου μεταλαβὼν ἀντὶ Σικελίας τὴν Αἴγιναν.

234,6 οὐδ᾽ ὡς ποιητικῶς τοῦτο ἀντὶ τοῦ οὐδὲ οὕτως.

234,8 Λίβυς δ᾽ ἄνθρωπος τὸ εὐτελὲς τοῦ προσώπου ἀπὸ τοῦ γένους ἐμφαίνει.

234,9 εἰ μὴ ταῖς σαῖς συμφοραῖς ἀπεχρήσατο πρόφασιν τῆς γνώμης εὑρὼν τὰς Πλάτωνος συμφοράς.

234,14 οὑτωσὶ σαφῶς ἐπὶ τῇ ἑτέρων κακίᾳ καὶ φιλανθρωπίᾳ γενόμενος τῶν μὲν γὰρ φιλανθρώπων, τῶν δὲ φαύλων ἐπειράθη.

235,3 ὅσον οὐ μετέσχες τῆς Φιλοξένου τοῦ διθυραμβοποιοῦ τύχης καὶ γὰρ καὶ οὗτος προσέκρουσε τῷ Διονυσίῳ βουλομένῳ καὶ αὐτῷ ἔχειν περὶ ἐποποιίαν. ὁ δὲ γνοὺς ὅτι ὑβρίζετο ἔφυγεν αὐτόν. Φιλόξενος γὰρ εἰς τὰς λιθοτομίας τῶν Συρακουσίων ἐνέπεσεν.

235,4 πράττων μάλιστά πως ἀντίπαλα ἐκείνῳ ἢ ἴσως, ὅτι καὶ αὐτὸς ἐδιώχθη παρὰ αὐτοῦ, ἢ ἐναντία, ὅτι ὁ μὲν ἐφιλοσόφει, ὁ δὲ ἔτερπεν. ἀντίπαλα εἶπεν, ἐπειδὴ ὁ μὲν διθυραμβοποιὸς ὢν ἔθελγε τοὺς ἀκούοντας, καὶ πρὸς ἡδονὴν τοῖς πολλοῖς τῇ ποιήσει ἐχρῆτο, Πλάτων δὲ ἐφιλοσόφει, καὶ οὐ τῆς τῶν πολλῶν ἡδονῆς ἐφρόντιζεν.

235,11 ὅπερ λοιπὸν ἦν τὸ ἡσυχάσαι, μὴ ἀπελθεῖν πρὸς αὐτόν. ἡ μὲν παροιμία παροιμία· ἁλιεὺς πληγεὶς νοῦν οἴσει. ἡ μὲν παροιμία καὶ Ὅμηρος φησὶ, ῥεχθὲν δέ τε νήπιος ἔγνω ὡς ἔνδοξον ὀνομάζει τὴν παροιμίαν· οὕτως οὖν αὕτη συνάπτει τὸν Ὅμηρον, πρόσωπον ἔνδοξον ὑποθείς. τὸ ἁλιεὺς πληγεὶς νοῦν ἴσχει παροιμία. τὸ δὲ παθὼν δέ τε νήπιος ἔγνω Ὁμηρικόν. νόει οὖν τὸ ἡ μὲν παροιμία, διὰ τὸ ἁλιεὺς πληγεὶς νοῦν ἴσχει. εἰ δὲ τὸ μὴ παθὼν δέ τε νήπιος ἔγνω, καὶ ὡς παροιμίαν καὶ ὡς Ὁμηρικόν· Ὁμήρου γὰρ εἰπόντος τὴν ἀρχὴν, ὕστερον εἰς παροιμίαν ἐλήφθη, ὥσπερ καὶ τὸ φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι, Σοφοκλέους ὂν, παροιμιῶδες γέγονε, καὶ ἕτερα μυρία. σὺ δ’, ὁ τῶν Ἑλλήνων σοφώτατος χαριεντισμὸς τὸ σχῆμα.

235,13 τὸ τρίτον πλεύσας τὸ τρίτον τῇ τάξει πρῶτόν ἐστι. λέγει οὖν καὶ τὸ ὅλως ἐξ ἀρχῆς ἀπιέναι καταδέξασθαι πρὸς τύραννον.

235,14 δὶς μὲν πρὸς τὸν αὐτὸν προσπταίσας πρὸς τὸν μικρὸν Διονύσιον. τρίτον δ’ ὅλως πρὸς τύραννον τὴν ἀρχὴν πρὸς τὸν μέγαν Διονύσιον.

235,17 ὥσπερ ἂν εἰ Ὀδυσσεὺς τῷ Μενέλεῳ τὴν πλάνην ὠνείδιζεν λείπει δὲ φράσει· εἶπεν ἂν ὁ Μενέλαος.

236,1 καὶ πρός γε οὐ περιεργασάμενος, ὥσπερ σὺ διὰ τὰς Σειρῆνας λέγει καὶ τοὺς Λωτοφάγους.

236,2 μὴ δι᾽ ἀμφοῖν ὤθει παροιμία. ὃ εἶπεν Ἡρόδοτος, ὡς ἀπὸ τοῦ Δαρείου. Καμβύσης γὰρ, ὁ Κύρου παῖς, Μήδων ἐβασίλευσεν ἐν Ἐκβατάνοις. κατὰ δὲ τοῦ Πηλουσίου στρατεύσας καταλείπει τὴν βασιλείαν Σμέρδει, τῷ ἑαυτοῦ ἀδελφῷ· ὄντι καὶ αὐτῷ ἐν Αἰγύπτῳ παρέστη ὄναρ τοιόνδε· ἐδόκει αὐτῷ Σμέρδις, ὁ ἀδελφὸς αὐτοῦ, εἰς τὸν θρόνον αὐτοῦ καθέζεσθαι πτεροφόρος, καὶ ἀμφοτέραις ταῖς πτέρυξι καλύπτειν τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην. ὁ δὲ συμβαλὼν τὸ ὄναρ πέμπει Πρήξασπιν τινὰ, δορυφόρον ἑαυτοῦ, κελεύσας ἀκρίτως κτεῖναι τὸν Σμέρδιν. ὁ δὲ ἀπελθὼν τὸ προσταχθὲν ἔδρασε. καὶ δεδοικὼς τοὺς Πέρσας, μὴ ἀμύνωνται ὑπὲρ Σμέρδεως, κρύπτει τὸ πάθος, φάσκων αὐτὸν περιεῖναι. ἕτερος δέ τις Σμέρδις μάγος, ἀποκοπεὶς τῶν ὤτων διὰ τὸ παραδικάσαι, οἰκείως ἔχων τῷ Σμέρδει τῷ τετελευτηκότι, καὶ συνεὶς τὸ γενόμενον, χρήματα δοὺς τοῖς δορυφόροις, πείθει αὐτοὺς καθίσαι αὐτὸν εἰς τὸν τοῦ Κύρου θρόνον. πεισθέντων δὲ αὐτῶν κρατεῖ τῆς βασιλείας, φάσκων αὐτὸς εἶναι Σμέρδις ὁ Κύρου, μηδενὶ φαινόμενος, καὶ ἐπιστέλλει Καμβύσῃ, λέγων ὅτι ἐγώ εἰμι Σμέρδις, ὁ ἀδελφός σου, κρατῶν τὴν βασιλείαν, καὶ μηκέτι Μήδων ἐπιβῇς. ὁ δὲ ἀκούσας καὶ καταπλαγεὶς ἠρώτα Πρηξάσπην, διὰ τί μὴ ἔδρασας τὸ πραχθέν; ὁ δὲ ἔφη τεθνηκέναι τὸν ἀδελφὸν αὐτοῦ. ἠρώτησε δὲ τὸν κήρυκα, εἰ τὸν γεγραφότα τεθέαται. ὁ δὲ εἶπεν, οὔ, καὶ γνοὺς Καμβύσης ὅτι τὸ ὄναρ ἕτερον ἐμήνυε Σμέρδιν, διαρρήξας τὴν ἐσθῆτα στρατεύειν ἐπειρᾶτο κατὰ Περσῶν. μέλλοντα οὖν αὐτὸν ἐπιβῆναι τοῦ ἵππου τὸ ἴδιον αὐτοῦ ξίφος περιτραπὲν πλήττει αὐτὸν κατὰ τοῦ μηροῦ. ὁ δὲ μέλλων τελευτᾶν ἀρᾶται Πέρσαις, εἰ ἀνεκδίκητον αὐτὸν καταλείψουσι, μὴ ἐνεγκεῖν αὐτοῖς μήτε γῆν καρπὸν μήτε γυναῖκα παιδίον· καὶ οὕτως τελευτᾷ ἐπὶ τούτοις.

236,3 οὓς φίλους εἰκὸς ἦν μᾶλλον ἡγεῖσθαι ἐπειδὴ καὶ αὐτὸς ῥητορικὸς ἦν.

236,6,7 φαίνεται δὲ Φιλόξενον μὲν τὸν Κυθήριον —ἀλλ᾽ οἰμώζειν ἐκεῖνος ἐλευθέρως γράφων αὐτῷ μετὰ γὰρ τὴν φυγὴν ἐπέστειλεν αὐτῷ Διονύσιος, προτρεπόμενος αὐτῷ καὶ ἐπαγγελλόμενος ὡς τεύξοιτό τινος τῶν φιλανθρώπων. ὁ δὲ ἀντεπέστειλεν αὐτῷ, γράψας ἐπιστολὴν οὕτως,

ἄλλο μὲν ἔχουσαν οὐδὲν, οὐδὲ πολλὰ, τοῦτο δ' ἐσήμανεν ἡ γραφὴ μόνον· οὐ μέλει μοι τῶν σῶν· οὐ φροντίζω· οὐ θέλω ἐλθεῖν παρὰ σέ. οἴμωζε, ὀλόλυζε, γόγγυζε. Φιλόξενος ὁ Κυθήριος διαφυγὼν τὰς λατομίας, εἰς ἃς αὐτὸν Διονύσιος ὁ τύραννος ἐνέβαλλεν οὐκ ἐπαινοῦντα τὰς τραγῳδίας αὐτοῦ, διέτριβεν ἐν Κρότωνι τῆς Ἰταλίας. πυθόμενος δὲ ὁ Διονύσιος ἠξίου αὐτὸν εἰς Συρακούσας παραγενέσθαι. ὁ δὲ πρὸς ταῦτα λαβὼν χάρτην, καὶ κατὰ μέσον γράψας μικρὸν οὗ, περὶ τοῦτο μεῖζον περιεχάραττεν, ὥστε τὸ σχῆμα τοιοῦτον γενέσθαι, καὶ πλήσας τούτων πάντα τὸν χάρτην ἔπεμψεν, ἐμφαίνων ὅτι πολλάκις καὶ μεγάλως ἀρνεῖται. ὅθεν ἐπὶ τῶν μεγάλως ἀρνουμένων παροιμία τὸ Φιλοξένου οὗ. τὴν οὖν τοιαύτην προσαγόρευσιν Ἀριστείδης ἐμφαίνων φησὶν, ἀλλ' οἰμώζειν ἐκεῖνος ἐλευθέρως γράφων αὐτῷ· ἡ γὰρ τοιαύτη ἀπαγόρευσις ὅμοιόν ἐστιν ὥσπερ ἂν εἰ οἴμωζε πρὸς αὐτὸν ἔλεγεν.

236,7 ἐλευθέρως παρρησιαστικῶς.

236,13 ὑπὲρ τῆς ἑστίας ἑστίας νόει ἀντὶ συστάσεως καὶ συνοχῆς, ἐπειδὴ καὶ τὴν Ἑστίαν θεὰν διὰ τοῦτο ἐν τοῖς οἴκοις ἔγραφον, ἵνα συνιστῇ καὶ συνέχῃ αὐτοὺς, ἅτε καὶ πρώτη τοὺς οἴκους δείξασα· ἦν δὲ τοῦ Κρόνου θυγάτηρ.

236,15 αἰσχυνθέντες μὲν ἁπάσας τὰς τοῦ Διὸς ἐπειδὴ ὑπὲρ τῆς πόλεως εἶπε, καὶ ὑπὲρ τῶν Ἑλλήνων, ἐπήγαγεν αἰσχυνθέντας μὲν τὰς Διὸς ἐπωνυμίας, καὶ τὰς τῶν ἄλλων θεῶν· καὶ γὰρ πολιούχους φαμὲν τοὺς θεοὺς, καὶ φιλίους, ἵν' ᾖ ἡ μὲν τοῦ πολιούχου ἐπωνυμία πρὸς τὸ ὑπὲρ τῶν Ἑλλήνων. ἁπάσας τὰς τοῦ Διὸς ἐπωνυμίας ἱκέσιος Ζὴν, ξένιος, πάτριος. λέγομεν δὲ ἐλευθερίου Διός.

236,16 αἰσχυνθέντες δὲ τὰς τῶν ἄλλων ἁπάντων θεῶν πρῶτα καὶ θεοὺς εἶπεν, εἶτα ἥρωας, εἶτα προγόνους. ταύτας δὲ ἔμελλον ἀφανίζειν κρατήσαντες οἱ βάρβαροι.

237,3 τί τὰ μὴ σὰ κατηγορεῖς; ἢ τὰ ἀνάξιά σου· φιλόσοφος γὰρ ὢν οὐκ ὀφείλεις κατηγορεῖν. ἢ ὅτι τὰ αὐτὰ ἡμῖν ἐδυστύχησας καὶ κατηγορῶν ἡμῶν καὶ σαυτοῦ λεληθότως κατηγορεῖς. ἢ τὰ ἀνάξιά σου· τὸ γὰρ κατηγορεῖν οὐ φιλοσόφων. ἢ τὰ μὴ σὰ λέγει ἀντὶ ἅπερ οὐχ ἁρμόζει σοι· ἃ γὰρ ἂν καθ'

ἡμᾶς εἴποις, καὶ κατὰ σοῦ λέξεις· ὥσπερ γὰρ αὐτὸς Διονυσίῳ, οὕτω καὶ ἡμεῖς τῷ δήμῳ προσεκρούσαμεν.

237,8 τὸ κρατῆσαι τῶν πραγμάτων ὠφελῆσαι τοὺς Ἀθηναίους.

237,9 τὸ μείζω ταῦτ' εἶναι τῶν θ' ὑπὸ σοῦ σπουδαζομένων ὧν τ' αὐτοὶ προσεκρούσαμεν ὅτι μείζονα εἶναι ταῦτα κατορθωθέντα ὧν τ' ἐπάθομεν κακῶν καὶ ὧν σὺ πράττειν ἐσπούδαζες.

237,11 σοὶ δ' οὐχ ὅσον ἡμῖν ὑπάρχει τὸ νικῆσαι τοὺς Πέρσας, ἢ ὅτι ἡμεῖς μὲν δῆμον, σὺ δ' ἕνα οὐκ ἔπεισας.

237,14 πρὸς ταῦτα σκόπει μὴ τοὐμὸν, ἀλλὰ καὶ τὸ σὸν, Τεῦκρος ἔφη τινὶ αἰνίττεται εἰς τὸν Ἀγαμέμνονα· ὀνειδιζόμενος γὰρ παρ' αὐτοῦ ὡς νόθος, εἰς τὸ γένος ἀντωνείδιζεν, ὡς καὶ αὐτοῦ τὸ γένος τὸ πατρῷον ἔχοντος μαλακὸν ἀπὸ Πλεισθένους. Τεῦκρος ἔφη τινὶ τῷ Ἀγαμέμνονι ἐν Αἴαντι τῷ Σοφοκλέους.

237,16 καὶ ταῦτα καὶ τούτου τοῦ πλείστου μέρους μεθ' ἡμῶν ὄντος πλείω γὰρ ἐκ τύχης ἡμεῖς ηὐτυχήσαμεν.

237,18 οὐδὲ ἡττήθημεν τοῦ Κόδρου τοσοῦτον Ἀθηναίων καὶ Λακεδαιμονίων πολεμούντων ἔχρησεν ὁ θεὸς τοὺς καταρχομένους τῆς μάχης ἡττᾶσθαι. προσποιησάμενος οὖν προσελθεῖν ὁ Κόδρος ἀπῆλθε πρὸς Λακεδαιμονίους, παροξύνων αὐτοὺς εἰς πόλεμον. εἶτα ἐκεῖνοι ἀγνοήσαντες ἀνεῖλον αὐτὸν, καὶ οὕτως ἡττήθησαν.

238,1_4 ἐπεὶ φέρε πρὸς φιλίου, πότερ' ἂν μᾶλλον—ἐγὼ μὲν οἶμαι ταῦτα καὶ μὴν, ὦ Πλάτων, εἴ τις ἠρώτησεν, ὅτι, εἰ ἐβούλου ταῦτα κατορθωθῆναι, καὶ κακῶς ἀκοῦσαι παρὰ τοῦ δήμου, ἢ μήτε ταῦτα γενέσθαι μήτε λοιδορηθῆναι παρὰ τῶν Ἀθηναίων, εἶπες ἂν, ὡς οἶμαι, ὅτι καὶ ἐβουλόμην ταῦτα γενέσθαι καὶ κακῶς ἀκοῦσαι παρὰ τῆς πόλεως.

238,3 οὐκοῦν ἕτεροι καὶ εἰς ἡμᾶς καὶ εἰς ἐκείνους ἔμελλον τὸ ἕτεροι ἀντὶ τοῦ πολέμιοι νόει· μὴ γὰρ τῶν στρατηγῶν τούτων ἀντιστάντων τότε τῷ Πέρσῃ, ἀλλ' ἡσυχίαν ἀγόντων, ἅπαντ' ἂν εἴχοντο κατὰ πολλὴν τοῦ

κωλύσοντος ἐρημίαν. ἔθηκε δὲ τοῦτο διὰ μέσου, διότι ἀναγκαῖον ὂν λεχθῆναι· εἰ μὴ οὕτως ἐτίθετο, οὐκ ἂν ἀλλαχοῦ χώραν ἔσχεν.

238,5 ἢ μηδέτερα μήτε τὰς νίκας μήτε τὰς συμφοράς.

238,6 μειζόνως τὰ πρὸς εὐδοξίαν τῇ πόλει τῆς αἰτίας εἶναι ἐμφαίνει πάλιν ὡς μείζονα ἔχουσιν Ἀθηναῖοι τὰ κατορθώματα τῶν ἁμαρτημάτων.

238,12 ὅσον πανταχῇ τοῦ πλεονεκτεῖν ἐθέλειν ἀπέχομεν ἐπειδὴ ὡς πλεονέκτας αὐτοὺς λοιδορεῖ, εὐκαίρως ἀπελύσατο τὴν αἰτίαν. ἀφαίρει πάσας, εἰ βούλει, τὰς ἄνω προσθήκας τὰς δηλούσας αὐτοῖς μὲν κατορθώσασθαί τι, Πλάτωνι δὲ οὐδέν.

238,13 πάντως δ' οὐκ ἄπειροι συνθηκῶν ἡμεῖς ἐπειδὴ ῥητόρων ἐστὶ τὸ γράφειν συνθήκας καὶ ψηφίσματα, καὶ τὰ τοιαῦτα, ῥήτορες δὲ οἱ περὶ Μιλτιάδην, διὰ τοῦτο εἶπεν οὐκ ἄπειροι συνθηκῶν.

238,16 ἅ τινες τῶν ἄλλων ἐξήμαρτον εἰς ἡμᾶς Ἀθηναίους λέγει καὶ τοὺς περὶ Διονύσιον.

238,17 παρὰ τοὺς πλείονας τοὺς νεκρούς· ἐπειδὴ τῶν ζώντων πλείους εἰσίν. εἰ δὴ δεῖ κἀκείνους μετὰ τῶν πλειόνων κεῖσθαι δοκεῖν, ὥσπερ ἔγωγε οὐκ οἶμαι ἄλλον αὐτοῖς βουλεύεται τόπον ἀποδοῦναι, ἢ τὸ Ἠλύσιον, ἢ τὰς μακάρων νήσους.

238,18 ἐγὼ μὲν οὖν ἥδιστ' ἂν ἀμφοτέρων ἀποψηφιζοίμην ὥσπερ δικαστὴς αὐτῶν γίνεται, Πλάτωνος καὶ τῶν ἀνδρῶν.

239,1 φέρε δὴ καὶ τὰ παραδείγματα αὐτοῦ σκεψώμεθα πρόκειται αὐτῷ ἀνασκευάσαι τὰ παραδείγματα, οἷς παραβάλλει τοὺς ἄνδρας. ἐντεῦθεν δὲ Πλάτωνος τὰ ῥητά.

239,3 οὐκοῦν οἵ γε ἀγαθοὶ, φησὶν, ἡνίοχοι—τότ' ἐκπίπτουσι ἀντὶ τοῦ οὐκ ἐκπίπτουσιν· αἱ γὰρ δύο ἀρνήσεις μίαν κατάθεσιν ποιοῦσιν· ἀλλ' ἐξ ἀρχῆς ἐκπίπτουσι, πρὶν παιδεύσουσιν.

239,3bis καὶ ἔτι ἄνω που τὸ ἄνω εἶπεν, ἐπειδὴ πρώτου τοῦ Περικλέους κατηγορεῖν.

239,5 μηδὲ κυρίττοντας, μηδὲ δάκνοντας τὸ μὲν ἐπὶ τῶν βοῶν ἐστι, τὸ δὲ ἐπὶ τῶν ἵππων καὶ τῶν ὄνων.

239,6 ἀλλ᾽ ὄνους μὲν, ὦ τᾶν τῷ διαφόρῳ τοῦ χρόνου λύει τὸ παράδειγμα, ὅτι οὗτοι μὲν ἀεὶ οἱ αὐτοὶ, οἱ δ᾽ Ἀθηναῖοι τῷ χρόνῳ διάφοροι.

239,9 τί οὖν θαυμαστὸν τοὺς μὲν πρᾳοτέροις καὶ ῥᾴοσι ὅτι εἴωθεν ὁ χρόνος διαφόρους φέρειν τὰς φύσεις.

239,11 οὔκουν οὐδὲ τοὺς ἐκ τῆς γῆς καρποὺς παραβάλλει τοῖς καρποῖς καὶ τὸ γένος τὸ ἡμέτερον.

239,12 ἔτους ἰσχὺς οὐκ ἔλαττον ἢ χώρας εἶναι δοκεῖ ἐμφαίνει τοὺς ἀέρας.

239,14 κατέχειν ὑπείκειν. οὐκ ἔξω τῆς ὅλης φύσεως ἀντὶ τοῦ οὐκ ἀλλότριον.

239,15 ἔτι τοίνυν οὐδ᾽ ἡνίοχοι τοὺς ἵππους οὕτω διαφθείρουσιν προεῖπε τοῦτο τὸ νόημα, ὅτι οὐκ ἔστι τοῦτο ἔγκλημα τῶν διδασκάλων, ἂν μὴ δυνηθῶσι τοὺς πάντας παιδεύειν.

239,20 τοὺς Μολιονίδας τούτους ὁ ποιητὴς ἀρίστους ἡνιόχους λέγει· οὗτοι πρῶτοι μὴ λιπεῖν τὰς τάξεις ὀμνύειν τοὺς ταττομένους παρεσκεύασαν· ἔνθεν Λυκοῦργος τὰς ἐνωμοσίας παρὰ Λακεδαιμονίων κατέστησε. τούτους ἀρίστους ἡνιόχους ἡ ποίησις λέγει, ἤτοι πρῶτοι μὴ λιπεῖν τὰς τάξεις ὀμνύειν τοὺς παρατταττομένους παρεσκεύασαν, ἔνθα Λυκοῦργος τὰς ἐν πολέμοις ἐνωμοσίας παρὰ Λακεδαιμονίοις κατέστησεν.

240,1 τῶν Διομήδους τοῦ Θρᾳκὸς ἀνθρωποφάγοι γὰρ ἐλέγοντο. ἵππων δηλονότι, οὓς Ἡρακλῆς παρ᾽ Εὐρυσθέως πεμφθεὶς ἔλαβε, Διομήδην ἀποκτείνας καὶ τοὺς σὺν αὐτῷ, καὶ τοῦτο ὄγδοον ἆθλον εἴργαστο.

240,2 καθ᾽ αὐτοὺς ἕκαστοι ἀντὶ τοῦ μόνοι, σημαίνων ὅτι οἱ περὶ Θεμιστοκλέα εἶχον καὶ ἀντιπολιτευομένους.

240,5 τοῦ τε πράττειν ἐναντίον ἐγχειρήσαντος ἀντιπολιτευομένου.

240,8 ὅσῳπερ εἰς τούτους ἦν τὰ ἁμαρτανόμενα εἰς τοὺς ἄνδρας λέγει, ὅτι αὐτοὶ μᾶλλον ἠδικοῦντο ὑπὸ τῶν πολιτευομένων, οὐ συγχωρούμενοι συμβουλεύειν.

240,17 ἀλλ᾽ ὑπεσκέλιζον ἐμπόδιζον, ἠπάτουν. ἀντὶ τοῦ ἐνεπόδιζον. καὶ Δημοσθένης κέχρηται τῇ λέξει τροπικῶς.

240,18 βασιλευόντων τῶν φιλοσόφων ἐπεὶ Πλάτων ἔφη, ὅταν βασιλεύσωσιν οἱ φιλόσοφοι, ἢ βασιλεῖς φιλοσοφήσωσιν, τότ᾽ εὐδαιμονήσειν τὰς πόλεις· ταὐτὸ δὲ τοῦτο συνέβη καὶ τῶν τεσσάρων τούτων τῆς τῶν Ἀθηναίων πολιτείας προεστηκότων. διὰ τοῦτο φησὶν ὁ ῥήτωρ, βασιλευόντων τῶν φιλοσόφων· ὃ γὰρ ἂν ὑπ᾽ ἐκείνων ὑπῆρξε τῇ πολιτείᾳ, τοῦτο καὶ οὗτοι τοῖς πράγμασιν ἐφεστηκότες εἰργάσαντο. φιλοσοφίαν δὲ νόει τὴν ἐκείνων μετ᾽ ἐπιστήμης πολιτείαν.

241,1 μηδαμῶς τήν γε φιλοσοφίαν αὐτὴν αἰτιῶ ἐνέμεινε πάλιν τῷ ἐπαίνῳ, φιλοσοφίαν αὐτῶν ὀνομάζων τὴν πολιτείαν.

241,2 εἰ δὲ μή, τῶν ὄνων μᾶλλον ἢ τῶν ἐπιστατῶν κατηγορεῖς κατεχρήσατο τῇ παραβολῇ ἐπὶ τῶν Ἀθηναίων.

241,5 κατὰ ταὐτὸν ἀντὶ τοῦ ὁμοίως. λέγει δὲ τοὺς ἀντιπολιτευομένους.

241,7 τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα ποτὲ φιλοσόφους αὐτοὺς καλεῖ, ἄλλοτε δὲ Λάκωνας. εἰκότως· ἐπειδὴ τούτων γέγονεν ἐπαινέτης ὁ Πλάτων. ἐπειδὴ τοὺς Λάκωνας ἐπαινεῖ ὁ Πλάτων, ὡς πολιτευομένους ἄριστα, ἦσαν δὲ καὶ οὗτοι οἱ τέσσαρες ὅμοιοι ἐκείνοις τὰ εἰς πολιτείαν, τούτου χάριν φησὶ, τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα, ἀντὶ τοῦ τὸ οὓς ἐπαινοῦμεν ψέγομεν. διὸ ἐπιφέρει, προσπαίζειν γὰρ ἔξεστι δήπου σέ γε· παίζοντος γάρ ἐστιν οὗτος ὁ λόγος πρὸς Πλάτωνα, τὸ λέγειν αὐτὸν τούτους ψέγειν, οὓς ἐπαινεῖ.

241,8 ἀπὸ Θησέως ἀρξάμενον ἔνδοξον τὸ πρόσωπον, μικροῦ τάχα καὶ τῶν ἀνδρῶν σεμνότερον.

241,9_11 καίτοι ὁ Θησεὺς φυγών τε καὶ διαφθαρεὶς—πολλοῖς ὕστερον χρόνοις, ὥς φασιν Θησεὺς ὑπὸ Λίνου Ἀθήνησιν εἰς τυραννίδα συκοφαντηθεὶς ἐξωστρακίσθη τῆς πόλεως, καὶ ἦλθεν εἰς Σκῦρον, ἧς Λυκομήδης ἦρχεν· ὃς Θησέα ζηλοτυπήσας, μὴ τῆς ἀρχῆς ὑπ᾽ αὐτοῦ ἐκπέσῃ, ἀναθεὶς ἐπὶ κρημνοῦ ὥσας ἀνεῖλεν, ὕστερον δὲ λιμοῦ κατασχόντος Ἀθήνας, ἔχρησεν ὁ Ἀπόλλων, οὐκ ἂν ἄλλως παύσασθαι τὸν λιμὸν, εἰ μὴ Ἀθήνησι

μετενέγκειεν τὰ Θησέως ὀστᾶ· οὗ γενομένου ὁ λιμὸς ἔπαυσεν. ἐξ ἐκείνου δὲ Ἀθηναῖοι ἦγον μεγίστην καὶ δημοτελῆ ἑορτὴν, ἣν ἐκάλουν Θήσεια.

242,12 ἀλλ᾽ οἴχεταί σοι διαφθαρεὶς ὁ λόγος περὶ αὐτῶν ἀντὶ τοῦ ὑφ᾽ ἑαυτῶν· καὶ Δημοσθένης· περὶ αὐτὰ καταρρεῖ. οἷς γὰρ ἁπάντων ταὐτὰ κατηγόρηκας ἓν ἔγκλημα καὶ τὸ αὐτὸ κατὰ πάντων ποιούμενος.

242,1 οὕτω πάντων ἥκιστα ὅ γε Περικλῆς σεμνὸν παρήγαγε τὸ πρόσωπον, δεικνὺς τὸ ἔθος.

242,6 τί κωλύει καὶ ὑπὲρ ἐκείνων τὸ μὲν ἐξ ἴσου τὰ τῶν δήμων τοῖς τῶν τυράννων εἶναι ἵνα μὴ ὑβρίσῃ τοὺς Ἀθηναίους παραβάλλων αὐτοὺς τῷ τυράννῳ Διονυσίῳ, τοῦτο θεραπεύει.

242,10 αὐτὸ δὲ τοῦτ᾽ ἐξεῖναι κοινὸν εἰπεῖν κοινὸν λαλεῖν ὑπὲρ ἀμφοτέρων, ἴσην τὴν ἀπολογίαν ποιούμενος. λέγειν ἀντὶ τοῦ συμβουλεύειν καὶ πολιτεύεσθαι.

242,11 οὐδὲ τὰ ὕστερον δήπου τοῖς ἐκείνου παραπλήσια ἀντιπῖπτον λύει· ἵνα μή τις εἴπῃ, ἀλλ᾽ ἐπὶ τῆς πολιτείας τῶν ἀνδρῶν γέγονε πλείω τὰ ἁμαρτήματα, εἶπεν, οὐδὲ τὰ ὕστερον ἴσα τῶν τυράννων.

242,12 περὶ τῶν συμβεβηκότων αὐτῶν ἡ λέξις πάλιν τὴν τύχην δηλοῖ· τὰ γὰρ συμβεβηκότα εἰς τὴν τύχην ἀναφέρεται. βούλεται δὲ δηλῶσαι ὅτι ὅσα πεπόνθασι τῆς τύχης εἰσὶν ἐγκλήματα.

242,13 οὐ γὰρ ἁπάντων ὁ δῆμος οὑτωσὶ κατεψηφίσατο δεινῶς ἐνταῦθα ἀποκρούεται τὴν κατηγορίαν τοῦ Πλάτωνος· ἐπειδὴ γάρ φησιν ὅτι τὸν δῆμον ἐπαίδευσαν, δεινῶς καὶ θαυμασίως δείκνυσι τὸν δῆμον οὐδαμῶς αὐτῶν καταψηφισάμενον. καὶ κατὰ μικρὸν γυμνοῖ τὸ θεώρημα, καὶ δείκνυσι παρ᾽ αὐτῶν ὠφεληθέντα τὸν δῆμον.

242,14 ἀλλὰ Θεμιστοκλῆς μὲν καὶ Κίμων ἐξωστρακίσθησαν μόνων τῶν δύο τούτων ἔδοξεν ὁ δῆμος καταψηφίζεσθαι φυγήν. καλῶς δὲ καὶ τῷ ὀνόματι τοῦ ἐξοστρακισμοῦ τὴν δοκοῦσαν τιμωρίαν ἐλαττοῖ, καὶ δείκνυσιν ἀναγκαίως ὡς οὐκ ἦν τοῦτο ἔγκλημα τιμωρίας, ἀλλὰ φόβος τῶν Ἀθηναίων ἄδικος.

242,15 ἀλλ᾽ ἦν νόμος αὐτοῖς περὶ ταῦτα πάλιν μεταστατικῶς ἐπὶ τὸν νόμον φέρει τὴν αἰτίαν. διασύρει δὲ καὶ τὸν νόμον, οὐ φανερῶς σκώπτων, ἵνα μὴ δοκῇ νόμῳ μάχεσθαι.

242,18 ἐκόλουον ἁρμοδίως τῷ προκειμένῳ ἡ λέξις· οὐ γὰρ εἶπεν ἐκώλυον, ἀλλ᾽ ἐκόλουον, τουτέστι τὸ φρόνημα ἐπεῖχον.

242,19 ὀργὴ τιμωρία.

243,2 τοῦτο τὸ εἶδος τῆς φυγῆς πάλιν οὐκ εἶπε φυγὴν, ἀλλ᾽ εἶδος φυγῆς.

243,5 δοκοῦσι γάρ μοι τὰς συμφορὰς ἐνθυμούμενοι ἐνταῦθα τὴν αἰτίαν ἐξηγεῖται τοῦ νόμου, ἥτις ἀπολογίαν ἔχει τῆς δοκούσης τιμωρίας.

243,6 ἐπὶ τῶν Πεισιστρατιδῶν οὗτος πρῶτος Ἀθηναίων τύραννος.

243,7 εἰς δύναμιν ἀντὶ τοῦ ὅσον δυνατόν· δεικνὺς ὡς οὐ παντελῶς κωλύειν νῦν δυνατόν. δίκαια ἄρα ἐποίουν ἢ ἐρωτηματικῶς, ἢ ἀντεγκληματικῶς.

243,8 οὐ λέγω ταῦτα. ἀλλ᾽ οὐδ᾽ ἀναίσχυντά γε παντελῶς οὐ λέγω τοῦτο, φησίν· ἀλλ᾽ οὐ παντελῶς ἄδικα· ταῦτα γὰρ ἀναίσχυντα καλεῖ.

243,9 παραίτησιν συγγνώμην. κἀκείνοις οὐκ ἀσχήμονα τὴν συμφορὰν ἀντὶ τοῦ οὐκ ἄδοξον. ἀλλὰ συμφορὰ μὲν, οὐκ ἄδοξος δέ· οὐ γὰρ ἔγκλημα προσῆν, ὡς προεῖπε, τῇ φυγῇ. εἰ δ᾽ οὖν καὶ τοῖς δεδρακόσιν οὐκ ἀποχρῶσα ἡ πρόφασις ἵνα πάλιν μὴ ἀντιπέσῃ αὐτῷ· ἀλλ᾽ οὐχ ἱκανὴ ἀπολογία τοῖς Ἀθηναίοις ὁ φόβος, ἀλλὰ τοῖς ἀνδράσι τοῦτο ἀρκεῖ.

243,12 τῇ δυστυχίᾳ τὴν βλασφημίαν προσθήσομεν οὐκ εἶπε τιμωρίαν, ἀλλ᾽ ὅμοιον πάλιν εἴρηκε τῇ συμφορᾷ.

243,15 Κίμωνα μὲν καὶ οὕτω μεταστήσαντες. Θεμιστοκλέα δὲ ἐκωλύθησαν, ἐμοὶ δοκεῖν, ὑπὸ Λακεδαιμονίων ἵνα μὴ εἴπῃ τις· πῶς οὐ κατήγαγον Θεμιστοκλέα.

243,16 συμβάντων γὰρ τῶν περὶ τὸν Παυσανίαν ὅτι, εἰ μὴ ἦν ὁ δῆμος παρ᾽ αὐτῶν ὠφεληθεὶς καὶ παιδευθεὶς, οὐκ ἂν μετεβάλλετο.

243,17 βουλόμενοι συνεπισπᾶσθαι τοὺς Ἀθηναίους ἀντὶ τοῦ κοινωνοὺς ἀποδεῖξαι τῆς ἀδοξίας καὶ καταγαγεῖν εἰς τὸ αὐτὸ ἁμάρτημα. ἵνα δὴ μὴ μόνοι τῆς αἰσχύνης συναπολαύοιεν ἀντὶ τοῦ ἅμα πάντες οἱ Λακεδαιμόνιοι. ἅμα δὲ εἰ καταλείποιτ᾽ ἐκεῖνος Ἀθήνησι πολλὰ ἅμα συνάπτει τὰ χρώματα τῆς διαβολῆς τῶν Λακεδαιμονίων.

243,20 Θεμιστοκλῆς δὲ τῶν μὲν τὴν ἐπιβουλὴν δείκνυσιν αὐτὸν ἀναγκαίως ποιησάμενον τὴν φυγήν.

244,1 τῶν δὲ τὴν προπέτειαν τὴν κουφότητα· ὅτι διαβολῇ μόνῃ ἐπίστευσαν.

244,2 τῆς καθόδου μὲν ἀπεστερήθη ἐπειδὴ καὶ ἐν τῷ πολέμῳ τῷ Μηδικῷ δεύτερον ἠπάτησεν αὐτούς.

244,3 πρὸς ἅπασαν τύχην συμφοράν. Περικλέα δὲ καὶ Μιλτιάδην ὁ Περικλῆς τῆς πολιτείας ἐπιτροπεύων ἐν τοῖς ὑπὲρ τῶν κοινῶν χρημάτων λογισμοῖς πολλῶν ταλάντων ἐλλελοιπότων ταῖς ψήφοις, ἔλεγεν εἰς τὸ δέον ταῦτα ἀνηλωκέναι, τουτέστιν εἰς προσήκουσαν ὑπὲρ τῶν κοινῶν χρείαν, ἃ βιασθεὶς ὑπὸ τοῦ δήμου οἴκοθεν ἐξέτισε. Μιλτιάδης δὲ Νάξον ἢ Πάρον δυνάμενος ἑλεῖν, ἐπεὶ πρὸς τὸν μηρὸν ἐξ ἀφανοῦς ἐτρώθη ἐν τῇ πολιορκίᾳ, δείσας μὴ ἄρα ὑπὸ τῆς Δήμητρος τοῦτ᾽ ἐπέμφθη, — ἦν γὰρ πλησίον νεὼς τῆς θεοῦ — ἐκεῖθεν ἀνεχώρησε. κατεψηφίσαντο δὲ αὐτοῦ Ἀθηναῖοι διὰ τὴν ἀναχώρησιν εἰς δεσμωτήριον εἰσελθεῖν ζητοῦντες αὐτὸν τάλαντα τετταράκοντα· ἃ Κίμων μὲν ὑπὲρ αὐτοῦ ἐξέτισεν, αὐτὸς δὲ, πρὶν ἐκεῖθεν ἐξελθεῖν, ἡττηθεὶς τοῦ τραύματος ἐτελεύτησεν.

244,4 ὁ μὲν δῆμος οὐδὲν οὔτε μεῖζον οὔτ᾽ ἔλαττον ἔδρασε κακὸν ἀπολογεῖται ὑπὲρ τοῦ δήμου, ὡς παιδευθέντος ὑπ᾽ αὐτοῦ.

244,7 ὡς αὐτὸς ὁ μάρτυς δηλοῖ ὁ Θουκυδίδης.

244,9 οὐδ᾽, ὡς σὺ φὴς ἵνα δείξῃ διαβολὴν, ἀλλ᾽ οὐκ ἀληθῶς τοῦτο γινόμενον.

244,10 τοῦ τραύματος αὐτῷ σφακελίσαντος σφακελισμός ἐστι διασπασμὸς σώματος· ἢ σῆψις σώματος· ἢ ἡ παραπληξία· ἢ σῆψις τοῦ μυελοῦ. γίνεται δὲ ἐκ τοῦ σφακελισμοῦ καὶ σπασμός. λέγεται δὲ σφάκελος ὁ μικρὸς τῆς χειρὸς δάκτυλος· λέγεται δὲ καὶ ὁ σφυγμὸς καὶ ὁ παλμός. φλεγμάναντος

ἀμέτρως. ἀμέτρως φλεγμάναντος. ἔστι δὲ ὁ σφάκελος πάθος περὶ τὸν ἐγκέφαλον.

244,12 τῆς κλοπῆς τῶν χρημάτων. μετὰ τὴν τῆς κλοπῆς, ὡς σὺ φῂς, καταδίκην ὁ γὰρ Θουκυδίδης λέγει ὅτι λυπούμενοι διὰ δῄωσιν τῆς γῆς.

244,14 ἐπειδὴ καὶ ἔφης ὅτι ἐπὶ τελευτῇ τοῦ βίου τοῦ Περικλέους κατέγνωσαν κλοπὴν καὶ αὐτὸ γὰρ ἐπὶ διαβολῇ τέθεικεν ὁ Πλάτων.

244,15 ἐκεῖνος γὰρ, ἕως μὲν εἰρήνην ἵνα δείξῃ μὴ ὄντα πλεονέκτην.

245,1 ἐπεὶ δ’ ἅμα τῆς τε χώρας ἠναγκάζοντο στέρεσθαι ὑπὸ τῶν περιστάντων Λακεδαιμονίων καὶ πολιορκούντων τὰ κύκλῳ τῆς Ἀττικῆς.

245,3 τάχ’ ἂν γὰρ ἁλοίης τοῖς ἅρμασι τοῖς σαυτοῦ, καὶ οὐ τοῖς πτεροῖς παρῴδησε τὴν παροιμίαν, ἅρμασιν εἰπὼν καὶ οὐ πτεροῖς, ὡς πρὸς τὸ παράδειγμα τοῦ Πλάτωνος. ἡ δὲ παροιμία αὕτη· ἀετὸς τοξευθεὶς εἶδεν ἐπτερωμένον τὸ βέλος, καὶ ἔγνω ὅτι τοῖς ἰδίοις πτεροῖς ἑάλωκε. κατέσχεν οὖν ἐπὶ τῶν ἐπὶ τοῖς ἰδίοις ἐγκλήμασιν ἐλεγχομένων.

245,4 ὁ γοῦν Νέστωρ ἔνδοξον τὸ παράδειγμα.

245,8 τῶν εἰς τὸν δρόμον ἀναγκαίων.

245,17 ὥσπερ ἐπὶ χαλκοῦ ζεύγους εἱστήκει μένων, ὅσα μὴ ἀπῆν τό γε ἀτρεμεῖν ἀντὶ τοῦ ὅσον· καὶ ἐφ’ ὅσον χρόνον οὐκ ἀπῆν αὐτῷ· τό γε ἀτρεμεῖν εἱστήκει μένων αὐτῷ, ἢ ἀντὶ τοῦ ἀπῆν τὸ τρέμειν. ἢ ἀντὶ τοῦ ἕως οὗ μὴ ἀπῆν. ἢ ἐν ὅσῳ μὴ ἀπῆν.

245,19 τὸν αὐτὸν δὴ τρόπον οἶμαι καὶ Περικλῆς ἵππῳ παραβάλλει τὸν δῆμον, Νέστορι δὲ τὸν Περικλέα. κατεῖχε τοὺς ἵππους ἐνέμεινε τῇ τροπῇ.

245,20 τοῦ Νέστορος οὐδὲν χείρω τὴν φωνὴν ἐνόμιζον πρὸς τὸ Ὁμηρικὸν «Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος
γλυκίων ῥέεν αὐδή.»

246,2 ὅ τε χιλὸς ὁ σῖτος. ἐπειδὴ Ἀθηναίους ἵπποις παρείκασε, διὰ τοῦτο καὶ χιλὸς εἶπε. χιλὸς γὰρ κυρίως ἡ τῶν ἵππων τροφή. πονήρως ἀτυχῶς.

246,7 ἤχθησαν ἀνεστράφησαν.

246,8 ὥστ᾽ ἔγνωσάν τε, ὃ ἔδρασαν, καὶ μετέγνωσαν σημαίνει τὴν ἀπολογίαν τοῦ ἁμαρτήματος.

246,10 ὅτι ἐπὶ τελευτῇ κατεψηφίσαντο αὐτοῦ ἔοικε λέγειν τοῦ Νέστορος, ὃς θορυβηθεὶς οὐκ ἐχρήσατο τῇ τέχνῃ.

246,12 πρός γε τῇ τελευτῇ τιμήσαντες αὐτὸν, οὐκ ἀτιμάσαντες, φαίνονται ἔπειτα χρὴ σκοπεῖν ὅτι δεύτερον αὐτῆς καταδίκης ἐστὶν ἡ τιμὴ, ἣν τιμήσαντες αὐτὸν ἦσαν.

246,13 τὸν ἔμπροσθεν χρόνον τὸν πρὸ τῆς καταδίκης.

246,17 τὸ συναμφότερον τὴν ἀρχὴν καὶ τὸ τέλος.

246,19 προσεῖχον πάλιν ὡς αὐτῶν κρείττονι τῷ πιστεῦσαι τὴν στρατιάν. καὶ μὴν οὐχ ὅσον δύο ἀνθ᾽ ἑνός ἐστιν ἵνα μὴ εἴποι τις· ἀλλὰ τὰ δύο ἀντὶ σοὶ τῷ ἑνί. λύει οὖν τὸ ἀντιπῖπτον.

247,3 τὸ μὲν γὰρ ἡμέρας ἀτύχημα ἐγένετο ἐν μιᾷ μὲν ἐγένετο, ἀλλ᾽ ἔμεινεν, ἕως καταβάλῃ. τὸ ἡμέρας εἶπε, συγκρίνων τὸν τῆς συμφορᾶς καιρὸν πρὸς πάντα τὸν τῆς τιμῆς χρόνον.

247,5 τὸ μὲν ὀργῇ συνέβη διὰ τὴν δῄωσιν· ἡ δὲ ὀργὴ ἄδηλον τὸ πάθος.

247,6 τὸ δ᾽ ἐξ ἁπάντων τῶν δικαστῶν τοῦ δήμου.

247,7 οὐδὲ τοὺς λαχόντας ἅπαντας οἴεσθαι χρὴ καταγνῶναι τὴν γραφὴν αὐτοῦ τὸ λαχόντας πρὸς τὸ γραφὴν αὐτοῦ σύναπτε.

247,9 ἔθεντο ἀντὶ τοῦ ἐψήφισαν. οὐκοῦν τούτους γε βελτίους τε καὶ βελτίστους ἦν πεποιηκὼς ἀντὶ τοῦ οἱ παιδευθέντες ὑπ᾽ αὐτοῦ. οὕτω καὶ τοὺς πολλοὺς, ὡς ἔοικε, καὶ τοὺς ὀλίγους καλῶς ἦχει τὸ πολλοὺς νόει, ἐπειδὴ, ὡς ἔφη, οὐ πάντες Ἀθηναῖοι κατέγνωσαν αὐτοῦ, ἀλλὰ μέρος τοῦ δήμου, ὃ ἦσαν οἱ δικασταί· τὸ δὲ ὀλίγους, ἐπειδὴ καὶ ἐν τούτοις τοῖς δικασταῖς ἦσάν τινες ὑπὲρ Περικλέους.

247,11 εἰ δὲ τοῖς βελτίστοις ἀφείθη τό γε τούτων μέρος βέλτιστοι γὰρ ἦσαν ὅσοι τῶν δικαστῶν αὐτῶν ἐν ταῖς ψήφοις ἐτίθεντο.

247,14 οὗτοι πάντας γε οὐδ᾽ ὁ Σωκράτης ἐπαίδευσε τοὺς συγγενομένους αὐτῷ πάλιν τῷ διδασκάλῳ τοῦ Πλάτωνος αὐτὸν παραβέβληκε.

247,15 κατηγοροῦσι μὲν Κριτίου τοῦ Καλλαίσχρου οὗτος εἷς ἐγένετο τῶν τριάκοντα, μαθητὴς ὢν αὐτοῦ. τῇ τε πόλει τὰ αἴσχιστα βουλεύσασθαι τὰ κατὰ Σικελίαν.

247,16 καὶ τὸν ἄλλον βίον ἥκιστα βιῶναι κατὰ Σωκράτην διαβάλλεται γὰρ εἰς αἰσχρότητα.

247,19 εἰ μὲν γὰρ ἐν οἷς ἐπείθοντο τὸ σχῆμα συλλογισμός.

248,2 καὶ τίς ἂν μείζω ὑπὲρ Μιλτιάδου δείκνυσι Περικλέα, ἢ Σωκράτην, διδασκαλικώτερον.

248,7 Περικλεῖ δὲ καὶ τοῖς ἄλλοις ῥήτορσι τρεῖς ἡμέρας ἑκάστου μηνὸς συνῆσαν Ἀθηναῖοι, ὡς ἔπος εἰπεῖν, δημοσίᾳ τρίτῃ γὰρ τοῦ μηνὸς ἐκκλησίαζον Ἀθηναῖοι ἐν Ἀθήναις, δεκάτῃ, εἰκάδι, τριακάδι. καὶ μὴν ὅτι γε ῥᾷον καὶ δύο καὶ τρεῖς ἡ σύγκρισις καὶ ἀπὸ τοῦ προσώπου καὶ ἀπὸ τῆς ἡλικίας καὶ ἀπὸ τῆς ποσότητος.

248,8 προήκοντας προβεβηκότας.

248,18 Κριτίας αὐτῷ Σωκράτει ζημίαν ἐπέθηκε τὴν σιωπήν· ἐκέλευσε γὰρ αὐτὸν μὴ παιδεύειν ἔτι.

248,21 καὶ τοὺς ἄλλους τοὺς τριάκοντα.

249,1 οὐδὲ τῶν ἐκ τοῦ δήμου δείκνυσιν ὅτι μᾶλλον ὁ δῆμος ἐπαιδεύετο ὑπ᾽ αὐτοῦ.

249,2 εἷς τῶν ἀντιστασιωτῶν ὁ Κλέων. Κλέωνα δηλοῖ· οὗτος γὰρ αὐτοῦ τῆς κλοπῆς κατηγόρησεν.

249,4 τῶν ἀντιτέχνων τῶν ὁμοτέχνων.

249,6 δοκεῖ δέ μοι καὶ Πλάτωνα δίκῃ μετελθεῖν τοῦ λόγου καὶ τῆς ἐπιτιμήσεως λέγει ὡς καὶ τὸν Πλάτωνα ἴσως μετῆλθον διὰ τὴν εἰς τοὺς τέσσαρας τούτους στρατηγοὺς κατηγορίαν. δίκῃ μετελθεῖν ἀμύνασθαι.

249,7 παραιτοῦμαι δ' εὐμενῆ καὶ ἵλεων εἶναι τοῖς λεγομένοις προθεραπεύει τὴν ὕβριν.

249,8 οὐκ ἐρῶ Διονύσιον τὸ γὰρ παρὰ τυράννου παθεῖν φορητὸν καὶ τὴν ὕβριν οὐκ ἔχει δεινήν. Διονύσιος καὶ ὁ υἱὸς αὐτοῦ, ἀλλὰ δὴ καὶ ὁ κάλλιστος τῶν ὡμιληκότων αὐτῷ, Ἀριστοτέλης. καὶ τὸ μὲν Διονυσίου καὶ τοῦ υἱοῦ αὐτοῦ εἰς Πλάτωνα κατὰ παράληψιν λέγει, τῷ δὲ τοῦ Ἀριστοτέλους μᾶλλον συντίθεται, ὃς λέγεται καὶ εἴκοσι πρὸς τοῖς πέντε ὁμιλῆσαι αὐτῷ ἔτη. οὔτε τῶν ἐν Σικελίᾳ μετ' ἐκείνου συνδιατριψάντων οὐδένα τὸν Πόλλιν λέγει τὸν Λάκωνα.

249,9 ἀλλ' εἰσὶν οἳ λέγουσιν διὰ τὸ ἐπαχθὲς ἕτερον εἰσφέρει.

249,10 τῶν ἑταίρων τινὲς αὐτοῦ καὶ τῶν εἰς τὰ μάλιστα ὡμιληκότων σημείωσαι ὅτι περὶ Ἀριστοτέλους τοῦτό φησιν, ὃς λέγεται εἰκοσιπέντε ἔτη ὁμιλῆσαι Πλάτωνι. τὸν Ἀριστοτέλην λέγει. φασὶ γὰρ ὅτι ἔμεινεν αὐτῷ φοιτῶν κε′ ἔτη.

249,12 τοὺς Ἀθηναίους ἐμιμήσαντο τοὺς ἁμαρτόντας εἰς Περικλέα καὶ τοὺς ἄλλους.

249,13 ἐκείνων τῶν Ἀθηναίων καὶ τῶν αὐτῆς ὑπηκόων. οἱ δὲ διατριβάς τε τὸ δεινότερον εἶπε τῆς ἐπαναστάσεως.

249,14 ἐπὶ τῇ Ἀκαδημίᾳ ἀντὶ τοῦ κατὰ τὴν Ἀκαδημίαν· αὕτη δὲ διατριβὴ Πλάτωνος.

249,16 πολλοῦ πάνυ. παραφρονεῖν ληρεῖν.

250,2 εἰ θέμις εἰπεῖν καλὸν τὸ εἰ θέμις. τῶν γὰρ ἀρίστων ἀνδρῶν ὕβρις οὐχ ἅπτεται.

250,4 τὸ ἐπιτείχισμα διέσπασαν ὡς ἐπὶ πολέμου εἶπε. καλῶς εἶπε τὸ ἐπιτείχισμα· ὡς γὰρ οἱ ἐν ταῖς πόλεσιν ἐπιτειχίζοντες φρούρια εἰς καταστροφὴν

ταύτῶν ταῦτα τεχνάζονται, οὕτω καὶ ἡ τοῦ Ἀριστοτέλους σχολὴ παρ᾽ εὐδοκίμησιν ἂν εἰργάσατο τῆς τοῦ Πλάτωνος.

250,5 τραγῳδίας ἤτοι συμφορῶν.

250,8 διπλᾶ στρέφειν οὐ τὸ διλήμματον λέγει, ἀλλ᾽ αὐτὸς δηλοῖ τί ἐστι τὸ διπλᾶ.

250,10 τῷ τῶν σοφιστῶν παραδείγματι, ᾧ σὺ κέχρησαι κατὰ τῶν δημαγωγῶν τούτῳ γὰρ παρέβαλε τοὺς δημαγωγούς. φησὶ γὰρ ὡς οἱ σοφισταὶ τοὺς νέους διαφθείρουσιν, οὕτω καὶ οἱ στρατηγοὶ οὗτοι κακῶς Ἀθηναίους ἐπαίδευσαν.

250,14 τοῦ ἑταίρου Ἀριστοτέλους. τοῦ Ἀριστοφάνους.

250,18 ταύτης αὐτῆς τυχὼν τῆς τελευτῆς ὁ γὰρ Περικλῆς οὐ θανάτῳ κατεδικάσθη.

251,2 καὶ εἴ τινα καὶ ἤρεσε ἡ κωμῳδία.

251,3 ἐκ τοσούτων κακῶν τῶν Πελοποννησιακῶν. τῶν κατὰ τὸν Πελοποννησιακὸν πόλεμον.

251,4 τοῖς ἠδικηκόσι τοῖς τριάκοντα. δυσχερᾶναι μισῆσαι.

251,5 ἀλλὰ ταῦτ᾽ ἴσως μὲν εἰκότα, ἴσως δ᾽ οὔ πρὸς μὲν τὴν τοῦ δήμου γνώμην εἰκότα ἦν· τοιοῦτος γὰρ ὁ δῆμος ἐκ πολλῶν γνωμῶν συγκείμενος· πρὸς δὲ τὸ ἐκείνου μέγεθος οὐκ εἰκότως.

251,8 καὶ γὰρ αὖ καὶ τοῦτο εἴ τις ἤρετο καθ᾽ ὑπόθεσιν.

251,12 ὃν αὐτὸς ἀφῆκας ἂν τῆς αἰτίας τὸ μὴ γενόμενον ἴσον λαμβάνει τῷ γινομένῳ.

251,14 τὸν λέγοντα τὸν Κλέωνα.

251,16 ὥσπερ χρηστοῦ τινος πράγματος μεθέξειν μέλλοντας σπουδάζομεν γὰρ τῶν χρηστῶν ἀπολαύειν. καλῶς ἤτοι πρεπόντως.

251,20 καὶ ταῦθ᾽ ὁμολογοῦντες ὥσπερ αὐτοῦ Πλάτωνος τῆς λέξεως ἐπιλαμβάνεται· τὸ γὰρ λέγειν ὡς ἥμαρτον, οὐ τῶν ἀνδρῶν ἐστιν ἔγκλημα, ἀλλὰ τῶν δικαστῶν. ὡς καὶ Δημοσθένης περὶ Αἰσχίνου ἐν τῷ περὶ στεφάνου λέγων ὅτι τὰ Φιλίππου ἀδικήματα ἐμὰ καλεῖ ἀδικήματα.

252,1 ὡς ἥμαρτον οἱ Ἀθηναῖοι.

252,3 οἷον εἰ τῆς κατηγορίας τῶν ἀνδρῶν γεγονυίας τοῦτο καθ᾽ ὑπόθεσιν λέγει, ὡς, εἴ τις τῶν στρατηγῶν τουτωνὶ κατηγόρει, ὡς παρ᾽ Ἀθηναίοις ἑάλωσαν, εἶθ᾽ ὑπὲρ αὐτῶν ἀπελογεῖτο Πλάτων, ὡς ἀδίκως ἑάλωσαν, καὶ τῆς τῶν Ἀθηναίων γνώμης ἁμάρτημα τοῦτ᾽ ἦν, πάντες ἂν ἱκανὴν ἀπολογίαν τοῦτ᾽ ἐνόμισαν. ἔστι τοίνυν τὸ ἐπέδειξε διὰ τὸν Πλάτωνα, εἰ καὶ ἀσάφειαν ἔχει, διὰ τὸ τοῦτο μὲν ψιλῶς προενεγκεῖν, προϊόντα δὲ λέγειν Πλάτων τοίνυν.

252,5 εἶτ᾽ ἐπέδειξεν ὅτι ἀλλ᾽ οὐκ ὀρθῶς γε ὡς εἶναι τὸν αὐτὸν κατήγορον καὶ ἀπολογούμενον.

252,6 οἱ καταψηφισάμενοι φθόνῳ.

252,7 καὶ λελύσθαι τὰ τῆς αἰτίας ἱκανῶς ἂν ᾠοντο καὶ οὐδένα τοῖς ἀνδράσιν ἔλεγχον ἔχειν ἔτι.

252,9 ὅμως ἐν ἐλέγχῳ κατ᾽ ἐκείνων λαμβάνει τὰ ἁμαρτήματα τῶν Ἀθηναίων.

252,10 τὴν μὲν τύχην συμφοράν.

252,11 ἐκείνων τῶν δικαστῶν. τοὺς προσκειμένους αὐτῷ τοὺς ἡδομένους. λέγει δὲ τοὺς φιλοσόφους.

252,15,16 ταχύ γ᾽ ἂν εἰ τοῖς δώδεκα θεοῖς ἔσχεν εἰκάσαι τοὺς καταγνόντας, ἀπέσχετ᾽ ἂν τῶν ἁλόντων, τὸ μὴ οὐ κακῶς εἰπεῖν ἐπειδὴ ὁ ἡττώμενος θεοῖς οὐ πολλῆς ἐστιν ἄξιος μέμψεως, ἐπεὶ μὴ ἴσος ἐστὶν αὐτοῖς. τοῦτο δὲ εἶπεν ἀντὶ τοῦ εἰ καὶ θεῶν ἦσαν ἴσοι οἱ καταψηφισάμενοι, οὐδὲ οὕτως ἀπεῖχε τῆς κατὰ τῶν ῥητόρων διαβολῆς, ἔνθα τοῖς ἁμαρτάνουσιν εὐσύγγνωστον. ἢ οὕτως· ὀρθῶς κρινόντων θεῶν, οὕτως εἶπεν, ὅτι, εἰ θεοὶ ἦσαν οἱ καταψηφισάμενοι αὐτῶν, οὐκ ἂν ἀπέσχετο αὐτῶν κατηγορῶν. κυρίττειν ἀρξαμένους πρὸς τὴν αὐτοῦ παραβολήν.

253,1 εἶχόν γ’ ἐν τῇ φύσει δήπουθεν ἰσχυρὸν γὰρ ἡ φύσις.

253,2 εἰ δ’ ἐπ’ ἀμφότερα αἰτιάσεται Πλάτων τουτέστιν εἰ διλημμάτῳ χρησάμενος εἴπῃ ὡς εἰ μὲν δικαίως αὐτῶν κατεψηφίσαντο Ἀθηναῖοι σαφῶς, ἦσαν οὗτοι κακοὶ, εἰ δὲ ἀδίκως, οὗτοι τῆς κατηγορίας ἦσαν αἴτιοι, κακῶς αὐτοὺς παιδεύοντες. τὸ δὲ σοφοῦ τινος εἰλημμένος εἶπε, διὰ τὸ διλήμματος.

253,3 ὑπολαμβάνοντα ὑποκρινόμενον.

253,9 πῶς δέχομαι τὸν λόγον; διέρχομαι.

253,13 αὐτὸν τὸν δῆμον. φήσομεν ἀντὶ τοῦ φήσεις.

253,16 τί λέγει σημαίνει. μηδενὸς τούτων φυγῆς καὶ χρημάτων. καὶ μὴν εἴ γε ἠδίκουν συλλογίζεται.

254,1 οὔτ’ ἐκείνοις προσήκειν διὰ τοὺς δικαστάς.

254,2 τοῖν δυοῖν μὲν οὐδὲ προσήψατο ὁ δῆμος Περικλέους καὶ Μιλτιάδου. Περικλέους καὶ Μιλτιάδου· ὡς εἶπεν ἐν τοῖς ἀνωτέρω, ὅτι δικασταὶ καθήμενοι αὐτῶν κατέγνωσαν Περικλέα δὲ καὶ Μιλτιάδην οὐχ ὁ δῆμος τὰ χρήματα ἐζημίωσαν, ἀλλ’ οἱ καθήμενοι, ὡς ἀνωτέρω οὕτως εἰρήκει.

254,5 ὁ μὲν ἐντὸς τοῦ χρόνου κατελθὼν ὁ Κίμων τῶν δέκα ἐτῶν τοῦ ἐξοστρακισμοῦ.

254,6 ὁ δὲ ὁ Περικλῆς.

254,7 πῶς ἄν τις κάλλιον ὑπὲρ ἀμφοῖν ἀπολογησάμενος ὑπέρ τε τοῦ δήμου καὶ τῶν στρατηγῶν καὶ δείξας ὡς οὐ δεῖ ἀμφοτέρων ἅμα κατηγορεῖν, φησὶν, ὡς καὶ οἱ Πλάτωνος λόγοι δεικνύουσι, λέγοντες μὲν ἁμαρτεῖν τὸν δῆμον, πάλιν δὲ κατὰ τῶν ἀνδρῶν τούτῳ χρώμενοι, διὰ μὲν τοῦ ἁμαρτεῖν ὑπὲρ τούτων ἀπολογούμενοι, διὰ δὲ τοῦ καταψηφίσασθαι τῶν ἀνδρῶν ἀνέγκλητον καθιστῶντες τὸν δῆμον, καὶ ὡς οὐχ ἥμαρτεν εἰς τοὺς ἄνδρας, ἀλλὰ τὰ δίκαια ἔδρασεν. ὑπὲρ ἀμφοῖν ὑπὲρ τῶν ἀνδρῶν καὶ ὑπὲρ τοῦ δήμου. ὑπέρ τε τοῦ δήμου καὶ τῶν ἀνδρῶν. τῶν ὄντων ἀληθῶν. τῆς ἀληθείας χάριν.

254,8 αὐτοῦ τοῦ κατηγορουμένου.

254,9 ἃ μὲν τοῖς ἑτέροις ἡμάρτητο τοῖς ῥήτορσιν, ἢ τῷ δήμῳ.

254,10 ἃ δ' ἀμφοτέροις ὑπῆρχεν εἰς εὐφημίαν ὃ ἐφιλανθρωπεύσατο ὕστερον ὁ δῆμος.

254,13 εἰς ταῦτ' εἰς τὰς τιμωρίας.

254,15 πῶς οὐκ ὀρθῶς εἶχε μιμήσασθαι τὸ τῶν Περσῶν δείκνυσιν ἐνταῦθα Πλάτωνα καὶ τῶν Περσῶν καὶ τῶν Βαρβάρων ὠμότερον. δείκνυσιν αὐτὸν καὶ βαρβάρων ὠμότερον.

255,2 πῶς ἀξιώσει συλλήβδην πάντα κατορθοῦν, καὶ πάντων κρατεῖν, ὄντα ἄνθρωπον θεοῦ μόνον τὸ ἀναμάρτητον. θεοῦ γὰρ μόνον τὸ ἀναμάρτητον.

255,8 τὰς τοῦ Μιλτιάδου καὶ τὰς τοῦ Κίμωνος ἵππους ἵππους τοὺς Ἀθηναίους καλεῖ. τοὺς Ἀθηναίους ἵππους καλεῖ.

255,13 ταῦτ' ἐστὶ πρὸς ἃ καὶ Ὅμηρος βλέπων ἔφη ἔνδοξον πάλιν ἔλαβε πρόσωπον.

255,15 τῶν μὲν γὰρ Ἑλλήνων κράτιστος δύο ἄκρα περιέλαβε.

255,17,18 ὥσπερ καὶ ὁ Ἕκτωρ πολλάκις αὐτῷ προφέρει τὴν δειλίαν, ἀδελφὸς ὢν καὶ ταῦτα ὑπερβολικῶς, ὡς μήτε τὸν ἀδελφὸν κρύπτειν τὸ κακόν.

255,20 ὁ δ' αὖ Πάρις, ἢ δύσπαρις—πρὸς ταῖς αὐταῖς ταύταις πύλαις ἀποκτείνας ᾄδεται ὅτι, ὅπου ὁ Ἕκτωρ τελευτᾷ, ἐκεῖ καὶ ὁ Ἀχιλλεὺς ὑπὸ τοῦ Πάριδος.

256,1 ἀπὸ τῶν ἐσχάτων ὅρων ἄκρων.

256,2 οὐ μόνον ξυνὸς Ἐνυάλιος οὗτος ἔφορος τῶν ἀγώνων.

256,5 ἐπείπερ ἔστ' ἐναγώνιος ὁ βραβεύων τοῖς ἀθληταῖς τὰ ἀγωνίσματα.

256,6 καὶ τὰ τῶν στεφανιτῶν οὐ γὰρ πάντες ἀγῶνες στεφανῖται.

256,19 ὁ Εὔμηλος αὐτὸς ἐκπίπτει τοῦ ἅρματος διὰ τὸ τάχος κινδυνεύων.

257,4 τοῦτο γάρ μοι δοκεῖ τῶν ῥημάτων τὸ βούλημα εἶναι ἐμφαίνει τὸ θεώρημα, ὅτι τοιαῦτα τὰ ἀνθρώπεια.

257,5,6 ὅπερ περὶ τοῦ δακτύλου φασί ποτ' εἰπεῖν—ποτὲ δὲ οὐ πλέον ἢ ἓν ὅτι Ὀρόντης ὁ Πέρσης ἐκπεσὼν ἔφη· καὶ ὁ δάκτυλος ποτὲ μὲν ἓν, ποτὲ δὲ μυρία σημαίνει. οὕτω καὶ αὐτὸς, πρὶν ἐκπεσεῖν εὐτυχὴς ὢν, νῦν δυστυχῶ, ἄνω καὶ κάτω τῶν ἀνθρωπίνων δίκην πτεροῦ στρεφομένων.

257,6 τῇ θέσει τῇ κλίσει τῶν δακτύλων.

257,7 τείνειν ἁρμόζειν.

257,13 πολεμίων καθαρὸς ἄνευ πολεμίων. τρέχων μετὰ τοῦ Ὀδυσσέως.

257,14 τῆς ὄνθου ὄνθος ἡ τῶν βοῶν κόπρος. ἡ βοεία κόπρος. τῆς ὄνθου προσέτι ἐμπεπλησμένος ὄνθου βοὸς Ἀθηνᾶ κατὰ τὸν δρόμον ἐποίησεν εὑρεθῆναι ὑπὲρ Ὀδυσσέως, εἰς ἣν Αἴας ὀλισθήσας Ὀδυσσέως ἡττᾶται. βλάψεν γὰρ Ἀθήνη, φησὶν ὁ ποιητὴς καὶ Ἀθηναῖοι, φησὶν, ἄριστοι ὄντες ἐσφάλησαν.

257,15 τὴν τύχην διὰ τῆς Ἀθηνᾶς, ὥς γ' ἐμοὶ δοκεῖ, δηλῶν ὅτι ἡ ποίησις τῇ τύχῃ παρεικάζει τὴν Ἀθηνᾶν.

258,1 βλήτροισι τουτέστι συμβολαῖς· βλῆτρον γὰρ ἡ ξυμβολή.

258,2 ἦ που ῥᾳδίως πολλῷ πλέον. ἀντὶ τοῦ πολλῷ πλέον.

258,3 ἀλλὰ δῶμεν τοῦτο ἑτέρας τινὸς ἕξεως δεῖσθαι ἀντιπῖπτον λύει.

258,4 ἑτέρας τινὸς ἕξεως ἐπιστήμης.

258,5 οὗ μέγιστός τε καὶ κάλλιστος ἦν αὐτὸς αὐτοῦ αὐτὸς αὐτῷ συνέκρινεν, ὡς οὐκ ἔχοντος πρὸς ἄλλον σύγκρισιν.

258,7 οὕτως ἔπραξε κἀνταῦθα καὶ ταῦτα ἡττώμενος ὄντως. ὡς ἡττώμενον ὄντως. καίτοι ὅ γε κήρυξ ἀνεῖπεν οὑτωσὶ πανταχοῦ τὰς μαρτυρίας παρατίθεται χρησίμους καὶ ἀναγκαίας.

258,15 καὶ μὴν καὶ ὁ ἀδελφὸς μετεῖχεν αὐτῷ τῆς τύχης ἐπιθήκην ἀντὶ τοῦ προσθήκην τῆς συμφορᾶς· ἵνα μὴ μόνον ἀδελφὸς ᾖ τῇ φύσει, ἀλλὰ καὶ τῇ τύχῃ.

258,16 τὴν δὲ περιστερὰν αὐτὴν ὁ μὲν Ἀριστείδης θηλυκῶς εἶπε, μέμνηται δέ τις τῶν κωμικῶν ἀρσενικῶς, ὁ περιστερός. καὶ ταύτην τὴν χρῆσιν τίθησιν ἀττικίζων.

258,18 χρησμούς τινας οὐ λόγους μόνον, ἀλλὰ θεῶν μαντεύματα. ὥστε οὔτ' εἴ τις ῥώμῃ σώματος ὡραιότατον πάνυ καὶ λίαν εὐσεβέστατον.

259,5 ὅταν καιρὸς ᾖ τούτου πάλιν ἐμφαίνει τὴν τύχην. ἁλώσεται δὲ Βαβυλὼν αὐτοῖς τείχεσι ἐπεὶ ἑπτὰ ἔχουσα τείχη ὡς ἀνάλωτος ἐθαυμάζετο. πάλιν δὲ τοὺς Πέρσας πορθήσουσιν ἕτεροι ἦσαν γὰρ αὐτοὶ τῶν ἄλλων βαρβάρων δυνατώτεροι.

259,9 κιχάνῃ δὲ βραδὺς ὠκὺν ἥρμοσε τὸ Ὁμηρικὸν ῥητὸν τὸ ἀληθές.

259,10 περιχωρῇ πλανᾶται, περιστρέφεται. τό θ' ὡς ἀληθῶς προφήτου τινὸς εἶναι δόξειεν ἂν δείκνυσιν ὅτι, καὶ εἰ φιλόσοφος ἦν, ἀλλ' ἔλαττον προφήτου.

259,11 τὸ δ' ἡμέτερον τουτέστι τὸ ἀνθρώπινον. εἰ δ' ἔσωζον μὲν οἱ κυβερνῆται πάντες ἅπαντας πάλιν τὰ τοῦ Πλάτωνος αὐτὰ δείκνυσι. τὰ Πλάτωνος πάλιν αὐτὰ δείκνυσι.

259,14 εὐχὴ δὲ καὶ δύναμις μηδὲν διέφερον τῇ μὲν γὰρ εὐχῇ τὸ κατορθοῦν, τῇ δυνάμει δὲ οὐ πάντως ἔχει ἡ εὐχὴ τὸ εὐχερές· ὡς καὶ Δημοσθένης.

259,16 οὐδ' ἂν κατέκλυζεν ἡμᾶς τῶν πίθων ἄτερος ὁ τῶν κακῶν δηλονότι. δοιοὶ γάρ τε πίθοι κατάκεινται ἐν Διὸς οὔδει, δώρων οἷα δίδωσι κακῶν, ἕτερος δ' ἑάων.

260,2 ἔλθωμεν γὰρ ἐπ' αὐτὸ τὸ κυριώτατον ἤδη ὡς τοῦτο μεῖζον τῶν προτέρων παραδειγμάτων. ὁ Παλαμήδης, σοφώτατος ὢν τῶν Ἀχαιῶν, ἑάλω τὴν δίκην τῆς προδοσίας καὶ μόνῳ τῷ ὀνόματι ἔδειξε τοῦ προσώπου τὴν ὑπερβολήν· ἡ δὲ ἱστορία δήλη, ὅτι ὁ Ὀδυσσεὺς ἀμυνόμενος αὐτῷ ἐπλάσατο κατ' αὐτοῦ προδοσίας ἔγκλημα καὶ ὅλως ἐνίκησεν.

260,5 καὶ ἀδικεῖν γ' ἔδοξεν ὅτι οὐχὶ δικαίως ἔδοξεν αὐτός.

260,6 ὄντα μὲν αὐτὸν κυριώτερον τοῦ Ὀδυσσέως εἰς σοφίας λόγον παράδοξον, δυνατώτερον. πάλιν δὲ τὸ πρόσωπον τοῦ Ὀδυσσέως λαμπρόν.

260,11 ὅς γε καὶ σπουδαίων καὶ τῶν εἰς ψυχαγωγίαν ἡγεμὼν αὐτοῖς ἐγεγόνει σχεδὸν ἁπάντων τὸ σπουδαῖον λέγει, διὰ τὸ εὑρεῖν αὐτὸν γράμματα ις′ καὶ τὰ τακτικὰ καὶ ψήφους, τῶν εἰς ψυχαγωγίαν δὲ, διὰ τοὺς κύβους καὶ τὰ ἄλλα παίγνια, ἃ λιμώττουσι τοῖς Ἀχαιοῖς οὗτος ἐξεῦρεν, ἵνα τὸν νοῦν πρὸς ἐκείνοις ἔχοντες ἧττον αἰσθάνοιντο τοῦ λιμοῦ. τῶν εἰς ψυχαγωγίαν τῶν κύβων, οὓς ἐξεῦρε, λιμωττόντων τῶν Ἑλλήνων. ὁ δέ γε αὐτὸς οὗτος πρῶτος καὶ τὰ τακτικὰ, τὸν ἀριθμὸν, ἐξεῦρε.

260,13 οὐδὲ τῶν βοσκημάτων οὐδὲν διέφερον τοῦτο ἐν Αἰσχύλῳ Προμηθεὺς λέγει περὶ τοῦ ἀνθρωπείου γένους.

260,14 οἱ δὲ τοσοῦτον ἀπεῖχον τοῦ σύμπαντας ἂν τὸ σχῆμα χαριεντισμός.

261,1 εἰς αὐτὴν τὴν σωτηρίαν τοῦ Παλαμήδους. πῶς οὐ πολλῆς ἄν τις φήσαι τῆς ἀτοπίας εἶναι ἀντὶ τοῦ παραδοξότατον.

261,3 ἀλλ᾽ ὑπὲρ μὲν τῶν ἄλλων σοφὸς ἦν αὐτὸς ἑρμηνεύει, πῶς εὐχερὴς, ὡς ἐπ᾽ ἀγῶνος.

261,4 ἡ τοῦ Περικλέους φατρία φατρία σημαίνει δύο, τὴν συγγένειαν καὶ τὴν συναγωγήν. ἐνταῦθα τὸ δεύτερον σημαινόμενον ἁρμόζει. διαφέρει ὑπερβάλλει. οἵ τε Ἀθηναῖοι συμπάντων τῶν Ἑλλήνων ἡμερώτεροι πολλῷ τινι φαίνονται ὡς τούτων παιδευθέντες.

261,16 ἧς ἀρτίως ἐμνήσθην ἄνω γὰρ εἶπεν ὡς θεὸς μὲν καὶ τύχη πάντα ἄγουσι, τὸ δ᾽ ἡμέτερον πᾶν ἦν ἄρα παιδιά.

261,17 ὡς τύχαι καὶ καιροὶ τὰ τῶν ἀνθρώπων ἄγουσι πράγματα τὴν αὐτὴν ἔχει δύναμιν ἡ τύχη τῷ καιρῷ. καὶ Αἰσχίνης ὁ ῥήτωρ τοῦ θεοῦ δύναμιν τῷ καιρῷ προστίθησιν.

261,19 εὖ φρονῶν φιλοσοφῶν.

262,4 μηδ᾽ ἀμνημόνει τῶν καιρῶν, οὓς αὐτὸς φὴς τῇ διαφορᾷ τῶν χρόνων βεβαιοῖ τὸ ἐπιχείρημα. τὴν διαφορὰν τῶν χρόνων ἐπιβεβαιοῖ τὸ

ἐπιχείρημα.

262,8 τῶν μειζόνων ἐπικουριῶν τοῦ θεοῦ καὶ τῆς τύχης.

262,10 ἡμεῖς γε ἀντὶ τοῦ οἱ φιλοσοφοῦντες. ἐκράτει Κλέων Περικλέους πολὺ τὸ διάφορον ἐδήλωσεν, ἀντὶ τοῦ ὁ πρὸς πάντα κάκιστος τοῦ χρηστοῦ.

262,14 τὸ ἔργον τὸν κάματον.

262,17 ἑπτὰ Λακεδαιμονίους. πρὸς ἑξακοσίους Ἀθηναίους. ἀντιλογίζεται ἀπαριθμεῖται.

262,20 τὸν μὲν γὰρ οὐδεὶς ἦν ὅστις οὐκ ἂν εὖξατο παραδόξως ἐπιχειρεῖ· δὶς ἐκ τῶν ἐπιφερομένων διωρθώσατο.

263,8 ἐν αὐτοῖς οἷς Σωκράτης ἐκινδύνευσεν οὐχὶ δικαίως αὐτῷ ἐν τῇ ἀπολογίᾳ Σωκράτους.

263,13 εἶτα ἐπιθαυμάζεις τὸ ῥῆμα αὐτοῦ πρὸς αὐτὸν μιμεῖται.

263,14 προσέκρουσαν ἐλύπησαν.

263,17 ὅτι τόν γε τοσοῦτον χρόνον διεγένοντο διέζησαν.

263,19 ᾗ μὲν κατά τινα τρόπον.

263,20 καί τινα πρᾳότητος τύπον χαρακτῆρα.

263,21 ἡδέως δ᾽ ἂν ἐροίμην ὅστις βούλεται πρὸς τοὺς φιλοσόφους μεταστρέφει τὸν λόγον.

264,8 φέρε δὴ κἀκεῖνο σκεψώμεθα τὸ καταδικασθῆναι ἀκαίρως.

264,9 εὐπρεπῶς εὐφήμως.

264,11_13 ἐμοὶ μὲν γὰρ δοκεῖ τὸ μὲν μηδὲν— ἐκείνοις ὑπάρχειν ὁ νοῦς τοιοῦτος· τὸ μὲν μηδὲν ἄτοπον συμβουλεῦσαι, ὑπέρ τε τῶν ῥητόρων ἐστὶ, καὶ ὑπὲρ Σωκράτους καὶ Πλάτωνος· οὐδὲ γὰρ ἄτοπον συνεβούλευσαν. τὸ δὲ τολμῆσαι τὰ χρηστὰ συμβουλεῦσαι μόνον ἂν εἴη τῶν ῥητόρων.

264,12 τοῦ μηδ᾽ ὅλως εἰπεῖν τουτέστι σιωπᾶν.

264,13 ἐκείνοις τοῖς ῥήτορσι.

264,16 εἰ δὲ καὶ τοῦτ᾽ ἔξεστιν ἐρωτῆσαι τεχνικῶς ἐπαινεῖ, ἐπειδὴ συμβάλλεται πρὸς ἀπόδειξιν πάλιν ὁ ἔπαινος.

264,19 ὑπολογίζεσθαι ἐννοεῖν.

265,1 πρὸς τὸ δίκαιον δίκαιον καλεῖ τὸ βοηθεῖν τῇ πατρίδι.

265,2 τῷ Σωκράτους κέχρηνται λόγῳ ὡς ἐκεῖνα ὄντα ἀπὸ προσώπου τοῦ Σωκράτους.

265,4 εἰ καὶ ὁτιοῦν ἀπήντησε συμβέβηκε.

265,6 τὰ Πλάτωνος αὐτοῦ ῥήματα.

265,8 καὶ πάντα δὴ λέγω τἀπὶ τούτοις ἐσιώπησε τὰ ἑξῆς, ὡς ὁμολογούμενα τῷ ἀκροατῇ.

265,9_11 τοὺς δ᾽ εἴ τι πείσονται δυσχερὲς— τούτους ἀπὸ τῶν συμβάντων κρινοῦμεν ἀπὸ προσώπου ἡ σύγκρισις, ἀπὸ τῶν συμβάντων, ἀφ᾽ ὧν πεπόνθασιν.

265,11 οὐδὲ τοὺς μὲν ὑπὲρ μιᾶς γυναικὸς ὑβρισθείσης ὅρα πῶς ἐμείωσε τῶν ἡρώων τὸν ἔπαινον καὶ τὴν Ἑλλάδα μιᾷ γυναικὶ ἀντέθηκε.

265,14 τούτους μετὰ τῶν ὀψοποιῶν καταλέξομεν τὸ σχῆμα βαρύτητα δηλοῖ. ἀπὸ γὰρ ἐπαίνου τὴν διαβολὴν ἐπήνεγκεν. εἰ μέν τις φίλῳ τιμωρῶν ὁ Ἀχιλλεὺς τῷ Πατρόκλῳ. τῷ Πατρόκλῳ Ἀχιλλεύς.

265,15 εἰς μακάρων νήσους ἔνθα οἱ εὐσεβεῖς μετὰ θάνατόν εἰσιν.

265,19 τοῦτο οὐκ ἔχοντας μὴ δυναμένους. κειμένοις νεκροῖς. βούλομαι τοίνυν καὶ Δημοσθένους τοῦ Παιανιέως μνησθῆναι βραχύ τι τὸ Δημοσθενικὸν τὸ ἐν τῷ πρὸς Λεπτίνην.

265,21 ὅσον εἰς τούτους ἀνήκει ἀνέρχεται.

266,5 λέγει γὰρ, ὡς ἐγῷμαι, ταυτὶ κατὰ τοῦ Αἰσχίνου· προσποιεῖται ἀγνοεῖν.

266,8 οὐχ ὥσπερ Πλάτων φησὶν λέγων τὴν ῥητορικὴν ἠθικωτέραν τῆς διαλεκτικῆς.

266,14 εἰς ὑπερβολὴν εἰς τὸ ὑπερβαλέσθαι ἐκείνους.

266,16 ὅτι οὐχ ὁμοίως εἶχε τὰ τῶν καιρῶν ἐντεῦθεν ἀπὸ τῶν καιρῶν ἡ σύγκρισις.

266,17 οἱ μὲν οἱ πρόγονοι.

266,18 νοσούντων καὶ μόνων οὐκ ἀπολωλότων προδιδόντων καὶ στασιαζόντων.

266,19 ἔπειθ' ἀντὶ τοῦ δεύτερον. ὅτι οὐδὲ τὰ τῶν ἀντιπάλων παραπλήσια ἀπὸ τοῦ προσώπου ἐνταῦθα ἡ σύγκρισις, ὅτι δεινότερος ὁ Φίλιππος Ξέρξου.

266,20 καὶ τούτους ὁμήρους τὸ ἄπιστον Φιλίππου δηλοῖ, ὅτι σπενδόμενος ἐπολέμει. ἅμα τῷ Κηρυκείῳ καὶ τῷ Σιδήρῳ ὀνόματα προδοτῶν. τῷ κηρυκείῳ κηρύκειον ὁ τοῦ κήρυκος μισθὸς καὶ τὸ ἀφιλόνεικον. κηρύττει ὁ τοῦ κήρυκος μισθὸς τὸ φιλόνεικον.

267,1 τὰ πλεῖστα τῶν πραγμάτων ἐξ ἀφανοῦς ἀφαιρουμένους τοὺς προδότας σημαίνει. λαθραῖος γὰρ ὁ τούτων πόλεμος.

267,5 ἀφθονίας θαυμαστῆς εὐπορίας· ἵνα δείξῃ τὸ πλῆθος τῶν προδοτῶν.

267,9 ἀποχρῆν ἡγήσατο ἀντὶ τοῦ οὐκ ἀνάγκην ἔχων τῶν προδοτῶν μνησθῆναι.

268,1 ἐπισημαίνοιτο ἐπιτηρήσειεν.

268,2 ἐκ περιουσίας ἐξ ὑπερβολῆς.

268,3 αὐτοῖς κατηγορήμασιν.

268,6 τὴν αὐτὴν τῷ Θουκυδίδῃ φωνὴν ἀφιεὶς ἵνα δείξῃ ὁ Δημοσθένης ὡς ῥήτωρ σοφίζεσθαι, συνέπλεξεν αὐτῷ τὸν Θουκυδίδην ὡς φιλαλήθη.

268,12 πάντως δὲ ἄκρω μὲν ἀμφοτέρω τὼ ἄνδρε Πλάτωνα λέγει καὶ Δημοσθένην. Πλάτων λέγει καὶ Δημοσθένης.

268,13 τοῦ λέγοντος αὐτοῦ ἐμοῦ.

268,15 δεξιώτερος συνετώτερος. ὅστις αὐτῷ—εἵλετο τοὺς ἄνδρας ὁ Πλάτων.

268,16 τοὺς ἄνδρας τοὺς τέσσαρας. ὅστις ὄντος μὲν τοῦ παροξύνοντος οὐ προήχθη ὁ Δημοσθένης. ἐν τοῖς Φιλιππικοῖς.

268,17 οὐδ' ἠξίωσεν αὐτὸν σεμνύνειν ἑαυτὸν λέγει καὶ κολάζων τοῦ ἐπαίνου τὸ ἐπαχθές.

268,19 μή τῳ δὴ φαυλοτέρα τῆς διαλεκτικῆς ἡ ῥητορικὴ φαίνεται οὐ γὰρ καθόλου ὁ ῥήτωρ τοῦ φιλοσόφου πλέον τι ἔχει.

268,20 ταῦτ' τὰς τέχνας λέγει, διαλεκτικὴν καὶ ῥητορικήν. εἶναι τὴν διαλεκτικὴν μέρος τι τῆς ῥητορικῆς πλατυτέραν δείκνυσι τὴν ῥητορικήν.

268,21 τὸν αὐτὸν τρόπον, ὅνπερ τοῖς δρομεῦσιν τοῦτο καλεῖ ἀντίστροφον νόημα.

269,2 ἐξαίρω χωρίζω. ἱκανὸς γὰρ καὶ ἀμφότερα φιλοσοφεῖν καὶ ῥητορεύειν.

269,3 οὗ τί γε τοῖς περὶ τῶν ἀνδρῶν τούτων λόγοις ἄγων ἡμᾶς οἰχήσεται ἔνθα ἰδίᾳ τὴν μνήμην αὐτῶν ἐποιήσατο προτροπῆς χάριν.

269,4 συνήγαγον ἴσας ἔδειξα. τὰς δυνάμεις ἡ ῥητορικὴ καὶ ἡ διαλεκτική.

269,5 περὶ τῆς τῶν ὀνομάτων ὀρθότητος διαλεγόμενος ἐν τῷ Κρατίνῳ τῷ διαλόγῳ, ἢ περὶ ὀρθότητος ὀνομάτων. Κρατύλον σημαίνει τὸν διάλογον Πλάτωνος.

269,10 ὑπὲρ μὲν τούτων τοῦ τὴν διαλεκτικὴν τῇ ῥητορικῇ προσήκειν. οὐ διαφέρομαι δικάζομαι.

269,11 Αἰσχίνης ὁ Σωκρατικὸς, περὶ οὗ ἤδη εἶπεν.

269,12 ἀφ' ὧν αὐτὸς πλάτων ὡμολόγησεν ὅτι οὐ κολακεία ἡ ῥητορικὴ, ἀλλ' ἴση διαλεκτικῇ.

269,18 τὴν γοῦν ἀλήθειαν ὡς χρὴ τιμᾶν, — ἄξιος, ἢ Πλάτων φιλοσόφων ἔργον τὸ τὴν ἀλήθειαν τιμᾶν. πάλιν δὲ τὴν Πλάτωνος δέχεται μαρτυρίαν.

270,2 ὑπεξελέσθαι χωρίσαι.

270,5 τῶν πρώτων κατηγοριῶν.

270,6 ὥστ᾽ εἰ τοιοῦτοι ῥήτορες ἦσαν, —οὔτε τῇ κολακικῇ πάλιν τῶν Πλατωνικῶν ῥημάτων κέχρηται. πάλιν Πλατωνικῷ ῥητῷ κέχρηται.

270,7 πῶς ἄν τις μᾶλλον ἁλοίη τἀναντία λέγων τὸ μαχόμενον πάλιν κεφάλαιον.

270,10 διὰ δ᾽ ὧν ἀφῆκεν οὓς ᾐτιάσατο—ὡς κολακείαν ἐλέγχειν ἀξιοῖ λέγει γὰρ ὡς οὐκ ἂν ἐξέπεσον, εἰ τῇ ἀληθινῇ ῥητορικῇ χρώμενοι τὰ βέλτιστα ἔλεγον, καὶ οὐ τῇ κολακευούσῃ.

270,16 τὴν τοῦ Ἀμφίονος ἀνταποδοῦναι ῥῆσιν αὐτὸν εἰσάγει τὸν Ἀμφίονα, πρὸς τὸν ἀδελφὸν Ζῆθον λέγοντα ὅτι οὐ συμφωνεῖς ἑαυτῷ· φανερὸς γὰρ ὁ τούτων μῦθος, ὅτι τῇ λύρᾳ τὰς Θήβας ἐτείχισαν. λέγει δὲ ὡς πρὸς τὸ βούλημα Πλάτωνος. τοῦτο γὰρ ἤθελε δεῖξαι.

270,17 καίτοι ποτέροις τῶν λόγων χρὴ πιστεῦσαι πάλιν αὐτοῦ τῶν ῥημάτων ἐπιλαμβάνεται. ἀντὶ τοῦ ποῖον δίκαιόν ἐστιν.

270,18 ὡς ἄν τις μάρτυς συνήγορος.

270,20 κἀνταῦθα στήσεσθαι τοῦ λόγου ἐν τῇ διαβολῇ. τὰ μὴ ὄντα τὰ οὐκ ἀληθῆ.

271,3 τῆς αἰτίας τῆς κολακείας.

271,4 ὁποίους τινὰς αὐτοὺς ὄντας ἐβούλετο δεικνύναι ἀντὶ τοῦ ἐπεθύμει βιαζόμενος τὴν ἀλήθειαν.

271,5 ὅπου γὰρ εἰ καὶ τὰ μάλιστα—ὡς οὐ τοιοῦτον εἴη ἀντὶ τοῦ οὐκ ἤδη κακὴ ἡ ῥητορικὴ, εἰ καὶ οἱ ἄνδρες ἐδείχθησαν κακοί. εἰ καὶ τὰ μάλιστα ἠλέγχοντο ὡς κακοί.

271,8 παρ᾽ ἐκεῖνον αὖ τὸν λόγον τουτέστι κεχωρισμένον ἐκείνου τοῦ λόγου. ἐκτὸς τοῦ λόγου ἐκείνου καὶ ἐναντίως αὐτῷ.

271,10 παράλληλα θεασώμεθα ἅ τ᾽ ἐκεῖ λέγει καὶ ἅ φησιν ἐνταῦθα πάλιν διαβάλλει ὡς ἐναντία λέγοντα.

271,12 γνησίως ἀληθῶς.

272,2 εἰ γὰρ μεταξὺ τούτων ἦσαν οἱ λόγοι ἀντὶ τοῦ εἰ τούτων κεχωρισμένοι εἰσί.

272,3 αὐτῶν τῶν ῥητόρων.

272,9 τὰ μηδαμῆ συμβαίνοντα πρέποντα.

272,10 κατηγορεῖν αὐτούς.

272,13 τῷ τύπῳ τῶν λόγων τῷ χαρακτῆρι.

272,14 χαριζόμενοι τερπόμενοι. τρόπος τρόπος λόγου.

272,18 πῶς οὐ τούς γε σοὺς ὅρους ἐκπεφεύγασιν, οὓς ἔστησας αὐτοῖς ὡς ἀφύκτως καὶ βεβαίως αἱρήσων ὡς ἐπὶ δικτύου εἶπε καὶ λίνου.

272,19 ἀλλὰ μή τις ὅρα.

272,21 ἐν τῷ τὴν ἡσυχίαν ἄγειν μὴ πολιτεύεσθαι. ἐν τῷ μὴ πολιτεύεσθαι.

273,7 ἐγὼ μὲν οὖν οὕτως ἂν μᾶλλον φαίην εἶναι ἄρχοντας.

274,9 τίν' ἔχει λόγον ἀντὶ τοῦ ποῖον δίκαιόν ἐστι.

274,13 οὐ κακῷ τὸ κακὸν—ἰάσατο τὸ παροιμιῶδες, οὐκ ἰάσασθαι τῇ κατηγορίᾳ τὴν κατηγορίαν.

274,15 τί σοι πλέον τῆς ἐκείνων κακίας λείπει ὄφελος.

274,16 οὐδὲ γὰρ ἂν ἐλέγχῃς, ὃ βούλει ποιεῖς τὸ δεῖξαι καθόλου κακὴν τὴν ῥητορικήν.

274,17 τοῖς ὅλοις πράγμασι.

275,3 τῷ μέλλοντι ὑπολήψεσθαι Καλλικλεῖ. ὑπολήψεσθαι ἀποκριθήσεσθαι. καὶ καθάπερ τὰ παραδείγματα προσῆκε. ἁπλῶς οὑτωσὶ περαίνειν ἄνευ ἐρωτήσεως.

275,4 νῦν δ' οὔτ' ἐκ τῶν ἑτέρων ἀναγκαίας οὔσης τῆς ἀποκρίσεως τοῦ ἀπολογεῖσθαι, ἢ καλοὶ, ἢ κακοί. νῦν δ' οὔτ' ἐκ τῶν ἑτέρων ἀναγκαίας οὔσης τῆς ἀποκρίσεως οὔτε κατ' ἀμφότερα ἁλωσίμου οὐ γὰρ ἀνάγκην

εἶχεν ὁ ἐρωτώμενος τὸ ἓν ἀποκρίνασθαι, ἀλλ᾽ οὐδὲ ἀμφότερα τὰ μέρη τῆς ἐρωτήσεως κατηγορίαν εἶχε τῆς ῥητορικῆς.

275,5 κατ᾽ ἀμφότερα τὸ εἶναι καλοὶ ἢ κακοί. δίδωσι τὰ δεύτερα τῷ Καλλικλεῖ τὸ πρὸς ἀμφότερα ἀπολογεῖσθαι.

275,9 ἐγὼ δ᾽ εἰ μέν ἐστι διπλοῦν ἡ ῥητορική θαυμασίως ἐπεχείρησεν, ἐκ τῆς αὐτοῦ τέχνης συλλογιζόμενος, καὶ δείκνυσι πᾶσαν τέχνην ἁπλῆν, καὶ ὅτι οὐχ ἡ κακία τοῦ τεχνικοῦ ποιεῖ τὴν τέχνην ἑτέραν.

275,14 ἐν οἷς γε λόγοις κακῶς αὐτὴν λέγειν προῄρητο ἐν τῷ δεῖξαι καθόλου κολακείαν.

275,18 εἰ γὰρ ᾤετο χρῆναι τοὺς μὲν ἐπαινεῖν ὃ λέγει τοιοῦτόν ἐστιν οὐκ ἐχρῆν αὐτὸν βουλόμενον τοὺς μὲν ἐπαινεῖν τῶν ῥητόρων, τοὺς δὲ κακίζειν, χωρῆσαι κατὰ ῥητορικῆς ἐκείνους ἀφέντα, καὶ διπλῆν αὐτὴν εἶναι λέγειν, καὶ οὐκ ἐνταῦθα μόνον στῆναι, ἀλλ᾽ ἐπενεγκεῖν ὅτι φαύλη τίς ἐστι μόνον, καὶ οὐ τὸ μὲν αὐτῆς χρηστὸν, τὸ δὲ φαῦλον.

275,19 ὑπολαβὼν ἀποκριθείς.

276,5 οὐ πώποτε σὺ ταύτην εἶδες τὴν ῥητορικὴν τὴν ὑπὲρ τοῦ βελτίστου σπουδάζουσαν.

276,6 μὴ γὰρ ὅτι οὑτωσὶ λέγει τῷ ῥήματι, οὐ πώποτε εἶδες πρὸς τὸ φιλονείκως ἐστὶν ἡ κατασκευὴ αὕτη· θέλων γὰρ Ἀριστείδης δεῖξαι τὸν Πλάτωνα φιλονείκως πρὸς τὸν Καλλικλέα τοῦτο εἰπόντα, ἐπάγει· λέγει γὰρ ὁ Καλλικλῆς οὑτωσὶ τῷ ῥήματι· μὴ πρόφερέ μοι, ὦ Πλάτων, τὸ οὐ πώποτε εἶδες.

276,8 τούτους τοὺς ἄνδρας. τῶν τότε ὄντων ἐλέγχει ῥητόρων ἀντὶ τοῦ τῶν ὁμοχρόνων αὐτῷ τῷ Πλάτωνι.

276,9 κατὰ πάντων ἐθέλει λέγειν οὕτω τῇ ἀποκρίσει δηλονότι.

276,12 τοῖς ἀμοιβαίοις τῇ ἀποκρίσει.

276,15 ἢ ἐκεῖνον τὸν Καλλικλέα.

276,18 τοῦ διαφωνεῖν μάχεσθαι.

277,3 καὶ παρῆλθε μὲν τὸ παρῆλθε λέγει, διότι οὐ διέβαλλεν αὐτὸν ὀνομαστὶ, πρὸς διαβολὴν δὲ ἐμνημόνευσεν, ἐπειδὴ πάντας τοὺς ἀπ᾽ ἐκείνου διέβαλεν, ὅτε δὲ πάντας, καὶ οὗτος ἐντὸς ἦν.

277,8 πάλιν δὲ τινῶν, τῶν Σωκράτους μὲν εἰς Ἀλκιβιάδην.

277,10 ἐναγόντων παροξυνόντων.

277,13 τοῖς δ᾽ ὡς ὀλιγαρχικοῖς ὀλιγαρχίαν ἐπαινοῦσι καὶ ἄντικρυς πρὸς τυραννίδα νεύουσι. δι᾽ ἀπορρήτων ἀπόρρητα καὶ ἅ τις οὐκ οἶδε κατηγοροῦντες αὐτῶν, ὅτι καὶ ὁ Νικίας ἦν τις τῶν ἐφ᾽ ἑαυτοῦ.

277,14 δι᾽ ὧν δ᾽ ἐλεγχόμεθα ἑκόντες παραλείψομεν τῇ σιωπῇ.

277,15 καὶ Νικίαν εἶναί τε ἀγαθόν.

278,1 ἐπ᾽ ἐκείνου τῶν χρόνων τοῦ Πλάτωνος.

278,10 περιγραπτοὺς ὡρισμένους.

278,14 καίτοι τί φησι Πλάτων ἀνθυποφορά.

278,16 σὺ τοίνυν αὐτὸς φὴς ὅτι, εἴ τις τῆς ποιήσεως βουλόμενος διαβάλλειν τὴν ῥητορικὴν, ὡς καὶ αὐτὴν τρόπῳ τινὶ ποιητικὴν οὖσαν διὰ τὸ ἡδὺ Πλάτων εἶπεν.

278,17 εἰ καὶ μηδεπώποτ᾽ ἐφθέγξατο ἐπὶ τοῦ βήματος τὸ βῆμα τῶν ῥητόρων μόνον ἐστί.

279,1 καίτοι Σόλων τὰ μὲν εἰς Μεγαρέας ἔχοντα ᾄσαι λέγεται ἐπὶ γὰρ ποιητῶν μόνον τὸ ᾄσαι λέγεται.

279,6 καὶ σοφὸς καὶ γὰρ εἷς ἐγένετο τῶν ἑπτὰ σοφῶν.

279,7 ἀλλ᾽ οὐ μὰ Δί᾽ οὐχ ἡ ῥητορικὴ τῆς γὰρ νομοθετικῆς ἥττονα εἶπε ῥητορικήν.

279,8 τοῦ δευτέρου καὶ χείρονος τῆς νομοθετικῆς. δεύτερον καὶ χεῖρον ὁ Πλάτων ἐν τῇ διαιρέσει λέγει τὴν δικαιοσύνην τῆς νομοθετικῆς·

ἀμφότερα γὰρ μόριά εἰσι τῆς πολιτικῆς, ἀλλὰ πρῶτον μὲν ἡ νομοθετικὴ, δεύτερον δὲ ἡ δικαιοσύνη, ἧς εἴδωλον τὴν ῥητορικὴν τίθησιν. εἴδωλον εἶναι τὴν ῥητορικήν. κατεψευσμένον ἤγουν ὑφειμένον.

279,9 Σόλων γε καὶ τοὺς μέλλοντας Ἀθηναίων ἔσεσθαι φαίνεται βελτίους, εἰς ὅσον ἐξῆν, πεποιηκὼς ποτὲ γὰρ ἐστασίασαν ἐν Ἀθήναις οἱ πλούσιοι πρὸς πένητας, καὶ διήλλαξεν αὐτοὺς ὁ Σόλων διὰ τῆς νομοθεσίας.

279,12 οἶμαι δ' οὐκ Ἀθηναίους μόνον· ἀλλὰ καὶ πολλοὺς ἄλλους τῶν Ἑλλήνων, οἳ τοῖς ἐκείνου χρῆσθαι νόμοις ἔγνωσαν καὶ Δημοσθένης φησὶν ὅτι πολλοὶ τῶν Ἑλλήνων τὴν Ἀθηναίων ἐζήλωσαν πολιτείαν· καὶ Θουκυδίδης.

279,16 πάντων ἐφεξῆς κατέδραμε σημείωσαι ὁ ἀναγινώσκων.

279,18 νῦν δ' ὥσπερ ὡς ἀληθῶς τέταρτον μόριον τῇ πολιτικῇ νέμων τέσσαρα γὰρ ἔλεγεν εἶναι Πλάτων τῆς παρασκευῆς μόρια. ὑπόκειται τῇ πολιτικῇ ἡ νομοθετικὴ καὶ ἡ δικαιοσύνη, καὶ εἰσὶν αὐτῆς δύο μόρια· ὑπερχομένη δὲ αὐτὰς ἡ κολακεία τρίτον γίνεται. λέγει δὲ ὁ ῥήτωρ νέμειν τὸν Πλάτωνα τῇ πολιτικῇ ὥσπερ καὶ τέταρτον μόριον τὸ μνημονεῦσαι ἑνὸς ἐν εὐφημίᾳ, τεττάρων δὲ ἐπὶ ψόγων. παρὰ τὴν κολακείαν δὲ εἶπεν ἀντὶ τοῦ ἐπέκεινα ταύτης, ἄλλο τι εἶδος.

279,19 παρὰ τὴν κολακείαν ἐν τῷ δεῖξαι ἐπὶ κολακείαν.

280,3 ὑπερβολὴν μὲν εἶναι δόξειέ τις δεινῶς τοῦτο· καὶ ἐν τῇ ἀρχῇ ἔφη αὐτὸν ὠδίνειν τὴν κατ' αὐτὸν διαβολήν. ἐπειδὴ ἐδόκει ὥσπερ ἀμαθίαν κατηγορεῖν Πλάτωνος.

280,7 τὸν δὲ Ἀριστείδην ἐπήνεγκεν, ὡς καλὸν κἀγαθὸν καὶ δίκαιον οὐχ ὅτι δικαίως πέπονθεν, ἀλλ' ὡς συμβαλόμενον αὐτῷ Ἀριστείδην εἶπεν.

280,9 πρότερος μὲν τοῦ Κίμωνος ἵνα καὶ τῷ χρόνῳ δείξῃ πλείονα τειχίσαντας. ἵνα καὶ τὸν χρόνον δείξῃ πλεῖον ἀτυχήσαντας. ἑλοῦ δὴ κἀνταῦθα ὁπότερον βούλει δυεῖν Θεμιστοκλέα καὶ Κίμωνα.

280,14 δίκαιός γε ὢν, ὡς σὺ φὴς καὶ αὐτὸν γὰρ δίκαιον αὐτὸν ἐκάλει.

280,16 ὡς τοίνυν καὶ πάντας ἐπαινεῖ λαμπρῶς ἐνταῦθα τὴν μείζονα ἀπόδειξιν ἐτήρησεν· αὐτὸν γὰρ εἰσάγει τὸν ἀντίδικον γινόμενον αὐτῶν ἐπαινέτην ἐν τῷ ἐπιταφίῳ. οὐ μόνον ἐξ ὧν τῆς αἰτίας ἀφῆκεν αὐτοὺς, ἣν ἠτιάσατο ὅτι ἔλεγεν ὡς οὔτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο οὔτε τῇ κολακευτικῇ.

280,19 ὁ γὰρ τοὺς Μαραθῶνι προκινδυνεύσαντας ἐν τῷ τρίτῳ τῶν νόμων αὐτοῦ ὁ Πλάτων ἐπαινεῖ τὰς πράξεις τὰς γενομένας ἐν τοῖς Περσικοῖς.

281,1 τῇ ἠπείρῳ πάσῃ Ἀσίᾳ.

281,2 τοὺς ἐπ᾽ Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυμαχήσαντας Θεμιστοκλέους ἔργα.

281,3 τούς γε εἰς Κύπρον καὶ Παμφυλίαν πλεύσαντας Κίμωνος ἔργα.

281,4 τοὺς Ἕλληνας αὖ τῆς ἀγνωμοσύνης αἰτιασάμενος ἣν ἠγνωμόνησαν πρὸς Ἀθηναίους σωθέντες ὑπ᾽ αὐτῶν ἐκ τῶν βαρβάρων. τοὺς ἐπὶ τὴν γῆν ἐκείνων στρατεύσαντας ἀπὸ κοινοῦ τὸ αἰτιασάμενος. λέγει δὲ τοὺς Λακεδαιμονίους· οὗτοι γὰρ οἱ τῶν Ἑλλήνων ἡγεμόνες. τοὺς Λακεδαιμονίους ἐγείραντας κατ᾽ Ἀθηναίους τοὺς Ἕλληνας. ἐπὶ τὴν γῆν ἐκείνων τὴν Ἀττικήν.

281,5 τοὺς ἑλόντας τοὺς ἡγουμένους αὐτῶν ἑλόντας λέγει τοὺς μετὰ Περικλέους Ἀθηναίους, ὃς οὐκ ὀλιγάκις ἐνίκησε Λακεδαιμονίους ἡγεμόνας ὄντας τότε τῶν Ἑλλήνων. λόγον πανηγυρικὸν διεξιὼν αὐτοκέλευστος ἐπ᾽ αὐτοῖς ἐπιτάφιον· καὶ αὐτὸς γὰρ εἶδος ἐγκωμίου. ἵνα μή τις εἴπῃ ὅτι ἠναγκάσθη εἰπεῖν τὸν ἐπιτάφιον, τοῦτο λύει, λέγων, ἑκὼν, οὐκ ἀναγκασθεὶς εἶπεν.

281,7 ὅταν γὰρ τὰ πολιτεύματ᾽ αὐτῶν ἐπαινῇ, πῶς οὐκ αὐτοὺς ἐπαινεῖ; ὅτι ἄνευ αὐτῶν οὐ γεγόνασι.

281,9 οὐδ᾽ ὡς τοὺς μὲν διακονήσαντας ὡς ἀγαθοὺς ἄνδρας πάλιν τὸ φιλόνεικον δηλοῖ.

281,12 λέγειν ἀπὸ κοινοῦ τὸ χρή.

281,19 συμβαίνοντα συνᾴδοντα.

282,9 ἐκ τιμημάτων πλούτων.

283,5 πανηγυρίζων τε καὶ νομοθετῶν τὸν ἐπιτάφιον λέγων καὶ νόμους γράφων.

283,6 ἐνταῦθα ἐν τῷ Φαίδρῳ.

283,7 μετεωρολογίας νοητῶν τε καὶ οὐρανίων.

283,8 ἐπὶ φύσιν γνῶσιν.

283,11 τέχνην περὶ λόγους ὥσπερ ἐπιλαμβάνεται αὐτοῦ· ἰδοὺ γὰρ, φησὶ, τέχνην ὠνόμασε τὴν ῥητορικήν. τὴν αἰτίαν προστίθησι ὅτι συνεγένετο τῷ Ἀναξαγόρᾳ.

283,14 ἐν τουτοισὶ τοῖς λόγοις τοῖς Πλάτωνος. φαίνεται τοίνυν αἰτιασάμενος μὲν κοινῇ ἀνακεφαλαιοῦται πάλιν τὰ εἰρημένα.

283,17 δυοῖν θάτερον, ἢ μὴ προσήκοντα ἐπαινούμενον, ἢ κἀκείνους δεικνύντα ἃ μὴ προσῆκεν ἀκηκοότας τὸ δεικνύντα ἀντὶ τοῦ δεικνὺς ληπτέον, καὶ ἀπὸ κοινοῦ τὸ φαίνεται, καὶ συντακτέον οὕτως· καὶ δυοῖν θάτερον φαίνεται δεικνὺς, ἢ μὴ προσήκοντα ἐπαινούμενον, ἢ φαίνεται δεικνὺς ἐκείνους ἃ μὴ προσῆκεν ἀκηκοότας, ἀντὶ τοῦ μάτην ὑβρισθέντας. ἄλλοι δὲ εἰς τὸ δυοῖν θάτερον ὑπακούουσι φαίνεται ποιῶν, ἢ ἐπαινούμενον τὸν μὴ προσήκοντα ἐπαινεθῆναι, ἢ ἐπαινούμενον μὲν προσήκοντα, δεικνύντα δὲ ἐκείνους ἀκηκοότας ἃ μὴ προσῆκεν· ἵν’ ᾖ τὸ δεικνύντα πρὸς τὸν Ἀριστείδην.

283,19 ἑτέρωθι ἐν τῷ ἐπιταφίῳ.

283,20 πάλιν δ’ ἰδίᾳ ἐν τῷ Φαίδρῳ.

284,3 τὸ δ’ ἐκεῖνον νικᾶν.

284,6 καὶ ταῦτα εἰς αὐτὸν, ὃν ἥκιστα ἐβούλετο ἀντὶ τοῦ καὶ ἑαυτοῦ. τὸ καὶ ταῦτα εἰς αὐτὸν πρὸς τὸ τἀναντία τῶν ὄντων λέγειν ἔχει τὴν συνάφειαν· τὸ δὲ ὃν ἥκιστα ἐβούλετο λέγει, διὰ τὸ τὸν Πλάτωνα τὸν Περικλέα ἐπαινεῖν καὶ κοινῇ καὶ ἰδίᾳ. ἢ τὸ αὐτὸν ἀντὶ ἑαυτὸν, ἵνα συνάπτηται πρὸς τὸ χαλεπωτέρους. ὦ μακάριε πρᾳότατε.

284,11 οὕτως ἔτι πρᾳοτέροις οὗτος ἐχρήσατο πάλιν ἀπὸ τοῦ τρόπου τῆς τιμωρίας πρᾳότερον κατεσκεύασεν.

284,15 ἔστων ἔστωσαν. καὶ Ὅμηρος μαρτυρείτω ἐπειδὴ εἶπε δικαιότατος Κενταύρων, τὸ ἥμερον δίκαιον ὀνομάζων. τὸ δὲ προστιθεῖ γὰρ προσυπακουστέον τοῦ Ὁμήρου χρῆσιν.

284,19 καὶ φήσας ἐν τῷ διαλόγῳ τοῦ Ἀλκιβιάδου.

285,2 τὴν αὐτὴν αἰτίαν κακουργίαν καὶ πρόφασιν.

285,3 οὐδὲν προκαλυπτόμενος οὐ χρησάμενος προκαλύμματι. οὔτε γράμματα οὔτε νεῖν εἰδότα παροιμία ἐπὶ τῶν ἀνοήτων. τὰ εὐτελῆ.

285,4 χωρὶς τοῦ μὴ ὁμολογεῖν συμφωνεῖν.

285,6 τὰ δυσχερέστατα ἀτοπώτατα.

285,12 οὐ γὰρ ὁμοίως ἐκείνῳ τε κακῶς ἀκούειν καὶ τούτῳ τῶν κατ᾽ ἐκείνου λόγων ἀκούειν προσῆκεν τὸ Δημοσθενικόν· οὐ δεῖ λέγειν κακῶς τοὺς τελευτήσαντας, οὐδ᾽ ἂν ὑπὸ τῶν αὐτοῦ παίδων ἀκούῃ τις. ἐκείνῳ τῷ Περικλεῖ.

285,13 τούτῳ τῷ Ἀλκιβιάδῃ.

285,20 οὐδέ γε εἰς παραμυθίας μέρος αὐτῷ κατατίθεται, τὸ μὴ μόνον αὐτὸν τῇ ἀμαθίᾳ συνοικεῖν ὃ ἐποίησε Πλάτων, παραμυθεῖσθαι θέλων τὸν Ἀλκιβιάδην, ὡς οὐ μόνος αὐτός ἐστιν ἀνόητος.

286,3 καὶ προσέτι συμμέτρως ἐπέτεινε τὸν λόγον δι᾽ ὧν πλέον ἀποδίδωσιν ἐν τοῖς ἄλλοις Πλάτων, ἔτι μᾶλλον καθάπτεται αὐτοῦ.

286,4 περιῃρῆσθαι ἐκβαλεῖν.

286,9 ἔοικε δέ τι καὶ τῆς φύσεως ἀπολαύειν, ὥσπερ οἱ βασιλεῖς τῆς ἐξουσίας σημείωσαι τὸ τοῦ θεολόγου. τὸ αὐτονόμως δηλοῖ. οἷον καὶ περὶ αὐτὴν τὴν λέξιν ἐστὶν οὗ φανήσεται ποιῶν ὅτι ὀνοματοποιεῖ.

286,12 μέμνηται δὲ τῶν ἐν Κορίνθῳ τετελευτηκότων καὶ τῶν ἐν Λεχαίῳ ἔνθα ἀπέθανον οἱ Ἀθηναῖοι μαχόμενοι.

286,13 τῆς εἰρήνης τῆς ἐπ᾽ Ἀνταλκίδου κληθείσης ἡ ἱστορία δηλοῖ ὅτι τοῦτον ἔπεμψαν Λακεδαιμόνιοι πρὸς τὸν βασιλέα τῶν Περσῶν περὶ εἰρήνης, ὃς τοὺς Ἴωνας αὐτῷ προδέδωκεν.

286,18 οὐδ᾽ ἂν τὸ δαιμόνιον προύλεγεν αὐτῷ περὶ τῶν τοσοῦτον μετ᾽ αὐτὸν εἰσάγει Πλάτων τὸν Σωκράτην παρὰ τοῦ ἰδίου δαίμονος ἅπαντα διδασκόμενον. ὑπερβολικῶς οὖν λέγει ὅτι, κἂν ὁ δαίμων αὐτοῦ εἶπεν αὐτῷ, οὐκ ἂν ᾔδει.

286,19 ἐν γὰρ τῷ συμποσίῳ διάλογος αὐτῷ ἐστι συμπόσιον, ἐν ᾧ πρόβλημα προτίθησιν αὐτοῖς ἐγκώμιον ἔρωτος. ἔτι μειράκιον ὄντα ἐκ τῆς ἡλικίας τίθησι τὴν διαβολήν, μειράκιον εἰπών.

287,2 ἐπειδὴ τῆς λυγγὸς ἐπαύσατο ἐκ τοῦ πολλάκις κινεῖσθαι τὸν στόμαχον. ὡς γὰρ ἀδηφάγον εἰσάγει αὐτὸν τὸν περὶ ἔρωτος.

287,3 διῳκισμένων ἡττηθέντων. ἔθος δὲ εἶχον οἱ νικῶντες κατὰ μέρος διοικίζειν τοὺς ἡττημένους, διὰ τὸ μὴ ἐπαναστῆναι αὐτοὺς αὖ εἰς αὐτούς. ἤδη τῆς εἰρήνης ὁμωμοσμένης τῆς ἐπὶ Ἀνταλκίδου.

287,6 κωμάζοι εἰσῆλθε γὰρ ἐστεφανωμένος.

287,14 ἔμβραχυ Πλάτωνος ἡ λέξις. σημαίνει δὲ τὸ ἀληθές.

287,16 τὸν Αἰγύπτιον δαίμονα τὸν Θεῦδον ἤγουν τὸν Ἑρμῆν. οὕτως γὰρ οἱ Αἰγύπτιοι καλοῦσι τὸν Ἑρμῆν. λέγει δὲ ὅτι ἐπιδημήσας τῇ Αἰγύπτῳ καὶ τοῖς προφήταις αὐτῶν συνεγένετο.

287,17 συγχωρεῖν πυθέσθαι.

287,18 εἰς τὴν ἐπώνυμον πόλιν αὐτοῦ Ἑρμοῦ πόλιν.

288,2 σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ ὅτι τῇ τῶν πεπαιδευμένων συνουσίᾳ καὶ οἱ τύραννοι σοφοὶ γίνονται. οὐδ᾽ εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν εἰς αὐτὸν αἰνίττεται Πλάτωνα.

288,5 πλάσματα καλὸν τὸ πλάσματα· ἐοίκασι γὰρ οἱ διάλογοι δράμασι, διὰ τὸ ἔχειν καὶ αὐτοὺς οἱαδηποτοῦν πρόσωπα, καὶ λόγους περικεῖσθαι, οὓς δοκεῖ τῷ Πλάτωνι. πλέκειν κατασκευάζειν, τεχνᾶσθαι.

288,6 τῆς μεγαλοπρεπείας καταχρηστικῶς ἐπὶ λόγων εἶπε μεγαλοπρέπειαν· ἐπὶ γὰρ χρημάτων μόνον λέγεται κυρίως.

288,8 οὐδέ γε τῶν Πλάτωνος σύγγραμμά ἐστι Πλάτωνος οὐδὲν, οὐδὲ ἔσται ἐπειδὴ τῷ Σωκράτει αὐτὰ περιτίθησιν ὁ Πλάτων.

288,9 τῶν Πλάτωνος διαλόγων.

288,10 ὁ μὲν γράψας ὁ Σωκράτης, ἢ εἰπών. αὐτῷ τῷ Πλάτωνι. τοὔνομα ἐξαρνουμένῳ τὸ Σωκράτους.

288,12 οἷα κἀν τούτοις ἀμέλει τοῖς λόγοις τὸ ἀμέλει παρέλκεται.

288,13 ἡ περὶ γυμναστικῆς καὶ ἰατρικῆς ἔνεστι θέσις θέσιν καλεῖ τὴν λογικὴν σκέψιν. τὴν περὶ πράγματος, ὡς ἔχομεν καὶ τὸ προγύμνασμα ἐν τῇ τέχνῃ.

288,14 τὸ βελτίω γυμναστικὴν ἰατρικῆς εἶναι ἔλεγε γὰρ ὁ Πλάτων ὅτι ἡ μὲν γυμναστικὴ οὐκ ἐᾷ νοσεῖν, ὁ δὲ ἰατρὸς τὸν νοσοῦντα θεραπεύει. καίτοι γε ἤδη ἔγωγέ τινος ἤκουσα λέγοντος τῶν ἰατρῶν ἐπειδὴ ὁ λόγος ἰατρικὸς καὶ οὐ ῥητορικὸς, αὐτῷ τῷ ἰατρῷ περιτίθησι τὴν συνηγορίαν. τῆς γυμναστικῆς.

288,18 ἐκεῖνο τὸ ὑγιαίνειν. χωρὶς τούτου τῆς ἰατρικῆς.

289,7 οὐ φιλοτιμήσεται οὐ φιλονεικήσει. ἐν τῇ τοῦ ἡνιόχου τάξει μενεῖ ἀπὸ τοῦ ἥττονος τὸ παράδειγμα.

289,8 τὸν μέλλοντα αἰωρήσεσθαι κινηθῆναι αἰώρησιν γὰρ καλεῖ τὴν κίνησιν.

289,10 μέσον πόρον πόρον οὐ τὸ πέλαγος, ἀλλὰ τὴν στενὴν καλεῖ θάλασσαν.

289,12 καθάπερ τις αὐτοκράτωρ αὐτεξούσιος.

289,14 καὶ μὴν ὅτι καὶ πολλοὺς ἤδη τὰ τοιαῦτα ὤνησε ἵνα μή τις εἴπῃ. καὶ τί δύναται ὠφελῆσαι ναύτης πρὸς ὑγείαν;

289,19 ἀμηγέπη μετρίως· ἡ λέξις Πλάτωνος.

289,20 ἓν τοῦτ’ ἰσχυρὸν ὑπάρξει λέγειν τῇ ἰατρικῇ. καὶ τὸ τῆς Αἰσώπου κυνὸς ἕξει Ξενοφῶν δὲ ἐν τοῖς ἀποφθέγμασι Σωκράτους τὸν μῦθον εἶπεν ὅτι τὰ

πρόβατα ἐνεκάλουν τῷ ποιμένι, προτιμωμένων τῶν κυνῶν, ὡς ἔρια παρέχοντα καὶ ἐρίφια. ὁ δὲ ἔφη, εἰ μὴ δι᾽ αὐτοὺς, οὐκ εἶχον ὑμᾶς ἀκέραια, δηλῶν αὐτῶν τὸ φυλακτικόν.

290,2 ἀλλ᾽ οὐκ ἀμφισβητήσει γε τῷ ἰατρῷ τῆς ἡγεμονίας ὁ μάγειρος.

290,5 ἀλλ᾽ ὑπὲρ μὲν τούτων—παρείσθω λέγειν συμπέρασμα τῆς προσκειμένης ὑποθέσεως.

290,6 ἀξιοῖ δὲ καὶ τῆς δικαιοσύνης κρεῖττον εἶναι τὴν νομοθετικὴν ὅτι ἀνασκευάζει καὶ ταύτην αὐτοῦ τὴν ἀπόφασιν.

290,10 εἰς ἓν κεφάλαιον κοινὸν γένος.

290,14 ἀνεξέταστον ἄκριτον.

291,3 οὐδὲν οὖν ἄλλο ἢ σοφίζεται ὃ αὐτὸς ποιεῖ Πλάτων περιτίθησι. ὥσπερ παῖδα Σωκράτης τὸν Πῶλον πῶλος καλεῖται ὁ μικρὸς ἵππος· ὡς ἵππον οὖν αὐτὸν ὁ Πλάτων σοφίζεται.

291,6 τὸ δ᾽ αὐτὸ πταίων περὶ ἅπαντα, ὥσπερ οἱ τὸ πρῶτον σφαλέντες ἐν τοῖς διαγράμμασι ὅτι τὸ πταίειν ἐπὶ τοῦ διασφάλλεσθαι εἴρηται.

291,14 καὶ μὴν Τάνταλον ἐσεῖδον, καὶ τόνδε μετεισενόησα τοῦτο εἰσάγει τὸν Σωκράτην λέγοντα. ἐκ νεκυίας νεκρομαντείας. νεκυομαντείας, ὡς Ὅμηρος.

291,15 Ἱππίαν δὲ ὡς τὸ εἴδωλον τοῦ Ἡρακλέους κολάζεται ὁ Ἡρακλῆς διὰ τὸ πολλοὺς πεποιηκέναι φόνους.

291,18 εἰ οὐκ αἰσχύνοιτο σοφιστὴν ἐθέλων παρέχειν ἑαυτὸν εἰς τοὺς Ἕλληνας ὡς αἰσχροῦ ὄντος τοῦ ὀνόματος.

292,4 ἆρα ἄλλο τι ἢ τῷ ὄντι ὥσπερ εἴδωλον ἔλαττον φέρεσθαι τὸ γὰρ εἴδωλον τῆς ἀληθείας ἐστί. ὥσπερ εἴδωλον ἔλαττον τῶν σοφιστῶν.

292,7 ἐκκηρύττειν ἐκ τῆς ἀγαθῆς πόλεως ἐκβάλλειν· καὶ ταῦτα γὰρ ἐκβάλλει τῆς πολιτείας αὐτοῦ, ὡς ἀσυμφόρους ὁ Πλάτων.

292,8 Ὅμηρον δὲ εἰσαλείψαντες ἐκπέμπωμεν ὡς τερπνὸν γὰρ αὐτὸν διαβάλλει.

292,9 γόητα ἀπατεῶνα.

292,12 εἰ πάντας ἐφεξῆς οὑτωσὶ διαγράψομεν ἀντὶ τοῦ ἀναιρήσομεν.

292,13 οὐ πρὸς ἡμέρων ταῦτα καὶ δικαίων οὐκ ὀφείλουσι γὰρ ταῦτα λέγειν ἥμεροι ἄνθρωποι καὶ πρᾷοι, ἀλλ᾽ ἄγριοί τινες καὶ βάρβαροι, παρ᾽ οἷς οὐ πολιτεύονται αἱ παιδεῖαι αὗται.

292,15 κατ᾽ Αἰσχύλον ὡς τοῦ λόγου ὄντος Αἰσχύλου. παρασπιστὴς σύμμαχος.

292,18 τὴν Ἀκαδημίαν τὴν φιλοσοφίαν· ἔνθα καὶ τὴν διατριβὴν εἶχεν ὁ Πλάτων ἐν τῇ Ἀκαδημίᾳ.

292,19 τὴν δ᾽ ἄλλην ἅπασαν τουτέστι τὴν ἄλλην παιδείαν.

293,1 ἀλλ᾽ ἀτιμία τῶν ἄλλων μᾶλλον τῶν γὰρ φαύλων διαφέρειν ἀτιμία πολλή.

293,2 τὸ γὰρ ἡγεῖσθαι, χρηστοῦ τινὸς ἄλλου κριθέντος, μὴ εἶναι τούτῳ πλείονος ἀξίῳ δόξαι, πῶς οὐ τοιοῦτόν ἐστιν τὸ νόημα οὕτως· τὸ νομίζειν, φησὶν, ἄλλου φανέντος καλοῦ, αὐτὸν μὴ δυνηθῆναι δεῖξαι καλλίονα, τοῦτο μᾶλλον ἀτιμία καθέστηκεν, οὐκ ἔπαινος. τούτῳ τῷ νομίζοντι.

293,11 τοὺς ὑπάρξαντας τοὺς ἀρξαμένους τῆς στάσεως.

293,13 πολιτικὰ δίκαια.

293,15 οὐδ᾽ ἂν ὅ γε Ἀπόλλων ἱστάναι χοροὺς προσέταττεν, εἰ πάντη φαῦλον ἦν ὑπερβολῇ κέχρηται, ἢ διὰ τὸ ὑβριστικὸν, ἢ διὰ τὸ εὐχερὲς καὶ ῥᾴδιον τῆς ποιήσεως.

293,18 καὶ ταῦτ᾽ ἐν πολέμῳ τοῦ φόνου συμβάντος ἀντὶ τοῦ δικαίου· ὁ γὰρ ἐν πολέμῳ φόνος δίκαιος.

293,20 οὐ τοίνυν οὐδὲ Ἀρχίλοχος παραβάλλει αὐτὸν τῷ Ἀρχιλόχῳ, καὶ κρείττονα τὸν Ἀρχίλοχον δείκνυσιν.

294,1 Λυκάμβην τὴν πόρνην. κατ᾽ αὐτὸν τὸν Ἀρχίλοχον. οὐ τὸν πάνυ Περικλέα ἐλοιδόρει.

294,3 μηδὲ Τιμοκρέοντος τοῦ σχετλίου πρᾶγμα ποιῶμεν οἱ μὲν ἕνα φασὶν αὐτὸν τῶν λυρικῶν, γεγραφότα ἰάμβους· οἱ δὲ ὅτι οὗτος παρ᾽ Ἀθηναίους κατεγνωσμένος περιῄει, λέγων· οὐκ ἐμὲ μόνον περιήκασιν Ἀθηναῖοι, κακῶς καὶ Περικλέα. οἱ μὲν λυρικὸν ποιητὴν τοῦτον φασὶ, γεγραφότα ἰάμβους, διαβολὰς ἔχοντας ὁ δὲ ὅτι κακὸς ἦν καὶ καταγνωσθεὶς ὑπ᾽ Ἀθηναίων περιῄει, λέγων ὡς οὐκ ἐμὲ μόνον πεποιήκασι κακῶς, ἀλλὰ καὶ Περικλέα.

294,4 καὶ ταῦτα παντὸς μᾶλλον δυνάμενοι ὅσον πλεῖον αὐτὸν ἐπαινεῖ εἰς δεινότητα λόγων, τοσοῦτον αὐτὸν διασύρει.

294,5 οὐ μὲν γὰρ τιμή γε μί᾽ ἔσσεται οὐδ᾽ ἠβαιὸν οὐχ εἷς τρόπος τιμῆς, ἀλλὰ διάφορος, καὶ μείζων καὶ ἥττων.

294,6 τῆς ἐπιβαλλούσης μερίδος ὀφειλούσης. εἰ δ᾽ ἄρ᾽ ἐπαινεῖν μὴ ἔχοιμεν ἢ διὰ τὸ μὴ δύνασθαι, ἢ διὰ τὸ μὴ ἔχειν ἄξιον ἐπαίνου τὸ προκείμενον.

294,8 οὕτω φιλονείκως ἐχθρωδῶς. οὐδὲ πικρῶς ὠμῶς. εἰ δέ τοι καὶ πρὸς τοὺς ἄλλους ῥήτορας, ἀλλ᾽ οὐ πρός γε τοὺς ἀρίστους τῶν Ἑλλήνων δείκνυσιν ὡς οὐ πάντες οἱ ῥήτορες καλοὶ, ὡς καὶ ἐν τῷ ἐγκωμίῳ εἶπε Μιλτιάδου
«Ὑπέρβολον καὶ Κλεοφῶντα, εἴδωλον
ἔχοντας ῥητορικῆς.»

294,10 ἀλλὰ καὶ παρὰ τῶν ὕστερον ὡς εἰπεῖν ἁπάντων ἀπὸ κοινοῦ τὸ μέγιστα ὀφείλονται.

294,14 ὅτῳ πολὺ τῆς κωμῳδίας φαίη τις ἂν περίεστι πατὴρ τῆς κωμῳδίας. καὶ τὴν μέν γε τραγῳδίαν λοιδορεῖς ὅτι τυραννικὰ διαβάλλει πρόσωπα.

295,1 ἀλλὰ μιμῇ σοφιστὰς πάνυ γὰρ ἐν τοῖς διαλόγοις ἐμιμεῖτο τὰ πρόσωπα, καὶ λόγους αὐτοῖς οἰκείους προσετίθει.

295,2 θυρωροὺς, παιδία ἀντὶ τοῦ εἰπεῖν θρασεῖς, θυρωροὺς καὶ παιδία εἶπε· τά τε γὰρ παιδία θράσους πλέα· τούς τε θρασεῖς πρὸς ταῖς θύραις ἵστωμεν, ὡς ἀσφαλεῖς φύλακας. ἢ τὸ παιδία λέγει, διὰ τὸ εὐμετάβολον· τοιαύτη γὰρ ἡ τῶν παίδων φύσις.

295,3 ἀλλ᾽ οἶμαι ἡ προσθήκη μετὰ σκώμματος. τοῦτον δὲ εἰσάγει Πλάτων καὶ ἀναίσχυντον καὶ ἀδικίας συνήγορον.

295,6 περὶ τούτου τοῦ ὀνόματος, τί δεῖ αὐτὴν καλεῖ. Ἑλληνίδα πεπαιδευμένην.

295,9 νόμῳ πόλεως πράττοντας ὀρθῶς ἂν πράττειν ἀντὶ τοῦ τοῖς ἔθεσι τοῖς πατρῴοις ἀκολουθεῖν.

295,10 ὀρθῶς ἂν πράττειν χρή. τὰ περὶ ταῦτα νόμιμα τὰ περὶ τοὺς λόγους.

295,11 πολλάκις αὐτοῖς χρώμενοι τῇ τραγῳδίᾳ.

295,12 τὸν διθύραμβον ὁ διθύραμβος εἶδος ποιήσεως· δακτυλικὸν δέ ἐστι τὸ μέτρον.

295,15 εἰς τοὺς πεζοὺς πεζὸν λόγον· τουτέστιν ἄνευ μέτρου.

295,18 ἢ κομιδῆ πάντ᾽ ἄνω καὶ κάτω γίγνοιτ᾽ ἂν ἐναντία καὶ σύγχυσις.

296,2 ἀνδρειότερον ἀνδρείως παιδεύοντα. ἐκεῖνον τὸν Πλάτωνα. ὑποπίπτειν ὑποκεῖσθαι.

296,7 καὶ ταῦτ᾽ ἀεὶ τὸν Ἀπόλλω καὶ τὰς Μούσας καλῶν ἵνα τὴν ὀρθὴν αὐτῷ μουσικὴν ἐμβάλωσιν.

296,8 πότερ᾽ οὖν σε φῶμεν ἔλαττον τοῦ δέοντος λέγειν, ἢ πλεῖον πότερον λέγει αὐτοὺς ὡς ἔλαττον χρωμένους, ἢ δεῖ, τῇ κολακείᾳ, ἢ ὡς πλέον, ἢ δεῖ· πῇ μὲν γὰρ ἀφαιρῶν τοσοῦτον, ὅσον ἔδει προσθεῖναι τῇ κολακείᾳ, ὡς ἔλαττον ἢ δεῖ λέγοντας αὐτοὺς καὶ κολακεύοντας σκώπτεις. πάλιν δὲ λέγεις κολακεύειν, καὶ τοῦτο ἐπιφέρων αὐτοῖς καὶ μεμφόμενος, τὸ πλέον αὐτοὺς κολακεύειν ἢ δεῖ προστιθείς· ὡς ἐνόν τις ἑαυτῷ λέγειν· ὅτι γὰρ κολακείαν ἐπιφέρων τινὶ, οὐδὲν ἄλλο ἢ πλέον τοῦ δέοντος αὐτὸν ἐπαινεῖν λέγειν καταψευδόμενον τῶν ἀληθῶν.

296,12 αὐτὸς δὲ σὺ πρὸς Διὸς ἐνταῦθα σημαίνει, καὶ τὸν αὐτοῦ Πλάτωνος λόγον πρὸς ἡδονὴν ἔχοντα.

296,13 οὐ συνέθηκας οὐ μετεχειρίσω.

296,14 οὐκ ἀνέπαυσας οὐ μεταξὺ τὸ ἐγχείρημα ἔκοψας· ἀμέλει καὶ ἀνακρεμάσαι λέγομεν τὸν ἀκροατὴν, ὅταν ἐν μέσῳ τοῦ λόγου παρεμβολῇ χρησώμεθα. οὐκ ἐπεισήγαγες ἐπεισόδιον, ὥστε ἡδῦναι τὴν ἀκοήν. τὴν ἀπὸ Σκυθῶν διάλεξιν.

296,15 πρὸς αὐτοὺς τοὺς διθυραμβοποιοὺς ὡς καὶ αὐτοὺς ἡδεῖς ὄντας.

296,16 ὅμοιον τῷ Νέστορι φθεγγόμενος τὸ Ὁμηρικόν· μέλιτος γλυκίων ῥέεν αὐδή.

296,18 εἶξαί σοι τοῦτο ἐν ἑτέροις ἀντιγράφοις. τῶν ἄλλων—κατηγορεῖς σύ.

296,19 ὅς γε καὶ ἐν αὐτοῖς τούτοις τοῖς λόγοις— τῷ παντὶ λόγῳ καὶ τραχεῖ αὐτὸς γὰρ σκώπτων τοὺς ἄλλους, ὡς πρὸς ἡδονὴν λέγοντας, ἐν ταὐτῷ τῷ λοιδορεῖσθαι καὶ σκώπτειν ὄντι λίαν τραχεῖ χαρίεις καὶ ἡδὺς ὑπὲρ τοὺς ἄλλους δείκνυται. ἀντὶ τοῦ κακῶς λέγειν προαιρούμενος ὅμως ἡδονὴν τῷ λόγῳ τετήρηκεν.

296,20 ταῦτα τὰ ἔθνη τὰ τῶν ῥητόρων. τὰ συστήματα τὰ μουσικά.

297,1 εἰ μὴ πικρὸν εἰπεῖν τοῦτο τὸ προπηλακίζειν,

297,3 τὴν φιλαπεχθημοσύνην τὴν περὶ τοὺς λόγους τὸ συγκριτικὸν καὶ τὸ ἐλεγκτικόν· τοιαύτη γὰρ ἦν ἡ φιλοσοφία Σωκράτους.

297,5 πρὸς τὸν ἀγῶνα, ὃν ἔφυγε τὸν θάνατον. περὶ τῆς ἀσεβείας. τὸ καινὰ δαιμόνια εἰσφέρειν. ὃν ἔφυγε ἐκατηγορήθη.

297,7,8 βλαβῆναί γ’ αἴτιος ἐγένετο τῶν δικαστῶν τοῖς καταψηφισαμένοις, εἴπερ γε μὴ τὰ δίκαια ἔγνωσαν ὡς ἀδίκως αὐτὸν καταψηφισαμένοις. τοῖς γὰρ δικασταῖς ἐπετίμα, ὡς οὐκ εἰδόσι τὸ δίκαιον.

297,14 παραίνεσιν ῥῆμα αὐτοῦ καλεῖ τὴν παραίνεσιν.

297,17 τοὺς οὐκ ὄντας ἀγῶνας κινδύνους.

297,18 κατέθει κατέτρεχε. εἰπόμην ἐπειθόμην.

297,19 εἰδὼς μὲν οὖν ὅτι οὐδὲν τούτων ἔλεγχός ἐστι ῥητορικῆς ἐπειδὴ ἀντέπιπτεν αὐτῷ, καὶ διὰ τί τῆς ῥητορικῆς ὑβριζομένης ἡσυχάζεις, εἶπεν

ὅτι ᾔδειν μὴ ἐλεγχομένην αὐτὴν ἐκεῖθεν.

298,1 οἷον λέοντος σκιρτῶντος ἀξίως τοῦ Πλάτωνος ἡ παραβολὴ, ὡς ἐπιπηδῶντος αὐτοῦ.

298,2 μόνον οὐκ ἐθεώμην τὸν ἄνδρα ἐν τοῖς λόγοις ὡς ἐν κατόπτρῳ.

298,3 καὶ ὁ Μέλης οὐκ ἀηδής μοι Μέλητα διαβάλλει ὡς κιθαρῳδὸν καὶ τοῦ ἡδέος γινόμενον· οὗ ἐμνήσθη καὶ ἐν τῷ Θεμιστοκλεῖ

298,6 ἔκρουε τὴν αὐτὴν ἁρμονίαν ὡς ἐπὶ λύρας.

298,7 οὐδοτιοῦν ὑπεστέλλετο ἐκρύπτετο.

298,8 ἐνταῦθ’ ἤδη τι προσίστατό μοι ἠναντιοῦτο.

298,10 τὸ πρᾶγμα ἀφεὶς πρᾶγμα τὴν ὑπόθεσιν λέγει.

298,12 οὐδ’ αὐτοὺς τοὺς λόγους ἐν οἷς ἔζων συνέγραψαν λέγεται γὰρ εἶναι κατάραν μὴ συγγράφειν ἑαυτῶν τὰ δόγματα, διὰ τὸ εἶναι παράδοξα. ἐφ’ αὑτῶν ἐφιλοσόφουν ἀντὶ τοῦ μὴ συγγράφοντες, ἀλλ’ αὐτῇ συνουσίᾳ τὴν διδασκαλίαν ὁριζόμενοι.

298,16 ἀπειρηκότος γὰρ ἤδη τοῦ Καλλικλέους καὶ ἐν τῷ προοιμίῳ εἶπεν, ὅτι ἀπειρήκει

298,18 περὶ αὐτῶν ὑπολαβὼν ἀπολογηθείς. ὑποκρινόμενος καὶ ὀνομάσας.

298,19 τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ ὁ Σωκράτης πάντα ἐμφαίνει πλάσματα.

299,1 εἰ δ’ οὖν καὶ τῷ ὄντι ἐκεῖθεν ἀφῖκτο ὁ λόγος ἀπὸ τοῦ Καλλικλέους, καὶ οὐ παρὰ τοῦ Πλάτωνος.

299,9 περὶ ὧν διειλέγμεθα τῶν ἄλλων ῥητόρων.

299,11 παρὰ τούτοις κριταῖς τοῖς τέσσαρσι.

299,13 ἐξωτέρω ἔξω τοῦ προκειμένου.

299,14 πρὶν ἐλθεῖν ἐπὶ τοὺς ἄνδρας κατὰ τῶν ἀνδρῶν.

299,17 ἀλλὰ καὶ σφόδρα ἐκείνῳ τῷ λόγῳ συνέβαινεν τῷ διπλῆν εἶναι τὴν ῥητορικήν.

300,4 κἀκεῖνον τὸν Ἀριστείδην.

300,13 οὕτως ἐξεχεῖτ᾽ ἂν ἅπασα ἡ περιβολὴ ἀπώλετο ἡ δύναμις τῶν λόγων.

300,16 πρός γε τὸ συγκεῖσθαι τὸν λόγον πρὸς τὸ ἀπόλλυσθαι τὸν σκοπὸν αὐτοῦ.

300,17 οὐκ ἂν εἶχεν οὔτ᾽ ἐκεῖνον δήπου, οὔτε τούτους εἰπεῖν κακῶς πῶς γὰρ εἶχε χώραν ἔτι τοὺς ῥήτορας διαβάλλειν, ἐπαινέσας τὸν πρῶτον τοῦτον.

300,18 ἀλλ᾽ οἶμαι τοιοῦτόν ἐστιν, ᾧ καὶ μάλιστα τὴν κακουργίαν αἰνίττεται τοῦ ἀνδρὸς, καὶ τοῦ λόγου τὴν μέθοδον.

301,6 ὡς ἐξὸν ἤδη οὐδὲ βλαπτομένου τοῦ λόγου. μάλ᾽ ἀρχαίως καὶ ἀφελῶς εἰρωνεία τὸ σχῆμα.

301,10 ταῦτ᾽ εἰπὼν καὶ προσεπισφραγισάμενος— ἐπέθηκεν ἐπαινῶν ὅρα κακουργίαν, ὅτι οὐκ εὐθέως τῇ κατηγορίᾳ τῶν ἀνδρῶν συνῆψε τὸν ἔπαινον Ἀριστείδου· τὸ γὰρ ἐναντίον ποιῶν ἠλέγχετο.

301,11 τοσοῦτον πλέον ἐστὶ τὸν Σωκράτην, ἀλλὰ μὴ τὸν Καλλικλέα τὸν εἰρηκότ᾽ εἶναι περὶ αὐτοῦ διὰ τὸ μὴ δοκεῖν αὐτὸν φιλονείκως ἔχειν.

301,19 ἐκεῖνος τοίνυν ὁ Καλλικλῆς. οὐ μόνον συνεχώρει τῷ λόγῳ οἱ γὰρ διαλεκτικοὶ ταύτην λέγουσι νίκην, ὅταν αὐτοὶ πρὸς οὓς διαλέγονται συνθῶνται τὴν νίκην.

302,2 ἔστι δ᾽ οὐ ταυτὸν, ὦ τᾶν, Ἰφικλῆς τε καὶ Ἡρακλῆς ἢ ὅτι οὐκ ἦν ἴσος τῷ Ἡρακλεῖ, ἢ διὰ τὸ ὁμοιοκατάληκτον.

302,5 τίς ὁ καιρὸς ποία ὠφέλεια.

302,7 ἦ που πολλῷ πλέον. ἀωρία ἀκαιρία. ὁπότε γὰρ καὶ τοὺς οἰκείους τοὺς ἐκείνων ἀπὸ τοῦ ἥττονος. λέγει δὲ τοὺς παῖδας.

302,9 ὡς ἥμερος δίκαιος. μὴ λέγειν κακῶς τὸν τελευτήσαντα, μηδ᾽ ἂν αὐτὸς ἀκούσῃ ὑπὸ τῶν αὐτοῦ παίδων ἐν τῷ πρὸς Λεπτίνην.

302,12 πολὺ τοῦ νόμου τούτου κεχωρίσθαι εἴποι τις ἂν δηλονότι.

302,13 τῶν μὲν ἐν Σικελίᾳ τετελευτηκότων τῶν προγόνων τοῦ Δίωνος.

302,16 εἰ μὲν εἰκόνας αὐτῶν τοῦ δήμου στήσαντος ἀπὸ τοῦ ἥττονος. ἐκίνει καθῄρει.

302,19 τὰς ἀληθεῖς εἰκόνας αὐτῶν τῆς διανοίας τὰ κατορθώματα.

302,20 τοῖς μηδὲν προσήκουσιν τοῖς μαγείροις.

303,3 εἰς σύγγραμμα δ᾽ οὕτω σπουδαῖον τοιαῦτ᾽ ὀνείδη κατακλείσας ὡς ἐπὶ πολιορκίας εἶπεν, ὅτι οὐ δύναται τὴν λοιδορίαν ἀποφυγεῖν.

303,5 μή τῳ ἄρα. αὐτοῦ τοῦ Πλάτωνος. τῆς αὐτοῦ μουσικῆς γνώσεως· ἐπιστήμης. παιδεύσεως καὶ φιλοσοφίας καὶ ἐμμελείας.

303,6 Ἀρίθμιον τοῦ Ἀριθμίου Δημοσθένης μέμνηται ἐν τοῖς Φιλιππικοῖς.

303,10 ἔστιξας στιγματίαν ἐποίησας.

303,16 ταῦτ᾽ εἰδὼς, ὅτι ἅπας μὲν λόγος, ἐπειδὰν ἅπαξ γραφῇ κυλινδεῖται ἐνταῦθα τὸ προειρημένον δείκνυσιν, ὅτι πανταχοῦ γῆς ἐκφέρεται ἡ κατηγορία.

303,17 μεταχειρίζεται δ᾽ αὐτὸν ὁ βουλόμενος— δέος ἐστὶ διαφθαρῆναι τὸ πεπαιδευμένον δηλοῖ, καὶ τὸ ἀνόητον καὶ ἀπαίδευτον, ὡς ὅτι μὴ δυνάμενοι διακρῖναι τοὺς ἄνδρας διαβάλλειν νομίζουσι.

303,19 ἐπὶ πᾶσι δικαίοις κέχρηται τῇ ἀληθείᾳ.

303,20 ἀλλ᾽ οὖν, ἀνάγκη γ᾽ ἀπ᾽ αὐτῶν θρασυτέρους γίγνεσθαι ταύτην λέγει τὴν βλάβην καὶ διαφθοράν.

304,1 οἵστισι δεῖ συγκεχωρῆσθαι ὥστε τιμᾶν αὐτούς. οὓς δεῖ τιμᾶν.

304,2 εὖ γὰρ ὁ τῶν Λακεδαιμονίων ἔχει νόμος καὶ λυσιτελῶς ὥσπερ αἰτιᾶται αὐτὸν, διὰ τί φιλῶν τοὺς Λάκωνας οὐ μιμεῖται τούτων τὸν τρόπον. ἀμαθῶς ἀνεξετάστως.

304,3 οὐχ ὡς πάντως δήπου βελτίους καὶ δικαιοτέρους ὄντας ἅπαντας ἀντὶ βελτιόνων καὶ δικαιοτέρων. δέον δοτικὴν ἐπαγαγεῖν πρὸς τὴν ὄπισθεν σύνταξιν, ὁ δὲ τὴν μὲν προτέραν δοτικὴν εἴασεν, ἐχρήσατο δὲ αἰτιατικῇ, καὶ ἔστιν αὕτη σύνταξις, ἣν ἄλλοι τε πολλοὶ καὶ αὐτὸς πολλαχῆ τῶν αὐτοῦ λόγων ποιεῖ· λέγει γὰρ ἐν τῷ Παναθηναϊκῷ, ὡς ἐνταῦθα· εἴπερ που τὴν δικαίαν φιλανθρωπίαν οὖσαν.

304,4 τῆς μελέτης ἕνεκα τῆς συνηθείας.

304,5 εὐχέρεια προπέτεια. ἐνδύηται ἐπεισέρχεται.

304,7 καὶ ταῦθ' ὑπὸ τῶν σοφωτάτων εἶναι δοκούντων εἰς αὐτὸν αἰνίττεται Πλάτωνα· ἡ γὰρ δόξα τοῦ προσώπου πλέον βλάπτει, καὶ εἰς πίστιν ἐφέλκεται τὸν ἀκροατήν.

304,8 ὥστ' οὐδὲν ὠφελοῦνται τοσοῦτον, ὅσον βλάπτονται τοῦτο ὡς πρὸς τὴν ἀντίθεσιν Πλάτωνος, ὅτι νουθεσίας χάριν γέγραπται, οἷον διάλογος καὶ ἡ τούτων μνήμη.

304,9 οὐδ' ὡς τοῖς ὅλοις ἁμαρτάνοντα ὅτι ποιεῖ τῶν ἡδονῶν ἡττώμενον.

304,12 ὅτι μὴ κἂν εἰς τὸν θρόνον ἐγκαθίζοιμεν τὴν τοῦ θρόνου τιμὴν ἔχει, βασιλείας σύμβολον. οὐδὲ γὰρ τούτους ὡς ἐξαλείψομεν, φήσομεν οὐκ ἐτόλμησεν εἰπεῖν ὅτι ἐξαλείφομεν ἄντικρυς.

304,14_16 ἡ τῶν λαμπρῶν καὶ μεγάλων— ἀποθήκην ἔχει ταῖς πόλεσι θησαυρὸν καὶ ἔπαινον· ἡ γὰρ πόλις ἡ καλοὺς ἔχουσα ῥήτορας ἀεὶ τιμᾶται.

305,1 ὅ τι περ ἀντὶ τοῦ ὅπερ.

305,4 εἰ ταύτην ἔχοιεν κατ' ἐκείνων ἐπανάληψις.

305,5 ὑπερβολὴ κακίας.

305,7 ὡς ἐκ τοῦ λόγου ὅσον ἦκεν εἰς τὸν λόγον. εἰ Λακεδαιμόνιοι μὲν ᾐσχύνθησαν—τῆς ἐκείνων πολιτείας, μνησθέντες ὅτι νικήσαντες Λάκωνες διὰ τὴν Θεμιστοκλέους μνήμην ᾐδέσθησαν αὐτοὺς κατασκάψαι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ.

305,9 καὶ μὴν εἰ μηδὲ τείχη πάλιν δείκνυσι τὸ ἀχρήσιμον τῆς φιλοσοφίας.

305,13 πρὸς τῶν ἱερῶν ἀντὶ τοῦ ἕνεκα τῶν ἱερῶν. πρὸς τῶν τάφων ἐτίμων γὰρ αὐτοὺς οἱ παλαιοί.

305,14_16 τὴν δὲ τῶν ἐπιτηδειοτάτων παραιτήσασθαι δόξαν—πράττειν δοκεῖς ὥσπερ παρεμβέβληται τὸ παραιτήσασθαι· οὐ γὰρ ἁρμόζει τῇ πολιτικῇ. δεῖ οὖν συντάττειν, ὅτι τὴν δὲ τῶν ἐπιτηδειοτάτων δόξαν καθαιρῶν, τοῦτο ἐκεῖνο πράττειν δοκεῖς, ὃ σπουδάζεις πράττειν, τὸ προσῆκον καὶ ἁρμόζον τῇ πολιτικῇ. ἁρμόζει δὲ τῇ πολιτικῇ τὸ διαβάλλεσθαι τὴν ῥητορικήν. ἐπιτηδειοτάτους δὲ λέγει τοὺς τέσσαρας ῥήτορας, ὅ ἐστι φίλους. φίλους δὲ αὐτοὺς εἶπε τῷ Πλάτωνι, ὅτι εἶπε τὴν δὲ τῶν ἐπιτηδειοτάτων.

305,17 τὸ ταῖς γνώμαις συγκεκρᾶσθαι τῇ πόλει συνεζεῦχθαι αὐτῇ καὶ εὔνοιαν ἔχειν. ἐδήλωσε δὲ προϊὼν, τὸ συγκεκρᾶσθαι τί βούλεται.

305,20 τήν γ’ ὑπάρχουσαν μὴ διαφθείρειν μηδὲ ἀναιρεῖν τὴν προϋπάρχουσαν εὔνοιαν. λέγει δὲ διὰ τὸ ἀναιρεῖν τὴν δόξαν αὐτῶν.

306,1 οὐ γάρ πω καὶ τοῦτο διακονία τις πρόσεστιν ἀγεννὴς, οὐδ’ ἀνελεύθερος τὸ προξενεῖν εὔνοιαν τῇ πατρίδι. θαυμάζω δὲ Πλάτωνος, εἰ χοὰς μὲν ἀπὸ τοῦ ἥττονος.

306,6 μηδ’ εἰς τοὺς ἐκγόνους τὰ ἔσχατα πάντων ἀτυχήσαντας μηδὲ τῶν παίδων αὐτῶν ὑβρισθέντων, ὡς ἐκγόνων.

306,11 καὶ μέντοι καὶ κεκοσμηκὼς ἐν τῷ ἐπιταφίῳ ἐπῄνεσεν αὐτούς· τοῦτο γὰρ αἰνίττεται.

306,15 πῶς ἂν μᾶλλον ἀποστεροίημεν τὸν μισθὸν αὐτοὺς τὸ μετὰ θάνατον αὐτοὺς τιμᾶσθαι.

306,17 προτρέπειν προτρέπειν, τὸ ἄκοντά τινα παροτρύνειν, ἐπιτρέπειν δὲ, τὸ ἑκόντα.

306,19 οὐκ ἔμελλες ὀφλήσειν ἀλογίου ὄνομα δίκης· ὡς καὶ Αἰσχίνης· ἀλογίους γραφάς. ἀλογίου ὄνομα δίκης· ὡς Αἰσχίνης ἐν τῷ Κτησιφῶντος λέγει, ἀλογίους γραφὰς εἶναι κατὰ τῶν ἀρξάντων, καὶ μὴ δόντων λόγον ὑπὲρ

τῆς γραφῆς. ἀλλὰ γὰρ οὐχ, ὅτι Πλάτων ἐντεῦθεν εἰσβάλλει εἰς τὸν κατὰ τῶν φιλοσόφων κοινὸν τόπον.

307,2 ἀλλ᾽ ὅτι καὶ τῶν κομιδῆ τινες οὐδενὸς ἀξίων ἐντεῦθεν ἡ καταδρομή. ἄρχεται τῆς κατὰ τῶν φιλοσόφων πέραν τοῦ μετρίου καταδρομῆς.

307,6 οἳ πλείω μὲν σολοικίζουσιν ἢ φθέγγονται εἰς ἀπαιδευσίαν πρῶτον αὐτοὺς διαβάλλει.

307,8 βροτῶν εἴδωλα καμόντων παρελθόντων. διὰ τὸ ὠχρὸν, καὶ ἀσθενὲς, καὶ ἀνωφελές.

307,9 Ἡσιόδου κηφῆνες ἀργοὶ, ἄπρακτοι, ἄκαρποι, καὶ τὸν τῶν μελισσῶν καρπὸν ἐσθίοντες. Ἀρχιλόχου πίθηκοι ἐπειδὴ μιμητικὸν τὸ ζῶον. μιμοῦνται γὰρ καὶ οὗτοι φιλοσόφους, οὐκ ὄντες φιλόσοφοι. δύο μορφὰς ἔχοντες, ἀντὶ τριῶν, τῆς τραγικῆς βοὸς πανοῦργοι καὶ ποικίλοι. ἡ δὲ ἱστορία αὕτη· πολυειδὲς πεποίηται δρᾶμα Εὐριπίδης, ἐν ᾧ βοῦν τρίχρονον ποιεῖ εὑρῆσθαι, περὶ οὗ γέγονεν αὐτοῖς φιλονεικία βασιλείας. δύο δὲ μορφὰς εἶπεν ἀντὶ τριῶν, ὡς ἐξισαζουσῶν τῶν δύο ταῖς τρισί. τὸ δὲ διάφορον τῆς μορφῆς δηλοῖ τὸ ποικίλον τῆς γνώμης αὐτῶν. ὅτι οὐ τοιοῦτοι εἰσὶν, οἷοι φαίνονται δύο μορφὰς ἔχοντες ἀντὶ τριῶν δύο μορφὰς εἶπεν ἀντὶ τριῶν, ὡς ἐξισαζουσῶν τῶν δύο ταῖς τρισὶ διὰ τὸ ποικίλον τῆς γνώσεως. δύο μορφὰς ἔχοντες, ἀντὶ τριῶν, τῆς τραγικῆς βοὸς δρᾶμα πολυειδὲς πεποίηκεν Εὐριπίδης, ἐν ᾧ βοῦν τρίχρονον ποιεῖ εὑρῆσθαι, περὶ οὗ γέγονεν αὐτοῖς φιλονεικία βασιλείας.

307,10 τῶν ἱματίων τῶν ἠπημένων ῥαπτομένων. τῶν ἐκ πολλῶν συνερραμμένων· καὶ γὰρ καὶ οὗτοι πολλαῖς δολιότησι καὶ ποικίλαις συνύφανται.

307,11 αὐτοῖς καὶ ἡμέρα καὶ νὺξ ταυτόν ἐστι δυνηθεῖσιν τοὺς μεθημερινοὺς γάμους.

307,13 φθονοῦντες, ὅτι αὐτοὶ ταὐτὰ πράττειν οὐ δύνανται οὐ δύνανται ῥητορεύειν.

307,14 εἰ δέ τις αὐτῶν περὶ τῆς ἐγκρατείας τὸ φιλήδονον δηλοῖ.

307,15 ἔνθρυπτα εἶδος πλακοῦντος. ἐκβάλλουσι τὴν γλῶτταν, ὥσπερ ὁ Μενέλεως τὸ ξίφος ὁ Μενέλαος βουληθεὶς μετὰ τὴν ἅλωσιν σφάξαι τὴν Ἑλένην, ἰδὼν αὐτὴν ἔρριψε τὸ ξίφος. μετὰ τὴν τῆς Τροίας ἅλωσιν ξίφος λαβὼν ὁ Μενέλεως, ὥστε σφάξαι τὴν Ἑλένην, ἐπεὶ προύτεινεν αὐτὴν τὸν μαστὸν, ἰδὼν ἐθηλύνθη, καὶ ὅλος ἐκείνης γέγονεν.

307,17 τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς σατύρους τοῦ Σοφοκλέους δεύτερον εἰς ἀφροδίτην οὗτοι διαβάλλονται. οὗτοι ἀφροδισίοις τῷ ὄντι χαίρειν ἐλέγοντο, δαίμονες ὄντες Διονυσιακοί. τήν γ᾽ ἀπιστίαν οὕτως δοκιμάζονται οἱ πιστοί. τὸν Πλάτωνα αἰνίττεται διὰ τὴν Σικελίαν.

308,2 οὐ τῷ μὲν ἀποστερεῖν κοινωνεῖν ὄνομα τέθεινται κατὰ τὸ τὰ τῶν φίλων κοινά.

308,4 τοὺς μὲν ἄλλους οὐδ᾽ ἁπαντῶντας ὁρῶσι τὴν ἀλαζονείαν ἐμφαίνει.

308,5 ὥσπερ οἱ Φρύγες εὐτελίζει τοῖς Φρυξὶ παραβάλλων αὐτούς. ὡς κόλακας διαβάλλει.

308,7 τοὺς δὲ τῶν πλουσίων ὀψοποιοὺς σημείωσαι περὶ τῶν τὰς κακίας ἐπαινούντων.

308,12 πάντα ἀποκναίουσιν ἀηδίᾳ ἀποπνίγουσιν ἀλαζονείᾳ.

308,13 οὗτοι γάρ εἰσιν οἱ τὴν μὲν ἀναισχυντίαν τῇ ἀρετῇ ἔπεται ἡ κακία· τὸ τῆς κακίας οὖν λέγει. σημείωσαι· τῇ ἀρετῇ ἡ κακία παρέπεται· τὸ τῆς κακίας οὖν λέγει.

308,15 εἰς τοῦθ᾽ ἥκουσι τῆς σοφίας, ὥστ᾽ ἀργύριον μὲν φιλοσοφίας γὰρ ἴδιον τὸ καταφρονεῖν χρημάτων.

308,16 ἁδρότερον λιπαρώτερον.

308,17 Γοργόνα Περσεὺς ἐχειρώσατο δύο εἰσὶ γραφαὶ, Γοργόνα Περσεὺς ἐχειρώσω, ἢ Γοργόνα Περσεὺς ἐχειρώσατο. ἐμφαίνει δὲ τὴν ἁρπαγήν. παραβάλλει οὖν αὐτοὺς τῷ Πέρσῃ, δεικνὺς ὅτι, ἐὰν μόνον ἁδρὸν ᾖ τὸ σακκίον, οὐδὲ Γοργόνα δεδοίκασιν. βούλεται διὰ τούτου τὸ ἁρπακτικὸν τῶν φιλοσόφων ἐνδείξασθαι, οἳ, πρὸ τοῦ λαβεῖν δίκην Γοργόνος φοβεροὶ

καὶ ἀπρόσιτοι ὄντες, μαλακίζονται αὐτίκα τῇ δόσει, καὶ τοῦ φρονήματος ἐνδιδόασιν. πάνσοφος πανοῦργος.

308,18 τὰ γὰρ παιδία τῇ ἀνάγκῃ τῶν παίδων.

309,6 τοῖς ἐν τῇ Παλαιστίνῃ δυσσεβέσι ἔοικεν οὗτος ὁ μεμηνὼς καὶ φλήναφος δυσσεβεῖς λέγειν ἐνταῦθα τοὺς Χριστιανούς· ἐπὶ γὰρ Κωμώδου ἦν βασιλέως, ὃς μετὰ τὸ κήρυγμα ἦν τοῦ Χριστοῦ. τοῖς Ἰουδαίοις. ἐν τῇ Παλαιστίνῃ Ἱερουσαλήμ.

309,7 καὶ γὰρ ἐκείνοις τοῦτ' ἔστι σύμβολον τῆς δυσσεβείας, ὅτι τοὺς κρείττους οὐ νομίζουσι ἐοίκασι γὰρ μὴ ὁμολογεῖν πολλοὺς θεοὺς, ἀλλὰ δυνάμεις.

309,10 ταῖς δ' ἐμπίσι ἐμπὶς ζωῦφιόν τι παραπλήσιον κώνωπι, γινόμενον παρὰ τοῖς ὕδασι, μεῖζον δὲ τῇ περιοχῇ, καὶ κατὰ τὸ μέσον λευκῷ περιεζωσμένον. εἶδος κωνώπων.

309,12 διορύξαι δ' οἰκίαν καὶ ταράξαι—πάντων δεινότατοι μοιχείαν δηλοῖ αὐτῶν.

309,13 οἱ λόγον μὲν ἔγκαρπον οὐδένα ῥητόρων λέγει πλεονεκτήματα.

309,16 εἰς τοὺς χηραμοὺς χηραμοὶ, οἱ φωλεοὶ, ἢ αἱ καταδύσεις τῶν θηρίων καὶ τῶν ὄφεων· οἷον χωραμοὶ εἰς οὓς χωρεῖ τι.

309,17 τὸν ἀνθέρικον θερίζοντες τὸ ἄκρον τῶν ἀσταχύων. παροιμία ἐπὶ τῶν ἀδυνάτων. παροιμίαι εἰσὶν αὗται ἐπὶ τῶν ἀδυνάτων λεγόμεναι· οὔτε γὰρ οἷόν τε σχοινίον ἐκ ψάμμου πλέξαι, οὔτε τὸν ἀνθέρικον, ὅ ἐστι τὸ τῶν ἀσταχύων ἀκρότατον θερίσαι.

309,18 τὸ ἐκ τῆς ψάμμου σχοινίον πλέκοντες οὐκ εἶπεν ὑφαίνοντες.

310,1 ὥσπερ οὖν καὶ τοὺς δούλους ἀκούομεν.

310,2 τοὺς μαστιγίας αὐτῶν τοὺς κακίστους· οὗτοι γὰρ καὶ τοὺς δεσπότας ὑβρίζουσι. ἤδη δέ τις καὶ Σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατο τῷ Ἡρακλεῖ Σάτυρος, ὄνομα δούλου. Σάτυρον λέγει δοῦλόν τινα οὕτω καλούμενον· διὸ καὶ ἐπὶ σκηνῆς εἶπεν· οὐ γὰρ λέγει τὸν τοῦ Διονυσίου δαίμονα. ἔν τινι δράματι ὑπεκρίθη τις Σάτυρος καταρώμενος τῷ

Ἡρακλεῖ· ὡς δὲ εἶδεν αὐτὸν προσιόντα, ὑπέκυψεν. ἦν δὲ τῷ ὄντι οὗτος Ἡρακλεῖ ἐκεῖσε κατὰ τύχην ἱστάμενος. πάσχουσι δὲ τοῦτο καὶ οἱ φιλόσοφοι· ὑβρίζοντες γὰρ τοὺς ῥήτορας πάλιν καὶ φρίττουσιν αὐτούς.

310,3 εἶτά γ' ἔκυψε προσιόντος κάτω δείκνυσι τὸν φόβον τῶν φιλοσόφων, τὸν πρὸς τοὺς ῥήτορας. εἰκότως δέ μοι δοκοῦσι κακῶς καὶ ὡς ἀπαιδεύτους, καὶ ὡς πανούργους.

310,8 ἢ τῇ μεταθέσει τῶν ὀνομάτων τὰ τοιαῦτα κρίνομεν βούλει, ὦ Πλάτων, δηλονότι.

310,9 ὁ Φρυνώνδας ἐκεῖνος λῃστὴς ἦν. Φρυνώνδας καὶ Εὐρύβατος ἐπὶ ληστείᾳ διεβάλλοντο. ὁ Φρυνώνδας καὶ ὁ Εὐρύβατος ἐπὶ πονηρίᾳ μεγίστῃ διεβάλλοντο.

310,12 Ὑάκινθον, ἢ Νάρκισσον πάνυ ἀγαθοί τινες ἦσαν ἀμφότεροι. ὁ Λυκάων δειλός. ὁ Κόροιβος μωρός.

310,13 Βάττος ἄφωνος.

310,16 οὐκ ἤρκησε τῷ Βοσκυπταίχμῳ μεταθέσθαι τοὔνομα ἀπὸ τοῦ ὀνόματος ἔδειξε τὸ ἀτελές.

311,1 κερδαλῆ ἀλώπηξ. ἀρχὴν δὲ οὐδ' εἰδέναι μοι δοκοῦσιν οὐδ' αὐτὸ τοὔνομα τῆς φιλοσοφίας ὅπως εἶχε τοῖς Ἕλλησι δῆλον ὅτι οἱ παλαιοὶ ἀδιαφόρως ἐχρῶντο τῷ ὀνόματι.

311,8 ἀλλ' οὐχ οἵ γε ἄλλοι κατηγοροῦντες—προσειρήκασιν αὐτοὺς ἀντιπῖπτον λύει.

311,14 ἤδη μέντοι καὶ τοὺς κακοτεχνοῦντας ὅτι καὶ τοὺς ἐπὶ κακῷ μεταχειριζομένους τὰς τέχνας καὶ τούτους φιλοσόφους ἔλεγον.

311,16 ὁ μάλιστ' ἀνθαψάμενος ἀντιποιούμενος. κἀκείνοις τοῖς θεωρητικοῖς.

312,6 τῇ προσηγορίᾳ οὐ τῇ ἀληθείᾳ.

312,7 ὃν γοῦν ἀξιοῖ σοφώτατον εἶναι θεὸν— σοφιστὴν κέκληκεν τὸν Ἀπόλλωνα. τὸν Δία λέγει ὅτι δημιουργὸς ὢν τῶν αἰσθητῶν σοφίζεται

τὴν ἀλήθειαν· ταῦτα γὰρ τὰ αἰσθητὰ οὐκ ἔστιν ὄντα τῇ ἀληθείᾳ.

312,14 πάσας ὑφ᾽ αὑτοῖς καὶ πρὸς αὐτοὺς εἶναι τὰς τέχνας τὰ πρὸς τὸν ὅρον τῆς φιλοσοφίας εἶπεν, ὅτι τέχνη τεχνῶν.

312,15 φορμηδὸν ἐφ᾽ ἁμαξῶν ἐκφέρειν, ὥσπερ τοὺς Κερκυραίων νεκροὺς Θουκυδίδης ἐν τῇ τρίτῃ λέγει, τὸν δῆμον νικήσαντα ἐν τῇ στάσει τοῦτο πεποιηκέναι.

312,17 τοῦ κωμῳδιοποιοῦ τοῦ Ἀριστοφάνους.

313,2 ὥσπερ Ἡρόδοτος περὶ τῶν ὄφεων ἔφη. νῦν δὲ κἂν ἴβις τούτων κρατήσειε ἐν τῷ δευτέρῳ ἔφη ὅτι τότε δὴ ὄφεων ἦν μεστὸν, καὶ ἴβις κατελθοῦσα κατέφαγεν αὐτούς. ἐν τῷ δευτέρῳ ὅτι τοῦτο δὴ ὄφεων ἦν μεστὸν καὶ ἴβεις κατελθοῦσαι κατέφαγον αὐτούς.

313,13 παριστάναι διδόναι.

314,18 ὅτι προσήκομεν αὐτοῖς προσήκει γὰρ τῷ Πλάτωνι, ἐπειδὴ καὶ οὗτος φιλοσοφίας, ὡς ἔφη, μετέχει. τῆς γινομένης πρεπούσης.

315,2 οὐχὶ προσηκάμην παρέβλεψα.